VIII. Ceterùm, quemadmodum in libro α΄ fuſiùs dictum eſt, vide, ut etiam nunc de nectare non opportunè, aut tempeſtivè; ſed acceptione quadam generali, uſurpet τὸ οἰνοχοεῖν, *vinum fundere, ac miniſtrare*, tamquam vocem convivalem: perinde ac ſiquis diceret: bibendum, vini inſtar, nectar præbebat. Non ſic tamen quis dixerit, ὕδωρ ἑῳνοχόει. *aquam, vini inſtar, fundebat, ac miniſtrabat*. Huic enim loquendi generi nihil in ſubſidium afferri poteſt: quum locutioni tamen Homericæ multa ſint, quæ patrocinentur. Nectar, ut eſt in fabulâ, in potum adhibetur, ſicuti contra in cibum ambroſia. Atque hæc quidem fluxio eſt vaporum ſurſum adſcendentium, ab inferioribus nimirum partibus terræ; illud verò, non humor eſt, qui defluat, aut in terras delabatur; ſed qui in ſuperiori parte abſumatur: ex quo aſtra perenne alimentum trahunt. Aut etiam alio modo, nectar, & ambroſia, fluxus ſunt vaporum, qui e terrâ ſurſum verſum adſcendunt, ac rurſus recens delabuntur: a quibus & aſtra capere alimentum videntur. quod utique de Oceano in orbem fluente veteres ſenſerunt; & Oceanus Homero ortus, & procreatio deorum dicitur. De nectare autem, quod ad vocis quidem originem attinet, dici ipſum παρὰ τὸ νέον ἀεὶ κέαρ εἶναι, *ex eo, quòd nova ſemper res, ac poſſeſſio eſt*, & ſiquid aliud eſt memoratu dignum, alibi explicamus: ſicuti etiam divinas ferè eſſe has voces, nectar, atque ambroſiam, ſeu ſignificationem habere quamdam divinitatis; ideoque inde pleraque tum corporum, tum rerum pulchrarum denominari. Sermo igitur ambroſius, & nox ambroſia, & comæ ambroſiæ, & os ambroſium apud Euripidem; itemque velum nectareum, nectarea tunica, nec non vinum necta-

cta-

1. καὶ ἡ ἐν Ὀδυσσείᾳ πρωθήβη) Odyſſ. l. α΄.
Τήν ποτε Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν,
Πρωθήβην ἔτ' ἐοῦσαν.
Polit.

2. τὸν οὐ θεὸς ἄλλος ἀνῷγε) Homerus: τὸν δ' οὐ θεὸς ἄλλος ἀνῷγε. Etymologici Magni Auctor v. ἀνέῳγεν. Ἴσθι δὲ, ὅτι τὸ ῥῆμα τοῦτο, ὅτε μὲν ἐνεργητικόν ἐστιν, αἰτιατικῇ συντάσσεται· ὅτε δὲ παθητικόν, δίδωσι. τὸν δ' οὐ θεὸς ἄλλος ἀνῷγε, ἀνέῳξε τὰ θύρας. Alii legunt in Homero: τὴν δ' οὐ θεός. Polit.

3. χηλοῦ δὲ ἀπὸ πῶμα) Homerus: χηλοῦ δ' ἀπὸ πῶμ' ἀνέῳγε. Polit.

4. ὦσα παρέξ) ἀπώσατο εἰς τὸ ἐκτός. Scholiaſta. Polit.

5. ἐπὶ στόμα ἔωσε) Καδδ' ἄρ' ἐπὶ στόμ' ἔωσε· πεσόντα δέ μιν λίπε θυμός. Polit.

6. καὶ ὑφ' Ὁμήρου ὠκεανὸς, θεῶν γένεσις λέγεται) Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν. Salvinus.

7. παρὰ τὸ νέον ἀεὶ κέαρ εἶναι) Alii παρὰ τὸ νέον, καὶ τὸ ἔχω. unde νεόεκταρ, καὶ κατὰ συγκοπὴν νέκταρ. Polit.

8. νὺξ ἀμβροσία) Nox ambroſia, quâ mortales non ambulant, quaſi ἀνὰ βροτῶν. nox concubia. Salvinus.

9. ἀμβρόσιαι χαῖται) Virg.
Ambroſiaque comæ divinum vertice odorem
Spiravere --
Salvin.

Digitized by Google

ſtareum, juxta illud: ἀμβροσίης, ϗ νέκταρός ἐστιν ἀπορρώξ. *Ambroſia, & nectaris eſt latex*. Tradunt etiam veteres, munus virginum fuiſſe, ut pocula miniſtrarent; atque etiam inter viros adoleſcentium, ſeu puerorum, quorum inſuper fuit, famulorum officia exſequi, atque obire. Unde & pueri, ſervi, ſeu famuli; & puellæ, famulæ, eo quòd ætas puerilis apta ſit ad miniſtrandum.

τὸ, ἀμβροσίης, ϗ νέκταρός ἐστιν ἀπορρώξ. Φασὶ δὲ οἱ παλαιοὶ, παρθένων ἔργον εἶναι τὸ οἰνοχοεῖν, ϗ ἀνδρῶν δὲ νέων, ὧν ϗ τὸ ὑπηρετεῖν. ὅθεν ϗ [1] παῖδες οἱ δοῦλοι, ϗ παιδίσκαι, διὰ τὸ τῆς παιδικῆς ἡλικίας ὑπηρετητικόν.

Continuò Juppiter Junonem irritare conabatur
Mordacibus verbis, ita per comparationem locutus:
Duæ quidem Menelao adjutrices ſunt dearum,
Junoque Argiva, & Alalcomeneis Minerva.
Sed enim ipſæ ſeorſum ſedentes, adſpicientesque
Oblectamini. Illi autem contra riſûs amans Venus
Semper præſens adeſt, ab eoque mortem depellit,
Et nunc etiam conſervavit, cum ſe moriturum putaret.
At certè victoria ſtat a bellicoſo Menelao.
Nos verò conſultemus, quo ſtatu ſint hæ res futuræ:
An rurſus bellumque pernicioſum, & certamen grave
Excitemus, an amicitiam inter utroſque conciliemus.
Quòd ſi æquè hoc omnibus gratum, & jucundum eſt,
Certè quidem habetetur urbs Priami regis,
Rurſuſque Argivam Helenam Menelaus abducat.

Αὐτίκ' ἐπειρᾶτο Κρονίδης ἐρεθιζέμεν Ἥρην
Κερτομίοις ἐπέεσσι, παραβλήδην ἀγορεύων·
Δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων,
Ἥρη τ' Ἀργείη, ϗ Ἀλαλκομενηῒς Ἀθήνη.
Ἀλλ' ἤτοι ταὶ, νόσφι καθήμεναι, εἰσορόωσαι
Τέρπεσθον· τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη
Αἰεὶ παρμέμβλωκε, ϗ αὐτοῦ κῆρας ἀμύνει,
Καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι.
Ἀλλ' ἤτοι νίκη μὲν ἀρηϊφίλου Μενελάου.
Ἡμεῖς δὲ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα.
Ἤ ῥ' αὖτις πόλεμόν τε κακὸν, ϗ φύλοπιν αἰνὴν
Ὄρσομεν, ἢ φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν.
Εἰ δ' αὖτως τόδε πᾶσι φίλον, ϗ ἡδὺ γένοιτο,
Ἤτοι μὲν οἰκέοιτο πόλις Πριάμοιο ἄνακτος,
Αὖτις δ' Ἀργείην Ἑλένην Μενέλαος ἄγοιτο.

IX. Quemadmodum ex verbo βάλλειν, *jacere*, & præpoſitione ὑπὸ, *ſub*, fit τὸ ὑποβλήδην, *ſubjecto per interpellationem ſermone*, ut habetur in libro ά, & cum præpoſitione ἀνὰ, *per, ſeu inter*, fit τὸ ἀμβλήδην γοόωσα, *interjectis gemitibus plorare incipiens*, tamquam a verbo muſicæ ſignificationis ἀναβάλλεσθαι, *quod eſt præludere, ſeu præcentionem, aut præludium cantûs facere*, juxta illud: ἀνεβάλλετο καλὸν ἀείδειν. *pulchri cantûs præludium, ſeu pulchram præcentionem faciebat*: ita etiam hoc loci τὸ παραβλήδην, quod ſignificat ἐκ παραβολῆς, & συγκριτικῶς, *per comparationem, ſeu comparatè*. Narrat enim, ut ſtatim Juppiter mordacibus verbis conatus ſit Junonem irritare, παραβλήδην ἀγορεύων, *verba per comparationem faciens, ſeu comparatione uſus*. Hæc autem verba ſunt τῆς παραβολῆς, videlicet συγκρίσεως, *collationis, ſeu comparationis, quibus nimirum verbis fit comparatio*: Deæ quidem duæ adjutrices ſunt Menelao, Junoque Argiva, & præpotens Minerva. Sed enim ταὶ, videlicet αὗται ὑμεῖς, *hæ vos ipſæ*, ſeorſum ſedentes, adſpicientesque, oblectamini, ſeu gaudetis. Illi autem contra riſûs amans Venus, quum una nimirum ſit ei adjutrix, ſemper præſens adeſt, mortemque ab eo repellit; eumque nunc etiam ſalvum, atque incolumem ſervavit, quum ipſe ſeſe moriturum putaret. Quæ ſanè oratio mordax eſt, & cavillationis plena, non ſolùm quia deas duas cum unâ comparat; ſed etiam quia de duabus illis una cognomentum habet ab Argivis (Argiva enim dicitur Juno) ideoque debet illis auxiliari; Minerva verò, quum cognominata illa quidem ſit ἀπὸ ἀλκῆς, ϗ μένους, *a viribus, roboreque animi*; tamen parùm viriliter agit, & in mollitiem muliebrem eſt converſa. Venus contra, quæ amans eſt riſûs, præſtat illis quodammodo, iiſque prævalet. Ea autem oratio per parœdiam, ſeu imitationem, aptè etiam interdum, & percommodè in unum aliquem adhibebitur, qui plures quidem habeat, ſed tamen molles, atque ignavos adjutores.

X. Attamen vide, ut hæc iſta comparatio non duabus illis fortiorem unam hanc eſſe colligit, aut concludit. Qui enim fieri id poſſit, ſi vel ſola alibi Minerva Veneris imbecillitatem patefacit, nec non Diomedes, ope, atque auxilio Minervæ, vulnus illi infligit? Sed ratio hæc comparationis hanc unam duabus illis deabus magis ſedulam, ac diligentem facit. Siquidem quum ipſæ ſeorſum ſedeant; tamen Venus Alexandro ſemper

θ'. Ὥσπερ ἐκ τοῦ βάλλειν μετὰ τῆς ὑπὸ προθέσεως, γίνεται τὸ ὑποβλήδην, ὡς ἐν τῇ ά ῥαψῳδίᾳ κεῖται, ϗ μετὰ τῆς ἀνὰ προθέσεως τὸ ἀμβλήδην γοόωσα, ὡς ἐκ τοῦ μουσικῶς ἀναβάλλεσθαι, κατὰ τὸ, ἀνεβάλλετο καλὸν ἀείδειν· οὕτω ϗ ἐνταῦθα τὸ παραβλήδην, ὃ δηλοῖ τὸ ἐκ παραβολῆς, ϗ συγκριτικῶς. Φησὶ γὰρ, ὅτι αὐτίκ' ἐπειρᾶτο Ζεὺς ἐρεθιζέμεν Ἥρην κερτομίαις ἐπέεσσι, παραβλήδην ἀγορεύων. Ὁ δὲ λόγος τῆς παραβολῆς, ἤγουν συγκρίσεως ἦν, ὅτι δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων, Ἥρη τ' Ἀργείη, ϗ ἀλαλκομενηῒς Ἀθήνη. Ἀλλ' ἤτοι ταὶ, ἤγουν αὗται ὑμεῖς, νόσφι καθήμεναι, εἰσορόωσαι τέρπεσθον. τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη, μία δηλαδὴ αὐτῷ ἀρηγὼν οὖσα, αἰεὶ παρμέμβλωκε, ϗ αὐτοῦ κῆρας ἀμύνει, ϗ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι. Ἔχει δὲ τὸ κέρτομον ὁ λόγος, οὐ μόνον διότι τὰς δύο συγκρίνει τῇ μιᾷ, ἀλλὰ ϗ ὅτι ἐκείνων τῶν δύο ἡ μὲν, τοῖς Ἀργείοις ἐπονομάζεται. Ἀργεία γὰρ λέγεται Ἥρα. διὸ ϗ ἐπικουρεῖν ἐκείνοις ὀφείλει. Ἀθηνᾶ δὲ, [2] ἀλκῆς, καὶ μένους οὖσα ἐπώνυμος, ὅμως ἀνάνδρως ἐκθηλύνεται. Ἀφροδίτη δὲ ἡ φιλομειδὴς, κρεῖττόν τι ἔχει ἐκείνων. Ὁ δὲ ῥηθεὶς λόγος παρῳδηθεὶς, ἔσται ποτὲ χρήσιμος ϗ ἐπί τινος, πλείονας μὲν ἔχοντος βοηθοὺς, χαύνους δέ.

ι'. Ὅρα δὲ, ὅτι ἡ σύγκρισις οὐκ ἀνδρειοτέραν τῶν δύο τὴν μίαν εἶναι συνάγει. πῶς γὰρ, ἐὰν ϗ μόνη ἀλλαχοῦ Ἀθηνᾶ τὴν Ἀφροδίτην ἀχρείαν ἐκφαίνει, ϗ Διομήδης δὲ, συναιρομένης Ἀθηνᾶς, βάλλει ἐκείνην; ἀλλ' ἡ ἀγωγὴ αὕτη τῆς συγκρίσεως ἐπιμελεστέραν ποιεῖ τῶν δύο τὴν μίαν. εἴπερ αὗται μὲν, χωρὶς κάθηνται· ἡ δὲ Ἀφροδίτη, τῷ Ἀλεξάνδρῳ αἰεὶ παραμέμβλω-

Rom. p.439.

1. παῖδες οἱ δοῦλοι) In Canico. David pueri ſui, παῖδες, ideſt, *famuli*. Salvinas.

2. ἀλκῆς, ϗ μένους οὖσα ἐπώνυμος) Quippe ἀλαλκομενηῒς. Politus.

κεν, ἤτοι παραμεμέληκε, καὶ διὰ φροντίδος γίνεται· ἢ μάλιστα παραμεμόληκε, καὶ ἐγγὺς μολεῖ. ἐγγύτητα γὰρ ἡ παρὰ πρόθεσις δηλοῖ, ὡς τὸ, Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι. ἤγουν ἐγγὺς τοῦ Διός. Καὶ ἄλλως δὲ σαφέστερον, καὶ συντομώτερον εἰπεῖν, ἡ ῥηθεῖσα παραβολὴ, ἤτοι σύγκρισις, ἐκ τοῦ μείζονος μέν ἐστι· λέγει δὲ, ὡς δύο μὲν αἱ τοῦ Μενελάου, μία δὲ ἡ τοῦ Πάριδος. καὶ αὗται μὲν, σεμνῶς ὀνομάζονται· ἡ δὲ, ἐκ τοῦ μειδιάματος. καὶ ὅμως αὗται μὲν, νόσφι κάθηνται τοῦ Μενελάου· ἡ δὲ, ἀεὶ παρμέμβλωκε. καὶ αἱ
Baſ. p. 334. μὲν, θέας τέρψιν ποιοῦνται τὴν μάχην· ἡ δὲ, ἀμύνει τὰς κῆρας τῷ Πάριδι. Ἰστέον δὲ, ὅτι τὸ παρμέμβλωκε, τρία σημαίνει. ἓν μὲν, τὸ μεμέληκε, καὶ φροντίδα ἔχει· καὶ γίνεται [1] ἐκ τοῦ μέλω μελήσω μεμέληκα, καὶ συγκοπῇ, μέμληκα, καὶ πλεονασμῷ τοῦ β΄, διὰ καλλιφωνίαν, καὶ τροπῇ τοῦ η εἰς ω, μέμβλωκα. ἕτερον δὲ, τὸ παραμεμόληκεν, ἤγουν παρῆλθεν, ὡς εἴ τις εἴποι, ὅτι παρμέμβλωκεν ἡ ἡμέρα, ἤγουν παρῴχετο. [2] ἡ δὲ χρῆσις ἐν Ὀδυσσείᾳ. [3] καὶ γίνεται ἐκ τοῦ μολῶ μολήσω, κατὰ τὸ αὐτὸ κανόνισμα. τρίτον δὲ, τὸ παραμεμόληκε, τουτέστιν, ἐγγύς ἐστιν, [4] πάρεστιν, ὡς ἐνταῦθα φαίνεται. Λέγει οὖν ἀντιθετικῷ σχήματι, ὡς ὑμεῖς μὲν νόσφι [5] κάθησθε· ἡ δὲ, ἀεὶ τῷ Ἀλεξάνδρῳ παρμέμβλωκεν, ἤτοι παρακολουθεῖ, ἐγγὺς οὖσα, οὐ νόσφι καθημένη.

ιά. Σημείωσαι δὲ, ὅτι ὁ Ζεὺς μὲν σεμνότερον φράσας ἐνέφηνε τὴν πρὸς τὸν Πάριν σχέσιν τῆς Ἀφροδίτης· ἡ Ἑλένη δὲ πρὸ τούτου θυμωθεῖσα, παραλαλεῖ, οὕτω διακεῖσθαι αὐτὴν πρὸς Ἀλέξανδρον, ὡς ἢ ἄλοχον εὐνοοῦσαν, ἢ δούλην εὐλαβῶς ὑπακούουσαν. [6] Τὸ δὲ ἀρηγών, λέγεται μὲν καὶ [7] ἀρωγός· [8] γίνεται δὲ ἀπὸ τοῦ Ἄρης. [9] ὥσπερ ὁ βοηθὸς ἀπὸ τῆς βοῆς, ὃ καὶ αὐτὸ τὴν μάχην ἔστιν ὅτε δηλοῖ, καθὰ καὶ ὁ Ἄρης. Ἀλαλκομενηὶς δὲ ὡς γίνεται [10] ἀπὸ τοῦ ἀλαλκεῖν, ἤτοι βοηθεῖν, διὰ μένος· [11] ἢ ἀπό τινος Ἀλαλκομενέως ἥρωος, ἢ ἀπὸ

παρμέμβλωκε, ſive παραμεμόληκε, *præſens ſollicitè adeſt, atque aſſiſtit*, ejuſque curam gerit: aut maximè παραμεμόληκε, *accurrit*, & ἐγγὺς μολεῖ, *prope advenit, ſeu accedit*. Præpoſitio enim παρὰ, *apud*, propinquitatem, ſeu vicinitatem ſignificat, ut: Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι. *Dii autem apud Jovem ſedentes*. videlicet ἐγγὺς τοῦ Διός. *prope Jovem*. Rurſus, ut clariùs id, ac breviùs explicem, iſta hæc collatio, ſeu comparatio, eſt a Majori, in hanc ſententiam: Duæ ſunt adjutrices Menelao, Paridi una. Ex magnificis auguſtiſque nominibus ornantur, atque inſigniuntur: hæc ex molli riſu cognomentum obtinet. Et eæ tamen ipſæ ſeorſum a Menelao ſedent; hæc verò ſemper occurrit. Illæ pugnam ſpectantes, animum inde ſuum oblectant; hæc mortem a Paride propulſat, atque avertit. Quod autem ſcire oportet, tria ſignificat τὸ παρμέμβλωκεν. Unum, quod ſignificat, eſt τὸ μεμέληκε, *curat*, & curam habet; fitque ex verbo μέλω, μελήσω, μεμέληκα, *curo, curabo, curavi*, & per ſyncopen, μέμληκα, *curavi*, additâque per pleonaſmum, ob meliorem ſonum, litterâ β, & mutatione τοῦ η in ω, μέμβλωκα. Alterum eſt τὸ παραμεμόληκε, videlicet παρῆλθεν, *advenit, præterivit*, perinde ac ſiquis diceret: παρμέμβλωκεν ἡ ἡμέρα. videlicet παρῴχετο. *præteriit, ſive elapſus eſt dies*. cujus locutionis exemplum eſt in Odyſſeâ. idque fit ex μολῶ μολήσω, *advenio, adveniam*, per eamdem regulam. Tertium denique eſt τὸ παραμεμόληκεν, ideſt, ἐγγύς ἐστι, πάρεστι, *prope eum eſt, et præſens adeſt*, ut hîc perſpicuè conſtat. In hunc igitur ſenſum, oppoſitis per antitheſin figuram ſententiis, loquitur: Vos ſeorſum ſedetis: hæc ſemper Alexandro παρμέμβλωκε, *præſto eſt, atque adeſt*, ſive eum comitatur, quippe quæ prope ab eo ſit, non ſeorſum ſedeat.

XI. Et obſerva, quàm gravi, honeſtâque oratione Juppiter Veneris in Paridem ſtudium, ac propenſam voluntatem declarat: quum tamen antea Helena præ indignatione atque irâ, animo ſic eam erga Alexandrum affectam per obtrectationem dicat, quaſi aut amantem mariti uxorem, aut ancillam timidè obſequentem. Porro autem τὸ ἀρηγών, *auxiliaria, ſive adjutrix*, dicitur etiam ἀρωγός, oriturque ex Ἄρης, *Mars*. ſicuti ὁ βοηθὸς, *auxiliator, ac defenſor*, ex βοή, quæ & ipſa vox pugnam aliquando ſignificat, pariter atque ὁ Ἄρης, *Mars*. Ἀλαλκομενηὶς, *Alalcomeneis, ſeu robuſta adjutrix*, ut derivetur ab ἀλαλκεῖν, videlicet βοηθεῖν, διὰ μένος, *a defendendo, ſive a præſtando auxilio, propter fortitudinem, ac robur*; ſeu ita vocata ſit ab Alalcomene quodam heroë, aut

1. ἐκ τοῦ μέλω μελήσω μεμέληκα) Etymologici Magni Auctor: ἀπὸ τοῦ μέλω μεμέληκα, καὶ μεμέληκα, καὶ κατὰ συγκοπὴν, καὶ πλεονασμῷ τοῦ β΄, μέμβλωκα. Polit.
2. ἡ δὲ χρῆσις ἐν Ὀδυσσείᾳ) lib. ρ. v. 190. ἐπεὶ γὰρ μέμβλωκε μάλιστα Ἦμαρ. ideſt, τὸ πλεῖστον τῆς ἡμέρας παρελήλυθεν. Polit.
3. καὶ γίνεται ἐκ τοῦ μολῶ μολήσω, κατὰ τὸ αὐτὸ κανόνισμα) Etymologici Magni Auctor: ἀπὸ τοῦ μολῶ μολήσω μεμόληκα· καὶ κατὰ συγκοπὴν, μέμληκα· καὶ διὰ τὸ ἀσύμφωνον, πλεονασμῷ τοῦ β, γίνεται μέμβληκα· καὶ τροπῇ τοῦ η εἰς ω, μέμβλωκα. Politus.
4. πάρεστιν, ὡς ἐνταῦθα φαίνεται) Etymologus: τῷ δ᾽ αὖτε φιλομμειδὴς Ἀφροδίτη Αἰεὶ παρμέμβλωκεν, Ἰλιάδ. δ΄, ἀντὶ τοῦ παραμένει, πάρεστι. Polit.
5. κάθησθε) l. κάθησθε. Polit.
6. Τὸ δὲ ἀρηγών, λέγεται μὲν καὶ ἀρωγός) Genere eſt muliebri, non virili, τὸ ἀρηγών. quod rectè notat Etymologus. Εἰ γὰρ, inquit, ἦν ἀρσενικὸν, ὤφειλεν ἀρηγόντος κλίνεσθαι. ἀλλ᾽ ἔστι θηλυκοῦ γένους, ἀπὸ τοῦ ἀρήγω. Politus.
7. ἀρωγός) idem & ἀρηγός· ὥσπερ καὶ ῥωχμός, καὶ ῥηχμός. Politus.
8. γίνεται δὲ ἀπὸ τοῦ Ἄρης) ἀρηγών Etymologo eſt ἀπὸ τοῦ ἀρήγω. ἀρήγω autem παρὰ τὸν Ἄρην τὸν πόλεμον. Polit.
9. ὥσπερ ὁ βοηθὸς ἀπὸ τῆς βοῆς) Etymologici Magni Auctor: ὥσπερ καὶ βοηθεῖ λέγεται τὸ ἐπὶ βοὴν θέειν. βοὴ γὰρ ὁ πόλεμος, ἀπὸ τοῦ παρεπομένου. Polit.
10. ἀπὸ τοῦ ἀλαλκεῖν, ἤτοι βοηθεῖν, διὰ μένος) Placebat mihi aliquando, διὰ μένος. Heſychius: Ἀλαλκομενηίς, ἡ ἀλαλκοῦσα τῷ ἑαυτῆς μένει, ὅ ἐστι, βοηθοῦσα. Etymologus v. Ἀλαλκομενηίς· ἡ ἀλαλκοῦσα τῷ μένει, ὅ ἐστι, τῇ δυνάμει βοηθοῦσα. & v. Κύπρις· Ἀλαλκομενηὶς Ἀθηνᾶ παραλογιζομένους ἀπὸ τῆς ἱστορίας, ὅτι ἀπαλλάξασα τῷ ἰδίῳ μένει τοὺς ἐναντίους. Scholiaſta Homericus: ἡ ἀλαλκοῦσα τῷ μένει, ὅ ἐστι βοηθοῦσα. Hæc etymologia videtur etiam probata olim Ariſtarcho. Nec rectè contra Ariſtarchum argumentatur Stephanus: Οὐ γὰρ παρὰ τὸ ἀλαλκεῖν, ὡς Ἀρίσταρχος· ἦν γὰρ ἂν καὶ Ἀλαλκηίς. Non enim tantùm ab ἀλαλκεῖν, ſed ἀπὸ τοῦ ἀλαλκεῖν μετὰ μένους, cognominata Minerva Ἀλαλκομενηὶς videbatur Ariſtarcho. Politus.
11. ἢ ἀπό τινος Ἀλαλκομενέως ἥρωος) Etymologus: ἢ ἀπὸ Ἀλαλκομενέως τινὸς ἱδρυσαμένου αὐτῆς ναόν. Amplectitur hanc etymologiam Stephanus: ὡς Θησεὺς Θησηίς, οὕτως Ἀλαλκομενεὺς Ἀλαλκομενηίς, ὥσπερ καὶ Βρισεὺς Βρισηίς, καὶ Νηρεὺς Νηρηίς. Ab eodem Alalcomene heroë vocata quoque videtur urbs Bœotica, Alalcomenium. Stephanus: Ἀλαλκομένιον, πόλις Βοιωτίας, ἀπὸ τοῦ Ἀλαλκομενέως, ὃς καὶ ἵδρυσε τὴν Ἀθηνᾶν Ἀλαλκομενηίδα. Pauſanias Bœoticis: Ἀλαλκομεναὶ δὲ, κώμη μέν ἐστιν οὐ μεγάλη. κεῖται δὲ ὄρους οὐκ ἄγαν ὑψηλοῦ πρὸς τοῖς ποσὶν ἐχόμενος. γενέσθαι δὲ αὐτῇ τὸ ὄνομα μὲν ἀπὸ Ἀλαλκομενέως ἀνδρὸς αὐτόχθονος. ὑπὸ τούτου δὲ Ἀθηνᾶν τραφῆναι λέγουσιν. Heroëm hunc videtur etiam Etymologus nominare Alalcomenium. Nam & Alalcomeneis eſt ei Minerva ἡ ἀπὸ Ἀλαλκομενίου τραφεῖσα Βοιωτοῦ. Heros idem alibi Etymologo Ἀλαλκομένους. Politus.

aut a monte Alalcomenio, explicant Etymologi. Τὸ φιλομμειδὴς, *riſus, ſeu genitalium amans*, cujus quidem vocis originem Heſiodus deducit ἐκ τῶν τοῦ Κρόνου μηδέων, *a Saturni genitalibus*, ita ut penultima Bœoticè ſcripta ſit cum diphthongo ει, in exemplaribus quibusdam, metri cauſſâ, duplicat τὸ μ', ut ſic verſûs ipſius vacuitas, ac laxitas ad exactam integramque carminis menſuram repleatur. Deinde τὸ αἰεὶ, *ſemper*, aſſiduam, ac diuturnam in protegendo Paride Veneris curam declarat. Rurſus illud, καὶ αὐτοῦ κῆρας ἀμύνει, *& ab eo mortem arcet, ac repellit*, confert ad explicandum, quid ſibi velit τὸ παρμέμβλωκε, *præſto eſt, ſeu præſens adeſt*. Ubi conſiderandum, ut ex his vocibus, κῆρας ἀμύνειν, *fata, ſeu mortem arcere, repellere, propulſare*, compoſitum poſtmodùm eſt nomen ὁ κηραμύντης, *mortis depulſor*, qui idem eſt, atque ὁ ἀλεξίκακος, *malorum depulſor*: adeo ut, quemadmodum ex ſimplici verbo ἀμύνειν, *depellere, arcere, propulſare*, eſt ὁ Ἀμύντας, *Amyntas*, nomen proprium; ita ex κῆρας ἀμύνειν, *fata, ſeu mortem depellere*, ſit ὁ κηραμύντης, *mortis depulſor*: quem Sophocles ἀλεξίμορον dixerit, *fati, ſeu mortis depulſorem*. Hæc iſta denique formandorum nominum ratio compoſuit quam dicit Heſiodus, ἀλεξιάρην νειὸν, *dirarum, atque exſecrationum, ſive damnorum expultricem novalem*, itemque τὴν χειμάμυνον χλαῖναν, *hyemalis frigoris expultricem lænam*, itemque τὴν ἀλεξάνεμον, *eam, quæ injuriam, ac vim ventorum arcet*; jam verò etiam τὴν ἐκ τριχῶν μυοσόβην, *confectum e ſetis muſcarium, ſeu flabellum e ſetis ad muſcas abigendas*.

XII. Τὸ ὀϊόμενον, aut activè poſitum eſt pro νομίζοντα, *putantem, atque exiſtimantem*, aut paſſivè pro νομιζόμενον, *eum, qui putabatur, atque exiſtimabatur*. Ceterùm obſerva, quàm dexterè, atque artificiosè Poëta violati jurisjurandi rationem perſequatur, non ex juſſu, aut imperio Jovis, per quem fit jusjurandum, qui etiam cuſtos defenſorque eſt jurisjurandi: ſed ex irâ, atque indignatione Junonis, qua videlicet irâ paullo poſt Juno, mordacibus his verbis irritata, exardeſcet. Ad hæc ſciendum, magnum utique auxilium declarari illis verbis: *ſemper mortem repellit, & nunc etiam ſervavit, eum ſeſe moriturum putaret*. Non Agamemnon modò Menelao fratri ſuo victoriam, ut dictum eſt, adjudicat; ſed ecce tibi ipſe etiam Juppiter, cum ait: *Sed enim victo-*

[1] ἢ ἀπὸ Ἀλαλκομενίου ὄρους, οἱ Ἐτυμολόγοι φασί. Τὸ δὲ φιλομμειδὴς, [2] ὅπερ Ἡσίοδος ἐκ τῶν τοῦ Κρόνου μηδέων ἐτυμολογεῖ, ὡς Βοιωτικῶς διὰ τῆς ει διφθόγγου τὴν παραλήγουσαν γράφεται, διπλάζει τὸ μ', διὰ μέτρον, [3] κατά τινα τῶν ἀντιγράφων, ὡς ἂν οὕτως ἡ τοῦ στίχου λαγαρότης μεστωθῇ πρὸς μέτρον ἄρτιον. Τὸ δὲ αἰεὶ, τὴν παράμονον ἐπὶ τῷ Πάριδι φροντίδα τῆς Ἀφροδίτης δηλοῖ. Τὸ δὲ, καὶ αὐτοῦ κῆρας ἀμύνει, διασαφητικόν ἐστι τοῦ παρμέμβλωκεν. Ἐνθυμητέον δὲ, ὅτι ἐκ τοῦ κῆρας ἀμύνειν, [4] ὁ κηραμύντης ὕστερον συντέθειται, ὁ αὐτὸς ὢν τῷ ἀλεξικάκῳ. Ἵνα ὡς ἐκ τοῦ ἀμύνειν ἁπλοῦ, ὁ Ἀμύντας τὸ κύριον, οὕτως εἴη ἐκ τοῦ κῆρας ἀμύνειν, ὁ κηραμύντης, [5] ὃν Σοφοκλῆς ἀλεξίμορον εἴποι ἄν. Ἡ δὲ τοιαύτη ἀγωγὴ καὶ [6] τὴν παρ' Ἡσιόδῳ ἀλεξιάρην νειὸν, [7] καὶ τὴν χειμάμυνον χλαῖναν, καὶ τὴν ἀλεξάνεμον, ἤδη δὲ καὶ τὴν ἐκ τριχῶν μυοσόβην, συνέθετο.

ιβ'. Τὸ δὲ, ὀϊόμενον, ἢ ἐνεργητικῶς κεῖται ἀντὶ τοῦ νομίζοντα, ἢ παθητικῶς ἀντὶ τοῦ νομιζόμενον. Σημείωσαι δὲ, ὅπως πάνυ δεξιῶς μεθοδεύει τὴν τῶν ὅρκων σύγχυσιν ὁ Ποιητὴς, οὐκ ἐξ ἐπιταγῆς τοῦ ὁρκίου Διὸς, ὃς καὶ τῶν ὅρκων ταμίας ἐστίν· ἀλλ' ἐκ τοῦ κα- Rom. p.440. τὰ τὴν Ἥραν χόλου, ὃν ἐκ τοῦ ῥηθέντος κερτόμου ἐρεθισμοῦ, αὐτὴ μετ' ὀλίγα πνεύσεται. Ἰστέον δὲ καὶ, ὅτι μεγάλης βοηθείας δηλωτικὸν τὸ, αἰεὶ κῆρας ἀμύνει, καὶ νῦν ἐξεσάωσεν οἰόμενον θανέεσθαι. Οὐ μόνος Ἀγαμέμνων ἐπεψηφίσατο νίκην, ὡς εἴρηται, τῷ ἀδελφῷ Μενελάῳ, ἀλλ' ἰδοὺ καὶ ὁ Ζεὺς, λέγων· Ἀλλ' ἤτοι νίκη μὲν ἀρηϊ-

1. ἢ ἀπὸ Ἀλαλκομενίου ὄρους) Scholiaſta Homericus: ἢ ἀπὸ Ἀλαλκομενίου ὄρους τῆς Ἀττικῆς. Sed fallitur hic Scholiaſta. Bœotiæ urbs eſt Alalcomenæum: ſive etiam fortaſſe mons Bœotiæ, non Atticæ: ad cujus montis radices Alalcomenas ſitas collocat Pauſanias. Inde, ab Alalcomenio videlicet Bœotiæ oppido, appellata mihi videtur Minerva Ἀλαλκομενηΐς, quòd ibi ſcilicet coleretur; atque adeo hanc Ἀλαλκομενηΐδος etymologiam multò aliis veriſimiliorem judico. Strabo lib. 9. ubi de Bœotiæ urbe Alalcomenia: ἔχει δ' ἀρχαῖον ἱερὸν Ἀθηνᾶς, σφόδρα τιμώμενον. καὶ φασί γε τὴν θεὸν γεγενῆσθαι ἐνταῦθα, καθάπερ καὶ τὴν Ἥραν ἐν Ἄργει. καὶ διὰ τοῦτο τὸν Ποιητὴν ὡς ἀπὸ πατρίδος ταύτης ἀμφοτέρας οὕτως ὀνομάσαι. Scholiaſta Homericus: ἀπὸ Ἀλαλκομεναῖς, πόλει τῆς Βοιωτίας, τιμωμένη· ἔνθα καὶ Ἀλαλκομεναίου Ἀθηνᾶς ἱερόν. Etymologici Magni Auctor: ἢ ἐν Ἀλαλκομεναῖς πόλει τῆς Βοιωτίας τιμωμένη· ἔνθα καὶ Ἀλαλκομενίου Ἀθηνᾶς ἱερόν. Politus.

2. ὅπερ Ἡσίοδος ἐκ τῶν τοῦ Κρόνου μηδέων ἐτυμολογεῖ) Sed enim Heſiodea hæc τοῦ φιλομμειδὴς etymologia longè eſt a mente Homeri. Etymologici Magni Auctor: Κύπρις, τὸ ἐπίθετον τῆς Ἀφροδίτης. ὃ οὐκ ἐνόησαν οἱ πρὸ ἡμῶν, τί σημαίνει. Σημειωτέον δὲ τῷ Ἡσιόδῳ, ἔδοξαν, ὅτι Κύπρις λέγεται, ὡς φησὶν Ἡσίοδος, Κυπρογένεια, διὰ γεννᾶσθαι περικλύστῳ ἐνὶ Κύπρῳ. ὥσπερ καὶ φιλομμειδῆ, ὅτι μηδέων ἐξεφαάνθη. Ὅμηρος δ' οὐκ ἐπίσταται. ἀλλὰ τὴν μειδιάματα φιλοῦσαν, οἷον ἱλαρὰν διὰ τὴν δυναμένην εὐφραίνειν ἀπὸ τῆς συνουσίας. Eſt igitur φιλομμειδὴς Homero non ἡ τὰ μήδεα φιλοῦσα, ſed ἡ φιλοῦσα τὸν γέλωτα. Heſychius ad mentem Homeri: φιλομμειδὴς, φιλόγελως, φιλοῦσα τὰ μειδιάματα, ἱλαρά. Suidas: φιλομμειδὴς, φιλόγελως. Φιλομμειδὴς δὲ, ἡ Ἀφροδίτη. Politus.

3. κατά τινα τῶν ἀντιγράφων) ut in codice meo membranaceo. Sed Editio Florentina φιλομειδὴς, cum ſimplici μ'. At φιλομμειδὴς cum ει, & duplici μ', legunt vulgò apud Heſiodum in hoc verſu Theogoniæ: Ἠδὲ φιλομμειδέα, ὅτι μηδέων ἐξεφαάνθη. Politus.

Φιλομειδὴς factum φιλομμειδὴς ob metrum: ut Religio, Relliquiæ. *Salvinus*.

De poteſtate litterarum liquidarum in producendâ antecedente ſyllabâ brevi, vide, quæ nos ſuprà notavimus ad pag. 44. n. 5. *Politus*.

4. ὁ κηραμύντης ὕστερον συντέθειται, ὁ αὐτὸς ὢν τῷ ἀλεξικάκῳ) κηραμύντης vocatus eſt Hercules a Lycophrone.

Ἐπόψεται δὲ λείψανον πεφασμένον
Τοῦ Κηραμύντου, Πάλαιος, Παλαίμονος.

Scholiaſtes: Κηραμύντης δὲ, ὁ τὰς κῆρας διώκων. ἀλεξίκακος γάρ. Etymologici Magni Auctor: κηραμύντης ὁ Ἡρακλῆς, ὁ τὰς κῆρας διώκων. ἀλεξίκακος γάρ. Euſtathius ad Odyſſeam, quo loci agit de vocabulis ἰσοδυναμοῦσι: ὡς καὶ ὁ ἀλεξίκακος, καὶ ὁ κηραμύντης παρὰ Λυκόφρονι. ταυτὸν γὰρ τὸ ἀλέξασθαι κακόν τε, καὶ ἀναστρέψαι αὐτὰ, κῆρα ἀμῦναι. Politus.

5. ὃν Σοφοκλῆς ἀλεξίμορον εἴποι ἄν) Sophocles in Oedipo Tyranno: Τρισσοὶ ἀλεξίμοροι προφάνητέ μοι. Politus.

6. τὴν παρ' Ἡσιόδῳ ἀλεξιάρην νειὸν) Heſiodus:

Νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν.
Νειὸς ἀλεξιάρη, παίδων εὐκηλήτειρα.

Moſchopulus: ἡ νειὸς ἀλεξιάρη ἐστὶν, ἤγουν ἀποσοβοῦσα τὰς ἀράς, ποιεῖ, τὰς βλάβας. Etymologici Magni Auctor: ἀπαλέξουσα, καὶ ἀπείργουσα τὴν ἀράν. ποιεῖ, τὴν ἐκ τοῦ λιμοῦ βλάβην, καὶ τοὺς παῖδας θάλπει, καὶ θάλπουσα, εὔκηλος, ἡσυχάζειν, ἡ ἀναπαυομένη γῆ. Politus.

7. καὶ τὴν χειμάμυνον χλαῖναν, καὶ τὴν ἀλεξάνεμον) τὴν χειμάμυνον χλαῖναν Æſchylus, τὴν ἀλεξάνεμον χλαῖναν Homerus. Pollux lib. 7. c. 13. καὶ χλαῖναν δὲ παχεῖαν, ἣν χειμάμυνον μὲν Αἰσχύλος, Ὅμηρος δὲ ἀλεξάνεμον κέκληκε. Politus.

Digitized by Google

ἀρηϊφίλε Μενελάε. Καὶ ὅρα, ὡς ἀρηΐφιλον ὁ Ποιητὴς, καθὰ προγέγραπται, καὶ διὰ τοῦ Διὸς καλεῖ τὸν Μενέλαον, ὥσπερ καὶ διὰ τοῦ Πριάμε, καὶ ἑτέρων. Βελευτοῦ λόγος, τὸ, Ἡμεῖς δὲ φραζώμεθα, ὅπως ἔσται τάδε ἔργα. Εἰ δὲ περὶ πολέμε, καὶ εἰρήνης ἡ βελὴ, αἰκεῖον καὶ τὸ ἐπαγόμενον· ἢ αὖτις πόλεμόν τε κακὸν, καὶ φύλοπιν αἰνὴν ὄρσομεν, ἢ φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν. Προεκθετικῶς δὲ, καὶ σκεπτικῶς ταῦτά φησιν Ὅμηρος, μελετῶν τε, ὡς καὶ προερρέθη, πῶς μεταχειρίσηται τὰ ἑξῆς, καὶ ἅμα προαναφωνῶν τὴν Τρωϊκὴν ἅλωσιν.

victoria ſtat illa quidem a bellicoſo Menelao. Ac vide, ut Poeta, ipſius quoque Jovis nomine, ſicuti etiam nomine Priami, atque aliorum, Menelaum vocat ἀρηΐφιλον, *Marti amicum, ac bellicoſum*, ut ſcriptum eſt ſupra. Conſiliarii verba illa: *Nos autem conſultemus, quo tandem ſtatu ſint hæ res futuræ.* Sic autem de bello, ac pace eſt conſultatio, commodum, atque opportunum id fuerit, quod adjicitur: *An rurſus bellumque malum, & certamen grave excitemus; an verò amicitiam inter utroſque conciliemus.* Quæ certè Homerus dicit, veluti proponendo, ac deliberando, quid fieri oporteat: perinde quaſi, ut ſupra notatum eſt, ſecum ipſe cogitet, ac meditetur, qui reliquum Operis ſui argumentum proſequatur, ac ſimul futuram Trojæ expugnationem prædicat.

Ὡς ἔφαθ'. αἱ δ' ἐπέμυξαν Ἀθηναίη τε, καὶ Ἥρη.
Πλησίαι αἵ γ' ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην.
Ἤτοι Ἀθηναίη ἀκέων ἦν, οὐδέ τι εἶπε,
Σκυζομένη Διὶ πατρί. χόλος δέ μιν ἄγριος ᾔρει.
Ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα·
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
Πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον, ἠδ' ἀτέλεστον
Ἱδρῶθ', ὃν ἵδρωσα μόγῳ, καμέτην δέ μοι ἵπποι
Λαὸν ἀγειρούσῃ, Πριάμῳ κακὰ, τοῖό τε παισίν.
Ἔρδ'. ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.

Sic dixit. Mutiverunt autem Minervaque, & Juno,
Quæ propinquæ ſedebant, malaque Trojanis ſtruebant.
Certè quidem Minerva tacens erat, nec quidquam dixit,
Jovi patri irata. ira namque ipſam ſæva tenebat.
Junonis contra non continuit pectus iram, ſed compellavit:
Graviſſime Saturnie, qualis verbum dixiſti!
Quomodo vis vanum reddere laborem, & infructuoſum
Sudorem, quem laborando ſudavi? defatigati ſunt & mihi equi,
Dum copias cogerem, mala Priamo, ejuſque filiis.
Facito. Sed minimè omnes alii dii comprobabimus.

ιγ'. Τὸ, αἱ δ' ἐπέμυξαν Ἀθηναίη τε, καὶ Ἥρη, ἀντὶ τοῦ, μεμυκόσι χείλεσι ποιὸν ἦχον διὰ τῆς ῥινὸς ἀπετέλεσαν, δυσχεραίνεσαι. Ἔστι δὲ μύζειν,[1] ὡς καὶ ὁ Κωμικὸς δηλοῖ, τὸ τὴν φωνὴν τοῦ μ' στοιχείε ἐκφωνεῖν.[2] Ἐκ δὲ τοῦ μύζειν καὶ ὁ μυκτὴρ λέγεται,[3] καὶ ὁ μυγμὸς, καὶ τὸ μυχθίζειν παρά τε Αἰσχύλῳ, καὶ ἄλλοις. Οὕτω δὲ καὶ ἀπὸ τοῦ ρ' παρηχεῖται ὁ ῥοῖζος, καὶ ἀπὸ τοῦ σ' ὁ σιγμός. Ὅτι δὲ ἡ τοῦ μύζειν κίνησις καὶ τὴν μύτιν παράγει, ἧς χρῆσις ἐν τῷ Ἀθηναίῳ· ἔτι δὲ καὶ τὴν μύξαν, καὶ ἐν ἄλλοις δηλεῦται· καθὰ καὶ ὅτι μύξα, ἐ μόνον περίττωμα τὸ ζωϊκὸν, ἀλλὰ καί τις ἑτεροία ἡ παρὰ τῷ Ὀππιανῷ γλαγόεσσα, καὶ ἡ τοῦ λύχνε δὲ,[4] ἣν καὶ μύκητα φαμεν. ἀφ' ἧς καὶ λύχνος δίμυξος παρά τινι Φιλυλλίῳ,[5] ὥς φησιν ὁ αὐτὸς Ἀθήναιος. Σύντομα ὁμοιοτέλευτα ἐν τῷ, Πλησίαι ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην. ἀντὶ τοῦ, πλησίαι καθεζέσθην, κακὰ δὲ τοῖς Τρωσὶν ἐβελευέσθην. Καὶ ὅρα τὸ πλησίαι. Ἀπὸ ἀρσενικοῦ γὰρ τοῦ, ὁ πλησίος, θηλυκὸν ἡ πλησία· ἐ πληθυντικὸν, αἱ πλησίαι.

XIII. Quod ait: αἱ δ' ἐπέμυξαν Ἀθηναίη τε, καὶ Ἥρη. *Mutiverunt verò, ſeu muſſitarunt Minervaque, & Juno*: perinde eſt, ac ſi diceret: *gravatè id ferentes, compreſſis, clauſiſque labris, certum quemdam ex naribus ſonum ediderunt.* Eſt autem μύζειν, *mutire, ſeu muſſare*, ut Comicus quoque apertè oſtendit, idem atque ſonum litteræ μ' exprimere, atque edere. Ex ipſo porro verbo μύζειν, *mutire*, dicitur ὁ μυκτὴρ, *naris, ſeu naſus*, & ὁ μυγμὸς, *mutitio, ſeu muſſatio*; itemque τὸ μυχθίζειν, *ſuſpirare, atque ingemiſcere*, apud Æſchylum, atque alios. Itaque ex litterâ ρ' per parecheſin fit ὁ ῥοῖζος, *ſtridor*, & ex litterâ σ' ὁ σιγμὸς, *ſibilum*. Sed & ex verbo μύζειν, pro derivandorum nominum ratione, deduci τὴν μύτιν, *naſum*, cujus ſanè vocis exemplum extat apud Athenæum, nec non τὴν μύξαν, *mucum*, alibi oſtendimus: ubi etiam conſtat, μύξαν, *mucum*, non excrementum modò eſſe animalis; ſed etiam alterius generis humorem, qui lacteus eſt apud Oppianum; itemque mucum eſſe lucernæ, quem & μύκητα, *i. e. fungum*, vocamus: a quo muci genere λύχνος δίμυξος, *lucerna, quæ binos mucos, ſeu bina ellychnia habeat*, dicitur apud Philyllium quemdam, ut auctor eſt idem Athenæus. Brevia, & conciſa ſunt illa membra, ſimiliter deſinentia: Πλησίαι ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην. videlicet πλησίαι καθεζέσθην, κακὰ δὲ τοῖς Τρωσὶν ἐβελευέσθην. *Propinquæ ſedebant, malaque Trojanis ſtruebant.* Et vide τὸ πλησίαι, *propinquæ, ſeu vicinæ.* A maſculino enim nomine, ὁ πλησίος, *propinquus*, ſemininum eſt ἡ πλησία, *propinqua*: cujus plurale, αἱ πλησίαι, *propinquæ*.

ιδ'. Ἐν τῷ, Ἤτοι Ἀθηναίη ἀκέων ἦν, οὐδέ τι εἶπεν, οὐκ ἔστι τὸ ἀκέων ἐπίρρημα, ἀντὶ τοῦ ἡσυ-

XIV. In illis verbis: Ἤτοι Ἀθηναίη ἀκέων ἦν, οὐδέ τι εἶπεν. *Certè quidem Minerva tacita erat, neque quidquam reſpondit*; adverbium minimè eſt τὸ

1. ὡς καὶ ὁ Κωμικὸς δηλοῖ) Ariſtophanes Theſmophoriazuſis v. 238. MN. Μῦ, μῦ. ΕΥ. Τί μύζεις; Scholiaſtes: Μῦ. τοῦτο φωνῆς ἐστι θρηνητικόν, ὅθεν καὶ μύζειν παρῆκται, ὅπερ σημαίνει θρηνεῖν, καὶ τοῖς μυστηρίοις ἀπεικάζειν ἦχόν τινα θρηνητικόν. Politus.

Virg. *muſſat Rex ipſe Latinus*, quaſi frequentativum verbi τοῦ μύειν, *connivere*, quod non tam de palpebris, quàm de labris dicitur: unde μυστήριον, *arcanum*, τηρεῖν, *ſervare*, conniventibus labris. *Salvinus*.

2. Ἐκ δὲ τοῦ μύζειν καὶ ὁ μυκτὴρ λέγεται) Etymologus: παρὰ τὸ μύζω μυκτήρ. Lego, παρὰ τὸ μύζω. Polit.

3. καὶ ὁ μυγμὸς) Etymologici Magni Auctor: Μῦ τὸ στενάζειν, ὅτι μυγμόν τινα ἔχει ὁ τοῦτο ἐμφαίνων. μυγμὸς δὲ ἐστιν, ὁ τοῦ μῦ ἦχος διὰ τοῦ μυκτῆρος ἐξερχόμενος. Polit.

4. ἣν καὶ μύκητα φαμεν) Virg. Georg. *putres concreſcere fungos*. Salvinus.

5. ὥς φησιν ὁ αὐτὸς Ἀθήναιος) Mutilus hoc in parte hodiernus Athenæus, apud quem lib. 15. c. 20. τοῦ διμύξου λύχνου meminit Plato in Nocte Longâ, Metagenes in Philothytâ, Philonides in Cothurnis, non Philyllius, de quo tantummodò tradit ibidem Athenæus, τὰς λαμπάδας ab eo δᾶδας appellatas. Et tamen Philyllium, Comicum Poëtam, ipſum quoque τοῦ διμύξου λύχνου meminiſſe teſtatur Julius Pollux lib. 5. c. 18. λύχνου δὲ διμύξου ἐν Κωμῳδίαις Φιλύλλιος μνημονεύει. Alibi etiam idem Philyllius memoratur Polluci. Sicuti autem δίμυξος λύχνος, ſic etiam τρίμυξος, ibidem apud Pollucem. Politus.

τὸ ἀκέων pro ἡσύχως, *tacitè, ac quietè*, ut vult Ariſtonicus, ſimiliter atque illud: Ἀλλ' ἀκέων δαίνυσθε. *Sed tacitè comedite*: ſed dictum eſt Atticè pro ἀκέουσα, *tacens, ſilens, ne biſcens quidem*. Apollonius enim in Commentario ſuo de Participiis ex conſtructione ipſâ planiſſimè, atque accuratiſſimè oſtendit, non poſſe eſſe adverbium medietatis. Itaque novi inuſitatique generis eſt non modò ἡ ὑλήεις Ζάκυνθος, *ſylvoſus Zacynthus*, & quæcumque alia hujuſcemodi; ſed etiam τὸ, ἀκέων Ἀθηνᾶ, *tacens Minerva*. Tale quoque, juxta nonnullos, apud Sophoclem, ſtudioſum illum imitatorem Homeri, illud: κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ. videlicet ἐν ἀφανεῖ ἀχέουσα ἥβῃ. *occultâque dolens in juventute*. Electra nimirum. Verùm de hac voce ἀκέων, *tacitus, ſeu tacita*, nonnulla quoque, explicationis cauſsâ, allata ſunt Commentariis in Odyſſeam. Illud item, οὐδέ τι εἶπε. *nec quidquam dixit*; valet ad declarandum, quid ſibi velit τό, ἀκέων ἦν. *tacens erat*. quod idem eſt, atque τό ἀκήν, quod quidem ſignificat τὸ ἡσύχως, *quietè, tacitè, cum ſilentio, ne biſcendo quidem*; oriturque a particulâ ἀ vim privationis habente, & a verbo χαίνειν, *biſcere*. Similiter autem, atque τό, ἀκέων ἦν, οὐδέ τι εἶπε. *tacens erat, nec quidquam dixit*, ſeſe habet illud: ἀκὴν ἐγένοντο σιωπῇ. *Silentium tenuerunt, ita ut ne biſcerent quidem*. Atque hîc vide, ut ex vehementiori irâ, atque ex nimio excandeſcentis animi motu ſilentium aliquando oritur. Quippe tacet nunc Minerva, Jovi patri ſuo irata. ad quorum ſanè verborum explicationem additum eſt illud: χόλος δέ μιν ἄγριος ᾕρει. *iraque ipſam atrox tenebat*. quæ etiam ira Minervam a loquendo cohibet, aut quia verba ejus præpedit, atque interrumpit, aut quia Minerva ipſa loqui veretur. Ubi etiam volo, obſerves novum quoddam parecheſeos, ſeu adnominationis genus, in illis verbis: χόλος δέ μιν ἄγριος ᾕρει. Ἥρῃ δ' οὐκ ἔχαδε χόλον στῆθος. *iraque ipſam atrox tenebat. Junonis verò pectus iram minimè continuit*. Habet enim quodammodo parecheſin verbum τὸ ᾕρει, *tenebat, ſeu occupabat*, cum nomine proprio Ἥρῃ, *Junoni*. Et ſimile exemplum quærendum eſt in libro ά, ad illa verba: ἔδεισαν, καὶ οὐκ ἔδησαν. *timuerunt, neque ligaverunt*.

XV. De

ἠσύχως, ὡς Ἀριστόνικος βούλεται, ὁμοίως τῷ [1] Ἀλλ' ἀκέων δαίνυσθε· ἀλλ' [2] ἀντὶ τοῦ ἀκέουσα εἴρηται Ἀττικῶς. Ἀπολλώνιος γὰρ ἐν τῷ περὶ μετοχῶν, ἀποδείκνυσιν ἐκ τῆς συντάξεως ἀκριβέστατα, ὅτι οὐ δύναται εἶναι [3] ἐπίρρημα μεσότητος. Καινὸν οὖν γένος οὐ μόνον ἡ ὑλήεις Ζάκυνθος, καὶ ὅσα τοιαῦτα, ἀλλὰ καὶ τὸ, ἀκέων Ἀθηνᾶ. Τοιοῦτον, κατά τινας, καὶ παρὰ τῷ φιλομήρῳ Σοφοκλεῖ τὸ, κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ. ἤγουν ἐν ἀφανεῖ ἀχέουσα ἥβῃ. [4] ἡ Ἠλέκτρα δηλαδή. Περὶ δὲ τοῦ ἀκέων δεδήλωται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Ἔστι δὲ τὸ, οὐδέ τι εἶπε, διασαφητικὸν τοῦ, ἀκέων ἦν, ὃ ταυτόν ἐστι [5] τῷ, ἀκήν, τῷ δηλοῦντι μὲν τὸ ἡσύχως, γινομένῳ δὲ ἀπὸ τοῦ ἁ στερητικοῦ, καὶ τοῦ χαίνειν. Ὅμοιον δὲ πρὸς τὸ, ἀκέων ἦν, οὐδέ τι εἶπε, [6] τὸ, ἀκὴν ἐγένοντο σιωπῇ. Ἐνταῦθα δὲ ἄρα καὶ, ὅτι ἔστι ποτὲ σιγᾶν καὶ διὰ θυμὸν πολύν. Ἀθηνᾶ γοῦν σιωπᾷ νῦν, σκυζομένη Διὶ πατρί. ἡ πρὸς διασάφησιν ἐπῆκται τὸ, χόλος δέ μιν ἄγριος ᾕρει. ὃς καὶ ἐπέχει τὴν λαλιὰν τῇ Ἀθηνᾷ, ἢ κατὰ ἐγκοπὴν, ἢ κατὰ εὐλάβειαν. Σημείωσαι δ' ἐν τούτοις [7] καί τινα καινὴν παρήχησιν, τὸ, χόλος δέ μιν ἄγριος ᾕρει. Ἥρῃ δ' οὐκ ἔχαδε χόλον στῆθος. Παρηχεῖται γάρ πως τὸ ῥῆμα τὸ ᾕρει, πρὸς τὸ Ἥρῃ κύριον ὄνομα. Καὶ ζητητέον τὴν ὁμοιότητα ἐν τῇ ά ῥαψῳδίᾳ, εἰς τὸ, ἔδεισαν, καὶ οὐκ ἔδησαν.

Baſ. p. 335. Rom. p. 441.

ιέ. Πε-

1. Ἀλλ' ἀκέων δαίνυσθε) Ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι. Ubi τὸ ἀκέων Grammatici dicunt eſſe adverbium μεσότητος. Sic enim loquuntur Etymologici Magni Auctor: ὡς ἐπίρρημα πληθυντικῶς ἄρηται τὸ ἀκέων λέγεται· Ἀλλ' ἀκέων δαίνυσθε. ἔστιν δὲ ἐπίρρημα μεσότητος. Suidas: ἀκέων, ἡσυχάζων. παρ' Ὁμήρῳ κατὰ μεσότητα ἐξενήνεκται. ἀντὶ τοῦ, ἐφ' ἡσυχίας. καὶ ἐν ἄλλοις· Ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι. At enim regula eſt quædam apud Etymologum, quæ planè oſtendit, participium eſſe τὸ ἀκέων. Regula eſt hujuſcemodi: ὅσα δὲ εἰς ων λήγοντα, εἰς παράγεται θηλυκὸν εἰς α, τῇ παραληγούσῃ τὸ σ', ταῦτα παρῴχηται τὸ εἶναι μετοχαί. οἷον, λέγων λέγουσα, φέρων φέρουσα, φρονῶν φρονοῦσα. Διὰ τοῦτο τοῦ λόγου δείκνυται καὶ τὸ κρείων μετοχὴ ἐκ τοῦ, κρείουσα γυναικῶν. Sic igitur ex ἀκέουσα, quod alibi legitur, apparet, participium eſſe τὸ ἀκέων. & quo loci Homerus ait, ἀκέων δαίνυσθε καθήμενοι, τὸ ἀκέων facilè poteſt explicari ὑπάρχων ἀκέων, tametſi ibi Euſtathius cum Græcis aliis Magiſtris τὸ ἀκέων accipiat tamquam adverbium, ἀντὶ τοῦ ἡσύχως, factum ex ἀκεόντως, ἀποκοπῇ, καὶ τροπῇ τοῦ ο εἰς ω. Alibi Homerus dicit: Δαίνυσθαί τ' ἀκέοντ', ideſt, ἡσυχάζοντα. Politus.

2. ἀντὶ τοῦ ἀκέουσα εἴρηται Ἀττικῶς) Hinc ἀκέων non ἡσυχάζων modò Heſychio exponitur; ſed etiam ἡσυχάζουσα. ad alterum videlicet ex conſuetudine loquendi Atticâ. Heſychius: ἀκέων, ἡσυχάζων, καὶ ἡσυχάζουσα, ὅτι Ἀθηναίοι ἀκέων ἦν, ὃ ἐπιφλογοῦσα. Polit.

3. ἐπίρρημα μεσότητος) Æmilius Portus, & Ludolphus Kuſterus ἐπίρρημα μεσότητος, adverbium intelligunt vocis ambiguæ, atque ancipitis, quæ ſcilicet & pro participio, & pro adverbio accipi poteſt. Non ita Græci Magiſtri. Etymologici Magni Auctor v. ἁμαρτῇ, διατί λέγονται μεσότητος ἐπιρρήματα; ἐπειδὴ μέσον ἀρσενικοῦ, καὶ οὐδετέρου κεῖνται. & rurſus v. ὄντως· τὸ δὲ ὄντως, ἔστιν ἀπὸ τῆς οὐδετέρου τῶν πληθυντικῶν, καὶ μετασχηματίζεται εἰς ἐπιρρηματικὸν σχῆμα, καὶ γίνεται ἐπίρρημα μεσότητος. οὐ γίνεται δὲ ἐπίρρημα μεσότητος. εἰ μὴ ἔστιν ἀπὸ ἀρσενικοῦ, θηλυκοῦ, καὶ οὐδετέρου. διατοῦτο λέγεται μεσότητος ἐπίρρημα. Unde conſtat, dici illud adverbium μεσότητος, quod, veluti medium, interjectum eſt inter nomina, unde etiam eſt formatum. Sic οὕτως adverbium eſt μεσότητος, quod deductum eſt ἐκ τῆς πληθυντικῆς γενικῆς τοῦ ὄντος. Eſt enim, ut accuratè docet Etymologus, ὄντος ὁ ἀληθής. μετὰ τοῦ ς γενικὴ ἀ, ὄντος. κλίνεται οὕτω. ἡ εὐθεῖα τῶν πληθυντικῶν, ὄντες, ὄντων. ἐξ αὐτοῦ ἐπίρρημα, ὄντως· καὶ κρείσσω τὰ οἱ εἰς τὴν ου δίφθογγον, οὕτως. Et tamen τὸ οὕτως non eſt adverbium vocis ancipitis, ut tam pro nomine, quàm pro adverbio poſſit accipi. Alii veterum cenſuerunt, μεσότητος dicta eſſe adverbia ἀπὸ τοῦ μεταξὺ εἶναι ὀνόματος, καὶ ῥήματος· οἷον ἀπὸ τοῦ φιλόσοφοι, καὶ φιλόσοφος, καὶ φιλοσόφως. quod tamen ab aliis reprehenſum fuit, eo quia non ſemper id verum reperitur. Namque, ut in Oro arguit Etymologus, τὸ καλῶς, καὶ σοφῶς, ῥῆμα οὐκ ἔχει παρακείμενον. Politus.

4. ἡ Ἠλέκτρα δηλαδή) Falsò. Non de Electrâ intelligit Sophocles, ſed de Oreſte, ejus fratre. Verba ſunt Chori ad Electram v. 155.

πρὸς ὅ, τι σὺ τῶν ἔνδον εἶ περισσά,
οἷς ὁμόθεν εἶ, καὶ γονᾷ ξύναιμος,
οἵα Χρυσόθεμις
ζώει, καὶ Ἰφιάνασσα,
κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ.

Demetrius Triclinius: ὁ ἀχέων, καὶ λυπούμενος ἐν κρυπτῇ ἥβῃ, ἕως ὁ λάθρᾳ ἀνατρεφόμενος παρὰ τῷ Στροφίῳ, καὶ διὰ τὸν πατέρα, λυπούμενος ὁ Ὀρέστης. Antiquus Scholiaſta: ἢ μετοχή ἐστι τὸ ἀχέων ἀντὶ τοῦ εὐφραίνων ἐπὶ τοῦ κεκρύφθαι, ἢ ὁ ἐν ἥβῃ κρυπτῇ λυπούμενος. Non igitur τὸ ἀχέων eſt hic apud Sophoclem pro ἀχέουσα. Politus.

5. τῷ, ἀκήν, τῷ δηλοῦντι μὲν τὸ ἡσύχως) Eſt etiam τὸ ἀκήν adverbium μεσότητος. Etymologici Magni Auctor: ἀκήν, ἐπίρρημα μεσότητος, ἀντὶ τοῦ ἡσύχως. παρὰ τὸ μὴ χαίνειν γίνεται ἀχήν, καὶ ἀκήν, ἀχὴ τις οὖσα. Polit.

6. τό, ἀκὴν ἐγένοντο σιωπῇ) *Conticuere omnes, intentique ora tenebant*. *Conticuere eſt* σιωπῇ ἐγένοντο. *intentique ora tenebant*, repræſentat τὸ ἀκήν. ideſt, ἀχανεῖς. Salvinus.

7. καί τινα καινὴν παρήχησιν) Terentius parecheſi uſus, quum dixit: *inceptio eſt amentium, haud amantium*. Salvinus.

ιε΄. Περὶ δὲ τοῦ σκύζεσθαι, ἀφ᾽ οὗ καὶ τὸ σκυδμαίνειν, καὶ τὸ ἐπισκύνιον, ῥηθήσεταί που ἐν τοῖς ἑξῆς. Τὸ δὲ, οὐκ ἔχαδε, δηλοῖ μὲν τὸ ὑπεχώρησε· καὶ γίνεται ἀπὸ τοῦ χῶ τὸ χωρῶ. ἐξ οὗ καὶ χώρα, καὶ χωρίον. ὅθεν παράγωγον τὸ χάζω, καθ᾽ ὁμοιότητα τοῦ, χῶ χάζω. ἐξ οὗ τὸ, γῆρυν ἄφθογγον χάσας. κλῶ κλάζω. κρῶ κράζω. βῶ βάζω. φῶ φάζω. ῥῶ ῥάζω· ἐξ οὗ ἐν Ὀδυσσείᾳ τὸ, [1] Ῥάσατε δ᾽ ὕδωρ. καὶ, [2] ἐρράδαται τοῖχοι. βρῶ βράζω. καὶ τὰ ὅμοια μονοσύλλαβα. Ἡ δὲ κατὰ μέσον παρακείμενον ἀναγνωστέον κέχαδεν, ἢ κατὰ δεύτερον ἀόριστον, ἔχαδε. Θρασεῖα δὲ ἡ Ἥρα καὶ ἐν τοῖς παροῦσιν· ἥπερ Ἀθηνᾶ μὲν ἡσύχως ἔχει, πέψασα τὸν χόλον ζέοντα ἔσω· αὐτὴ δὲ ὑπερεκβλύζει διὰ τοῦ στόματος, οἷα τοῦ στήθους μὴ στέγοντος. περὶ ὃ [3] ζωπυρήμενος ἀνάπτεται κατὰ καιρὸν ὁ θυμὸς, καθὰ καὶ ἐν τῷ, [4] τέτλαθι, κραδίη, δηλοῦται· καὶ ἐν τῷ τὸν Ἀχιλλέα διάνδιχα [5] μερμηρίζειν ἐν λασίοις στήθεσι, καὶ ἐν ἑτέροις πολλοῖς. Ὡς ἐπὶ ἀγγείου δέ τινος ἔρηται τὸ, [6] οὐκ ἔχαδε στῆθος χόλον. ἵνα εἴη νοεῖν, ὡς τῇ μὲν Ἀθηνᾷ τὸ στῆθος ἔστεγε τὸν χόλον· τῇ δὲ Ἥρᾳ ὑπερεξεχεῖτο. τουτέστιν, ἡ μὲν, οὐδὲν εἶπεν, ὡς ὁ Ποιητὴς ἔφη· ἡ δὲ Ἥρα, ἐξελάλησε. διὸ ἐπάγει· ἀλλὰ προσηύδα· αἰνότατε Κρονίδη, καὶ ἑξῆς. ὡς καὶ ἐν τῇ α΄ ῥαψῳδίᾳ κεῖται.

ις΄. Βαρὺ τῇ Ἥρᾳ δοκεῖ, ἐὰν ἀτέλεστον ἱδρώσῃ ἱδρῶτα, κάμοιεν δὲ μάτην αὐτῇ οἱ ἵπποι, λαὸν ἀγειρούσῃ κατὰ Πριάμου. Τοῦτο δὲ μυθικῶς μὲν ἡ Ἥρα ἐποίει, πονουμένη ὑπὲρ τῶν Ἀχαιῶν, διὰ τὴν κατὰ τοῦ Πάριδος μῆνιν· ἄλλως δὲ ἡ βασιλικὴ αὐτὸ ἐξουσία ἐνεργοῦσα ἦν πρεσβευτικῶς, εἰς ἣν ἀλληγορεῖται ἡ Ἥρα, ὡς πολλαχοῦ δηλοῦται. Ἰστέον δὲ, ὅτι τὸ Ὁμηρικὸν τοῦτο χωρίον παρῳδηθὲν, λεχθείη ἂν πρός τινος ἐν κενοῖς κοπιάσαντος. οἷον, πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον, ἠδ᾽ ἀτέλεστον ἱδρῶθ᾽, ὃν ἵδρωσα μόγῳ; Εἰ δὲ καὶ πολιτικὸν εἴη τὸ ἔργον, ἁρμόσει ποτὲ καὶ τὸ ἑξῆς· καμέτην δέ μοι, ἢ ἔκαμον δέ μοι, οἱ ἵπποι λαὸν ἀγειρούσῃ. Τὸ δὲ, πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον; καὶ ἑξῆς, μετ᾽ ὀλίγα ἐκ πευσματικοῦ παραινετικῶς σχηματίζων Ὅμηρος, φησίν· Ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πό-

XV. De verbo σκύζεσθαι, iraſci, irritari, ad iram concitari, a quo etiam oritur τὸ σκυδμαίνειν, ſuccenſere, atque iraſci, & τὸ ἐπισκύνιον, id, quod in ſupercilio eminet, ſeu ipſum ſupercilium, dicturi ſumus alicubi infra. Τὸ, οὐκ ἔχαδε, non continuit, ſignificat τὸ ὑπεχώρησε, cepit, ſeu comprehendit; fitque ex verbo χῶ, ideſt, χωρῶ, capio. ex quo χώρα, & χωρίον, locus, ſpatium, regio. unde derivatum τὸ χάζω, capio, ſeu capax ſum, ad exemplum τοῦ χῶ, χάζω, remitto, ſeu laxo. ex quo illud: γῆρυν ἄφθογγον χάσας. vocem mutam laxans. κλῶ, κλάζω, frango; κρῶ, κράζω, crocito, ſeu aſperius clamo; βῶ, βάζω, vociferor, ſeu loquor; φῶ, φάζω, occido; ῥῶ, ῥάζω, adſpergo, ſeu perfundo: ex quo in Odyſſeâ illud: Ῥάσατε δ᾽ ὕδωρ. Adſpergiteque aquam. &, ἐρράδαται τοῖχοι. adſperſi ſunt parietes. βρῶ, βράζω, ferveo, ſive efferveo; aliaque id genus verba unius ſyllabæ. Porrò autem aut per Præteritum Medium legendum eſt κέχαδε, capacitate ſuâ continuit; aut per Aoriſtum ſecundum ἔχαδε. Temeraria etiam in præſens, ac præceps Junonis audacia. Siquidem, quum Minerva quietè tacitèque ſeſe habeat, interea dum ferventem intus in ſeſe iram concoquit; ipſa tamen affluentem largè iram ore effundit, quaſi ſcilicet pectus eam iram minimè comprimat, aut contineat. quo in pectore excitata excandeſcentia ignem ad tempus concipit, ut manifeſtè conſtat ex illis verbis: τέτλαθι, κραδίη. perferto, anime; itemque cum Achillem dicit διάνδιχα μερμηρίζειν ἐν λασίοις στήθεσι, bifariam in pectore hirſuto cogitaſſe; multiſque aliis ex locis. Quin etiam veluti de vaſe quodam dictum eſt illud: οὐκ ἔχαδε στῆθος χόλον. non continuit pectus iram, ſeu tantâ capacitate non fuit, ut iram contineret. adeo ut intelligere liceat, Minervæ quidem pectore compreſſam contentamque iram fuiſſe; ex pectore verò Junonis ſupra modum, magnâque exuberantiâ eam effuſam: hoc eſt, Minervam nihil dixiſſe, ut Poëta ait; Junonem verò verba protuliſſe. Ideo ſubjicit: ἀλλὰ προσηύδα· Αἰνότατε Κρονίδη, &c. Sed allocuta eſt: Graviſſime Saturnie, &c. Sicuti etiam poſitum eſt in libro α.

XVI. Grave illud, atque intolerabile Junoni videtur, quòd irritum inutilemque ſudorem ſudaverit, ſuique ipſius equi fruſtra ſint defatigati, dum copias contra Priamum cogeret. Quamquam autem id Juno faciebat fabuloſè, ut, Paridis odio, pro Achivis ſuis laboraret; tamen id alioquin per legatos exſequebatur poteſtas, atque auctoritas regia, quæ allegoricè per Junonem ſignificatur, ut pleriſque in locis fit manifeſtum. Sciendum etiam eſt, locum hunc Homericum per parœdiam, ſeu imitationem, uſurpari poſſe ab uno aliquo, qui, poſt multos in re aliquâ labores, oleum atque operam perdiderit. exempli cauſâ: Πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον, ἠδ᾽ ἀτέλεστον ἱδρῶθ᾽, ὃν ἵδρωσα μόγῳ; Quomodo vanum reddere vis laborem, & infructuoſum ſudorem, quem præ labore ſudavi? Sin autem res eſt ejuſmodi, ut ad rempublicam, ſive ad civitatem pertineat: quadrabit etiam aliquando id, quod ſequitur: καμέτην δέ μοι, aut, ἔκαμον δέ μοι, οἱ ἵπποι, λαὸν ἀγειρούσῃ. defatigati ſunt & mihi equi, cum populum cogerem. Illud autem: πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον; &c. quomodo vanum reddere vis laborem? paullò poſt Homerus ex interrogatione in conſilii, ſive admonitionis modum redigit, ac conformat, cum ita ait: Ἀλλὰ χρὴ καὶ ἐμὸν θέμε-

1. Ῥάσατε δ᾽ ὕδωρ) Euſtathii gloſſema τὸ ὕδωρ. Homerus Od. l. υ. v. 149. Ἀγρεῖθ᾽, αἱ μὲν δῶμα κορήσατε ποιπνύσασαι, Ῥάσατέ τ᾽, & cetera. Polit.

2. ἐρράδαται τοῖχοι) Αἵματι δ᾽ ἐρράδαται τοῖχοι. Etymologici Magni Auctor: ἐρράδαται, ἀπὸ τοῦ ῥάζω ῥάσω. ὁ παθητικὸς παρακείμενος ἔρρασμαι ἔρρασαι· καὶ Ἰωνικῶς, ἐρράδαται. Polit.

3. ζωπυρήμενος) l. ζωπυρούμενος. Polit.

4. τέτλαθι, κραδίη) Τέτλαθι δὴ, κραδίη. Polit.

5. μερμηρίζειν) l. μερμήριξεν. Polit.

6. οὐκ ἔχαδε στῆθος χόλον) In alium ſententiam ſimiliter Terentius: Plenus rimarum ſum: totus diffluo. Salvenus.

ἔσηται πόνον οὐκ ἀτέλεστον. *Sed oportet & meum laborem non infructuoſum reddere.* Ad hæc ſciendum, τὸ ἀτέλεστον ἱδρῶτα, *imperfectum, ſeu infructuoſum ſudorem*, facere ad explicationem illorum verborum, ἅλιον πόνον, *vanum, atque inutilem laborem*. Neque dubium eſt, quin ad probrum navigationis, ac rei nauticæ, ἐκ τῆς ἁλὸς, *a mari*, dictum ſit ἅλιον id, quod vanum eſt atque inane. Ac ſimiliter conſtat, τὸ ἀτέλεστον, *imperfectum*, dici etiam ἀτελεύτητον, *non finitum, ſeu non perductum ad finem*. Quamquam hæc ipſa vox apud Sophoclem eum quoque ſignificet, qui rerum, de quibus alter quiſquam quærat, aut interroget, μὴ τελευτὴν ἐπάγει, *finem, aut exitum non adducit*, eo loci, quo ait: ἄτεγκτος κἀτελεύτητος φανῇ. *durus, & inexorabilis videberis*. Quin etiam ſciendum id, quod ab uno aliquo antiquorum traditum eſt, in probri contumeliæque partem accipi τὸ ἅλιος, *vanus*: quum dictum id ſit παρὰ τὴν ἅλα, *a mari*, cujus aqua, res quædam vana, & inutilis ante inventas naves videbatur. Atticum pro more eſt illud: ἱδρῶτα, ὃν ἵδρωσα. *ſudorem, quem ſudavi*. ſicuti etiam illud: δαίνυ δαῖτα. *epulandum præbe epulum*. aliaque hujus generis, in quibus verbo conſonat nomen, quod ex ipſo verbo eſt derivatum.

XVII. Quatenus quis cedit, qui animo ſit offenſo, & invitus cedat, benè uſurpaverit verba illa Junonis, videlicet: Ἔρδε· ἀτὰρ οὐ πάντες ἐπαινέομεν ἄλλοι. *Fac. at non omnes alii comprobabimus*. ſimiliterque verba illa Jovis: Ἔρξον, ὅπως ἐθέλεις, μὴ τοῦτό γε νεῖκος ὀπίσσω σοὶ, καὶ ἐμοὶ μέγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται. *Fac, at vis, ne hoc utique jurgium, ſeu contentio, poſthac tibi, & mihi magna inter utraſque concertatio evadat*. Sciendum autem eſt, illud, Ἔρξον, ὅπως ἐθέλεις, *fac, ut vis*, dictum eſſe per periphraſin ad explicandum, quid ſibi velit τὸ, ἔρδε, *fac*. quod per ellipſin quoque, ſeu locutione minùs integrâ, legitur in libro α'. Idem autem eſt νεῖκος, *jurgium, rixa, altercatio*, atque ἔρισμα, hoc eſt, ἔρις, *contentio*. Vide item ex uno Themate variè illa prolata τὸ ἔρδε, & τὸ ἔρξον, *facito*. Verbum enim primitivum quum ſit ῥέζω, ῥέξω, *facio, faciam*; deinde, tranſpoſitis per metatheſin litteris, ἔρζω, quemadmodum, ſi, conſuetâ mutatione τοῦ ζ in δ, tranſit in ἔρδω, nullam temporum inflexionem admittit; ſic etiam, ſi ipſum per ſeſe ſumitur, more Dorico habet Futurum cum ξ, ex quo τὸ ἔρξον, *facito*. Rurſus τὸ ἔρξον, *facito*, poteſt eſſe ab ἔργω, *facio*, ex quo τὸ ἔοργα, *feci*. Denique, quum verbum primitivum ſit τὸ ῥέζω, *facio*, hoc eſt, ἐῤῥωμένως πράττω, *fortiter, ſeu cum robore ago*, tamquam ex ῥῶ, *corrobora, ſeu confirmo*, verbo unius ſyllabæ: verbum verò inde derivatum ſit τὸ ἔρδω, *facio*; vide, ut hoc loci poſitum ſit amborum verborum exemplum, illius quidem, ubi ait: κακὰ ῥέζουσι, *mala facinora faciunt*: hujus verò, cum dicit ἔρδε, *facito*.

πόνον οὐκ ἀτέλεστον. Ἰστέον δὲ καὶ, ὅτι τοῦ, ἅλιον πόνον, ἀφερμηνευτικόν ἐστι τὸ, ἀτέλεστον ἱδρῶτα. Οὐκ ἄδηλον δὲ, ὡς ἐπὶ ψόγῳ τῆς ναυτιλίας, [1] ἅλιον ἐκ τῆς ἁλὸς τὸ μάταιον εἴρηται. καὶ ὡς τὸ ἀτέλεστον καὶ ἀτελεύτητον λέγεται. αὐτὸ δὲ παρὰ Σοφοκλεῖ, καὶ τὸν μὴ τελευτὴν ἐπάγοντα τοῖς ζητουμένοις δηλοῖ, ἐν τῷ, [2] ἄτεγκτος κἀτελεύτητος φανῇ. Ἰστέον δὲ καὶ, ὅτι βλασφημίας μόριον, παλαιός τις φησὶ καὶ τὸ ἅλιος, ῥηθὲν παρὰ τὴν ἅλα, ἧς τὸ ὕδωρ ἀκαιρόν τι ἐδόκει πρὶν ἢ τὰς νῆας ἐφευρεθῆναι. Ἀττικὸν δὲ συνήθως τὸ, ἱδρῶτα, ὃν ἵδρωσα. ὡς καὶ τὸ, δαίνυ δαῖτα. καὶ τὰ ἄλλα, ἐν οἷς συνεκφωνεῖται τῷ ῥήματι καὶ τὸ ἐξ αὐτοῦ ὄνομα.

ιζ'. Ἐφ' αἷς τις παραχωρεῖ δυσαρεστούμενος μὲν, ἄκων δὲ ὑπενδιδοὺς, καλῶς ἂν ἐρεῖ τὸ τῆς Ἥρας, ἤγουν τὸ, Ἔρδε, ἀτὰρ οὐ πάντες ἐπαινέομεν ἄλλοι. ὁμοίως καὶ τὸ τοῦ Διός· Ἔρξον, ὅπως [3] θέλεις, μὴ τοῦτό γε νεῖκος ὀπίσσω σοὶ, καὶ ἐμοὶ μέγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται. Ἰστέον δὲ, ὅτι ἔρξον, ὅπως ἐθέλεις, περιφραστικὴ ἑρμηνεία ἐστὶ τοῦ, ἔρδε. ὃ ἐλλιπῶς καὶ ἐν τῇ α' ῥαψῳδίᾳ κεῖται. Ταυτὸν δὲ νεῖκος, καὶ ἔρισμα, ὅ ἐστιν ἔρις. Ὅρα δὲ τὸ ἔρδε, καὶ τὸ ἔρξον διαφόρως ἐξ ἑνὸς θέματος προφερόμενα. Προϋποκειμένου γὰρ τοῦ ῥέζω ῥέξω, εἶτα μεταθέσεως γενομένης, [4] τὸ ἔρζω, [5] τροπῇ μὲν συνήθει τοῦ ζ' εἰς δ', ἔρδω [6] γεγονὸς, μένει ἄκλιτον· καθ' αὑτὸ δὲ ὄν, [7] διὰ τοῦ ξ' ἔχει τὸν μέλλοντα Δωρικώτερον, ἐξ οὗ τὸ ἔρξον. Καὶ ἄλλως δὲ τὸ ἔρξον, δύναται ἀπὸ τοῦ ἔργω εἶναι, ἀφ' οὗ τὸ ἔοργα. Ὅρα δὲ, ὅτι, πρωτοτύπου μὲν ὄντος τοῦ, ῥέζω, ὅπερ ἐστὶν ἐῤῥωμένως πράττω, ὡς ἐκ τοῦ ῥῶ μονοσυλλάβου ῥήματος, δευτερεύοντος δὲ τοῦ ἔρδω, χρῆσις ἐνταῦθα κεῖται ἀμφοῖν, τοῦ μὲν, ἐν τῷ, κακὰ ῥέζουσι· τοῦ δὲ, ἐν τῷ, ἔρδε.

At ei valdè indignatus reſpondit nubium coactor Juppiter:
Infelix, quid tibi Priamus, Priamique filii
Tantum malorum faciunt, ut pro irâ aſſiduè cupias
Ilii evertere benè ædificatum oppidum?
Quòd ſi tute portas, altaſque muros ingreſſa,
Crudum Priamum, Priamique filios vorares,
Aliosque Troianos, tum demum iram fortaſſe perſanares.
Facito, ut vis, ne hoc poſtea jurgium
Tibi & mihi magna inter utroſque contentio evadat.

Τὴν δὲ μέγ' ὀχθήσας, προσέφη νεφεληγερέτα Ζεύς·
Δαιμονίη, τί νύ σε Πρίαμος, Πριάμοιό τε παῖδες
Τόσσα κακὰ ῥέζουσιν, ὅτ' ἀσπερχὲς μενεαίνεις
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον;
Εἰ δὲ σύ γ' εἰσελθοῦσα πύλας, καὶ τείχεα μακρά, Rom. p.442.
Ὠμὸν βεβρώθοις Πρίαμον, Πριάμοιό τε παῖδας,
Ἄλλους τε Τρῶας, τότε κεν χόλον ἐξακέσαιο, Baſ. p. 336.
Ἔρξον, ὅπως ἐθέλεις, μὴ τοῦτό γε νεῖκος ὀπίσσω
Σοὶ, καὶ ἐμοὶ μέγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται.

1. ἅλιον ἐκ τῆς ἁλὸς τὸ μάταιον εἴρηται) Etymologici Magni Auctor: ἅλς ἁλὸς ἅλιον, οἷον τὸ εἰς θάλασσαν ῥιπτούμενον, καὶ ἀφανιζόμενον, ἢ ἀπὸ μεταφορᾶς τοῦ θαλασσίου ὕδατος. τὸ γὰρ τῆς θαλάσσης ὕδωρ ἄχρηστον εἰς πόσιν. Politus.
2. ἄτεγκτος κἀτελεύτητος φανῇ) φανεῖ apud Suidam. perperam. Legendum eſt φανῇ. Sophocles in Oedipo Tyranno:
'Αλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανῇ. Politus.
3. θέλεις) Homerus ἐθέλεις. Polit.
Sic Euſtathius paſſim Homeri verſus in proſam ſolvit oratianem. Salvinus.
4. τὸ ἔρζω) Sic ἕρδ' & ἕρξον cum adſpiratione in Editione Florentinâ. Sed variat verbi hujus ſcriptura. Polit.
5. τροπῇ μὲν συνήθει τοῦ ζ' εἰς δ') Sit hæc τροπὴ, ὅπου ἐν ἁπλῇ λέξει σύμφωνον πρὸ τοῦ ζ' οὐχ ὁρᾶται. Politus.
6. γεγονὸς) L. γεγονός. Polit.
7. διὰ τοῦ ξ' ἔχει τὸν μέλλοντα Δωρικώτερον) Etymologici Magni Auctor v. ἔρδω. ὑποφέρεται δὲ ἐπὶ τὸ μέλλοντος διὰ τοῦ ξ'. οἷον, Ἔρξον, ὅπως ἐθέλεις, ἀντὶ τοῦ πρᾶξον. Polit.

ιη'. Ὁ ἄγαν τινὶ θυμούμενος, ἀκούσοι ἂν ποτε εἰκότως τὸ, Δαιμονίη, τί νύ σε κακὸν ῥέζω, ὅτ' ἀσπερχὲς μενεαίνεις; ἤγουν τί σε κακοποιῶ, ὅτι πάνυ ἐπισπέρχεις, ἤτοι σπεύδεις εἰς τὸ κατ' ἐμοῦ μένος; Ἥρα δὲ τοῦτο ἀκούει ἐκ Διὸς, δαιμονίη προσρηθεῖσα. [1] Ἔστι δὲ ἀσπερχὲς, τὸ πολυσπούδαστον. [2] ὃ περιασπερχὲς λέγει ὁ Σοφοκλῆς, κατ' ἐπίτασιν καὶ αὐτός. Ἁπλοῦν δὲ αὐτοῦ ῥητὸν, οὐ τὸ σπερχὲς, ἀλλὰ τὸ σπερχνὸν, ὅμοιον ὂν τῷ, τερπνὸν, καὶ στεγνόν. Θυμὸν θέλων ἐνδείξασθαι τῆς Ἥρας πάνυ πολὺν ὁ Ζεὺς, φησίν· Εἰ δὲ σύ γε εἰσελθοῦσα πύλας, καὶ τείχεα μακρὰ, ὠμὸν βεβρώθοις Πρίαμον, Πριάμοιό τε παῖδας, ἄλλους τε Τρῶας, τότε κεν τὸν χόλον ἐξακέσαιο. Ὁ δὲ λόγος, ἁρμόσει πολὲ παρῳδηθεὶς καὶ ἄλλοις προσώποις πάνυ θυμουμένοις. ὁποῖον καὶ τὸ εὐξάμενον, ἄφεσιν αὐτῷ ἐγγενέσθαι, ἥπατι ἀνθρώπου ἐμφῦναι, ὥστε καταφαγεῖν. Σημείωσαι δὲ, ὅτι ἀνωτέρω αἰνότατος ὑπὸ Ἥρας ὁ Ζεὺς ὀνειδισθεὶς, ἀντισκώπτει ἄρτι αὐτὴν, εἰς ἄκραν ἀπήνειαν, δι' ἣν ὠμὸν ἂν φάγοι τὸν Πρίαμον, καὶ τοὺς περὶ αὐτόν. Ὅρα δὲ καὶ τὸ, χόλον ἐξακέσαιο· νόσος μὲν γὰρ οἷον τὸ χολοῦσθαι· τὸ δὲ παύσασθαι τοῦ χόλου, ἀκέσασθαί ἐστι. Τοῦ δὲ βεβρώθοις, τὸ θέμα βεβρώθω, [3] γενόμενον κατὰ ἀναδιπλασιασμὸν ἐκ τοῦ βρῶ, καθὰ ἐκ τοῦ κλῶ τὸ κλώθω.

XVIII. Qui vehementi in unum aliquem irâ inflammatur, dictum ſibi appoſitè illud aliquando audierit: Δαιμονίη, τί νύ σε κακὸν ῥέζω, ὅτ' ἀσπερχὲς μενεαίνεις; *infelix, quid tibi mali facio, quamobrem tete animus aſſiduè ad iram impellat?* videlicet, τί σε κακοποιῶ, ὅτι πάνυ ἐπισπέρχεις, ſive σπεύδεις εἰς τὸ κατ' ἐμοῦ μένος; *quid tibi mali facio, quare ad iram contra me vehementer impellare, ſive incitere?* Quod quidem Juno dictum ſibi ab Jove audit, quum ab eo ipſa appelletur δαιμονίη, *infelix*. Eſt autem τὸ ἀσπερχὲς idem atque τὸ πολυσπούδαστον, *ſtudioſè admodum expetitum, ſeu multo ſtudio, magnâque feſtinatione*. quod Sophocles, ipſe quoque per incrementum, dicit περιασπερχὲς, *ſupra modum urgens, ac premens*. Ejus vox ſimplex non eſt τὸ σπερχὲς, ſed τὸ σπερχνὸν, *præproperum, ſeu perquam celere*, quod ſimiliter dicitur, atque τὸ τερπνὸν, *jucundum, ſeu vim oblectandi habens*, & στεγνὸν, *adſtrictum, tectum, præcluſum*. Juppiter, quum iratæ Junonis magnam prorſus excandeſcentiam, atque indignationem oſtendere velit, verbis hiſce utitur: *Quòd ſi tu portas, & altos muros ingreſſa, Priamum crudum, Priamique filios, alioſque Trojanos vorares; tum demum fortaſſe iram perſanares, vel penitus placares.* Hæc autem verba in alias quoque perſonas ſunt aptè interdum per parœdiam quadratura, quæ ſcilicet perſonæ vehementi prorſus indignationis æſtu excandeſcant. cujuſmodi eſt votum optantis excitari ſibi deſiderium inhærendi hominis jecori ad illud devorandum. Volo porrò, obſerves, ut Juppiter, quum per probrum, ac contumeliam appellatus ſupra ab Junone fuerit αἰνότατος, *graviſſimus*, eam nunc viciſſim irrideat, ac mordeat, ob ſummam ejus immanitatem, qua vel crudum Priamum, ejuſque liberos, alioſque de ejus comitatu, eſſet voratura. Vide etiam illud, χόλον ἐξακέσαιο, *iram perſanares*. Eſt enim veluti morbus, ira; iram verò deponere, eſt eam ſanare. Τοῦ βεβρώθοις, *comederes*, thema eſt βεβρώθω, *comedo*, quod per reduplicationem factum eſt ex βρῶ, *comedo, ſeu paſco*: ſicuti τὸ κλώθω ex verbo κλῶ, *neo, ſeu glomero*.

Ἄλλο δέ τοι ἐρέω. σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
Ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι,
Τὴν ἐθέλω, ὅθι τοι φίλοι ἀνέρες ἐγγεγάασι,
Μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ' ἐᾶσαι.
Καὶ γὰρ ἐγὼ σοὶ δῶκα ἑκὼν, ἀέκοντί γε θυμῷ.
Αἳ γὰρ ὑπ' ἠελίῳ τε, καὶ οὐρανῷ ἀστερόεντι
Ναιετάουσι πόληες ἐπιχθονίων ἀνθρώπων,
Τάων μοι περὶ κῆρι τιέσκετο Ἴλιος ἱρὴ,
Καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
Οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
Λοιβῆς τε, κνίσης τε. τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες,
Ἄργος τε, Σπάρτη τε, καὶ εὐρυάγυια Μυκήνη.
[4] Τὰς διαπέρσαι, ὅτ' ἄν τοι ἀπέχθωνται περὶ κῆρι,
Τάων οὔτοι ἐγὼ πρόσθ' ἵσταμαι, οὐδὲ μεγαίρω.
Εἴπερ γὰρ φθονέω τε, καὶ οὐκ εἰῶ διαπέρσαι,
Οὐκ ἀνύω φθονέουσ'· ἐπεὶ ἦ πολὺ φέρτερός ἐσσι.
Ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεστον,
Καὶ γὰρ ἐγὼ θεός εἰμι, γένος δέ μοι ἔνθεν, ὅθεν σοί·
Καί με πρεσβυτάτην τέκετο Κρόνος ἀγκυλομήτης,
Ἀμφότερον, γενεῇ τε, καὶ οὕνεκα [5] σοι παράκοιτις
Κέκλημαι. σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις.
Ἀλλ' ἤτοι μὲν ταῦθ' ὑποείξομεν ἀλλήλοισι,
Σοὶ μὲν ἐγὼ, σὺ δ' ἐμοί. ἐπὶ δ' ἕψονται θεοὶ ἄλλοι
Ἀθάνατοι. σὺ δὲ θᾶσσον Ἀθηναίῃ ἐπιτεῖλαι,
Ἐλθεῖν ἐς Τρώων, καὶ Ἀχαιῶν φύλοπιν αἰνὴν,
Πειρᾶν θ', ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
Ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.

Aliud porrò tibi dicam. Tu verò in mentem repone tuam.
Quandocumque & ego urbem excindere capiam,
Quam voluero, ubi chari tibi viri nati ſunt,
Ne remoreris meam iram; ſed me ſinito.
Nam & ego tibi dedi volens, quamvis invito animo.
Quæ enim ſub ſole, & cælo ſtellato
Habitantur urbes terreſtrium hominum,
Harum a me maximè ex animo honorabatur Ilium ſacrum,
Et Priamus, & populus bellicoſi Priami.
Non enim mihi unquam ara carebat epulo æquali,
Libationeque, & nidore. Id enim honoris ſortiti ſumus nos.
At ei poſtea reſpondit formoſa oculis veneranda Juno:
Certè quidem tres mihi ſunt multò chariſſimæ urbes,
Argoſque & Sparta, & latis urbs viis Mycenæ.
Has excinde, quando tibi ex animo ſunt inviſæ.
Pro his ego non pugno, nec tibi eas invideo.
Quamvis enim invideam, neque te eas ſinam evertere,
Nihil invidendo proficio: quoniam multò potentior es.
Sed oportet & meum laborem non infructuoſum reddere.
Nam & ego dea ſum, genuſque inde mihi, unde tibi:
Et me maximè venerandam genuit Saturnus vafer,
Utrimque, & propter genus, & quòd tua conjux
Sum vocata. Tu vero inter omnes Immortales regnas.
Verùm enim verò hoc condonabimus invicem,
Tibi ego, tu mihi. dii poſtea alii ſequentur
Immortales. Tu verò ocius Minervæ manda,
Eat ut in Trojanorum, & Achivorum pugnam gravem,
Experiaturque, quomodo Troës in glorioſos Achivos
Initium ipſi violandi fœderis faciant.

ιθ'. Τὸ

XIX. Τὸ

1. Ἔστι δὲ ἀσπερχὲς, τὸ πολυσπούδαστον) Etymologici Magni Auctor: ἀσπερχὲς, ἀδιαλείπτως κατ' ἐπίτασιν τὸ α, συνεχὲς, τὸ ἄγαν ἐσπευσμένον, παρὰ τὸ σπέρχω. συνεχῶς, ἰσχυρῶς, ταχέως, Polit.

2. ὃ περιασπερχὲς λέγει ὁ Σοφοκλῆς) Sophocles Ajace: ὦ περισπερχὲς πάθος. Polit.

3. γενόμενον κατὰ ἀναδιπλασιασμὸν ἐκ τοῦ βρῶ) Etymologici Magni Auctor: βρῶ, βρώσω, βέβρωκα. ἐκ τούτου ῥῆμα βεβρώκω· τροπῇ τοῦ κ' εἰς θ, βεβρώθω. Polit.

4. Τὰς διαπέρσαι) Hunc verſum, mutato ordine, poſt ſequentem, legit Euſtathius. Polit.

5. σοι παράκοιτις) Euſtathius, σὴ παράκοιτις. Polit.

XIX. Τὸ, ἐνὶ φρεσὶ βάλλεο σῇσιν, *in mentem conjicito tuam*, perinde eſt, ac ſi diceret, ἐπιτυχῶς θὲς εἰς νῦν. *bene, ac firmiter in animum reponito*. Conſtat autem, aliud eſſe τὸ βαλέσθαι, *in animo verſare, cogitare, animum advertere, ſeu adjicere, in animum inducere*; aliud τὸ βαλεῖν, *jacere, ſeu ferire*. Juppiter, & Juno, more populari, ſibi mutuò de arbitrio ſuo paullulùm concedunt, ut ne ſocietatem, atque concordiam contentione ſuâ dirimant. Ac orationis quidem hujus diligentior obſervatio ad artificium Rhetoricum eſt maximè accommodata. Quum enim Juppiter Trojam gratificetur, quam, ut ait, habet ipſe unam; tamen illa pro unâ Trojâ tres ei urbes concedit. Et videtur hoc loci Poëta veluti divinando Mycenæ excidium innuere, quam de tribus hiſce urbibus afflictam, atque everſam Ariſtoteles narrat. Hiſtoriarum etiam monumentis proditum eſt, eam urbem a Perſeo ædificatam; ſed poſt Trojanum bellum decreviſſe; poſtremo ab Argivis dirutam, ac deletam fuiſſe, ita ut ne veſtigium quidem Mycenæ, ut ferunt, ſuperſit. Habet præterea hic locus exaggerationem gratiarum, & beneficiorum. Namque Juppiter non quomodocumque, aut generatim concedere ſeſe urbem profitetur; ſed quam maximè omnium ſub cœlo urbium colebat, atque obſervabat, adjectâ illâ etiam cauſâ, quòd perpetua ibi ſacrificia fierent. Juno verò, ipſa quoque, non quaſcumque, aut ignobiles urbes ſeſe ei permittere ait; ſed multò omnium chariſſimas. Attamen obſerva, Jovem hic manifeſtè mentiri, more Oratorio, ut gratiam amplificet, atque augeat. Non enim ſic ex animo Trojam ab eo diligi, atque in oculis ferri, apertè docet Neptunus, cum ait: *Jam enim Priami prolem odio habet Saturnius*. Et merito, quòd religionem perjurio violaſſent.

XX. Ceterùm hic Poëta phraſi hac, atque elocutione utitur: Quandocumque & ego urbem, quam voluero, excindere cupiam, ubi chari tibi viri nati ſunt, ne remoreris, neque interpelles meam iram; ſed me ſinito. Namque & ego tibi urbem volens dedi, quamvis animo invito. Quæ enim ſub ſole, & cœlo ſtellato urbes terreſtrium hominum habitantur, τάων μοι περὶ κῆρι, *præ his mihi corde*, hoc eſt, τύτων μοι περισσότερον ἐν τῇ ψυχῇ, *harum maximè mihi in animo*, ſacrum Ilium honorabatur, & Priamus, & populus bellicoſi Priami. Non enim mihi umquam animus æqualibus epulis, eorum nimirum, qui ſacrificabant, libationeque, & nidore carebat. Id enim honoris ſortiti nos ſumus. Hæc Juppiter fabuloſus. At enim Juno: Certè quidem, inquit, tres mihi ſunt urbes multò chariſſimæ, Argos, Sparta, & latis urbs viis Mycenæ. ex quibus urbibus Argos cognomen Junoni dedit Argivæ. Pro his ego, inquit, non pugno, nec tibi eas invideo. Has excindito, atque evertito, quando animo tuo ſunt eæ inviſæ. Quamvis enim invideam, neque te ſinam eas evertere, nihil invidendo proficio: quoniam multò me es potentior. Sed oportet meum quoque laborem non infructuoſum, ne-

ιθʹ. Τὸ, ἐνὶ φρεσὶ βάλλεο σῇσιν, ἀντὶ τῦ, ἐπιτυχῶς θὲς εἰς νῦν. Δῆλον δὲ, ὡς διαφέρει τὸ βαλέσθαι τῦ βαλεῖν. Ἀντιπαραχωρῦσιν ἀλλήλαις βιωτικώτερον [1] θελημάτων τινῶν, Ζεύς τε, *Baſ. p. 337.* καὶ Ἥρα, ἵνα μὴ τὴν συζυγίαν τῇ φιλονεικίᾳ διϊςῶσι. Ῥητορικωτάτη δὲ ἡ σκευωρία τῦ λόγυ. Ὁ μὲν γὰρ Τροίαν, τὴν μίαν, ὥς φησιν, ἔχει, χαρίζεται· ἡ δὲ, ἀντὶ μιᾶς τρεῖς αὐτῷ προΐεται. Δοκεῖ δὲ ἐνταῦθα μαντικώτερον παραλαλεῖν ὁ Ποιητὴς τὴν τῆς Μυκήνης ἀπώλειαν, τὴν ἐκ τῶν ῥηθεισῶν τριῶν, κακῶς παθῦσαν καὶ Ἀριςοτέλης ἱςόρησε. Φέρεται δὲ ἱςορία καὶ, ὅτι Περσεὺς μὲν [2] αὐτὰς ἔκτισεν· [3] ἐταπεινώθησαν δὲ μετὰ τὰ Τρωϊκά· [4] ὕςερον δὲ κατεσκάφησαν ὑπὸ Ἀργείων, ὡς μηδὲ ἴχνος, φασὶ, Μυκήνης εὑρίσκεσθαι. Ἔχει δ᾽ ὁ τόπος ὗτος καὶ αὔξησιν χαρίτων. Ζεὺς μὲν γὰρ, ὐχ ἁπλῶς πόλιν προΐεσθαι λέγει, ἀλλ᾽ ἣν ἐτίμα πασῶν μάλιςα πόλεων τῶν ὑπ᾽ ὐρανὸν, προσθεὶς καὶ αἰτίαν τὸ αὐτόθι ἐνδελεχὲς τῶν θυσιῶν. Ἥρα δέ φησι καὶ αὐτὴ, ὅτι ὐ τῶν τυχόντων ὑπεξίςαμαί σοι, ἀλλὰ τῶν φιλτάτων. Σημείωσαι δὲ, ὅτι ψεύδεται ὁ Ζεὺς ἐνταῦθα φανερῶς, νόμῳ ῥητορικῷ, αὔξων τὴν χάριν. Ὅτι γὰρ ὐχ ὕτως ἐκθύμως τὴν Τροίαν φιλεῖ, δηλοῖ ὁ Ποσειδῶν ἐν τῷ, [5] Ἤδη γὰρ Πριάμυ γενεὴν ἤχθηρε Κρονίων. καὶ εἰκότως. ἐπιώρκησαν γάρ.

κʹ. Φράζει δ᾽ ἐν τύτοις ὁ Ποιητὴς, ὕτω. Ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι, τὴν ἐθέλω, ὅθι τοι φίλοι ἀνέρες ἐκγεγάασι, μήτι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ᾽ ἐᾶσαι. Καὶ γὰρ ἐγώ τοι δῶκα ἑκὼν, ἀέκοντί γε θυμῷ, Αἳ γὰρ ὑπ᾽ ἠελίῳ τε, καὶ ὐρανῷ ἀςερόεντι ναιετάυσι πόληες ἐπιχθονίων ἀνθρώπων, τάων μοι περὶ κῆρι, τυτέςι, τύτων μοι περισσότερον ἐν τῇ ψυχῇ, τιέσκετο Ἴλιος ἱρὴ, καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο. Οὐ γάρ μοί ποτε [6] θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης, τῆς τῶν θυόντων δηλαδὴ, λοιβῆς τε, κνίσσης τε. Τὸ γὰρ λάχομεν γέρας ἡμεῖς. Καὶ ταῦτα μὲν τὰ τῦ μυθικῦ Διός· ἡ δὲ Ἥρα, ἤτοι ἐμοί, φησι, τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες, Ἄργος τε, Σπάρτη τε, καὶ εὐρυάγυια Μυκήνη, [7] ὧν ἐκ τῦ Ἄργυς καὶ Ἀργεία λέγεται. Τάων [8] ὔτι ἐγὼ πρόσθ᾽ ἵςαμαι, ὐδὲ μεγαίρω, τὰς διαπέρσαι, ὅταν τοι ἀπέχθωνται περὶ κῆρι. Εἴπερ γὰρ φθονέω τε, καὶ ὐκ εἰῶ διαπέρσαι, ὐκ ἀνύω φθονέυσα· ἐπειὴ πολὺ φέρτερός ἐσσι. Ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον ὐκ ἀτέ-

1. θελημάτων) l. θελημάτων. Polit.
2. αὐτὰς ἔκτισεν) τὰς Μυκήνας. Strabo: ἔκτισε δ᾽ αὐτὰς Περσεύς. Polit.
3. ἐταπεινώθησαν δὲ μετὰ τὰ Τρωϊκά) Strabo: Μετὰ δὲ τὰ Τρωϊκὰ, τῆς Ἀγαμέμνονος ἀρχῆς καταλυθείσης, ἐταπεινώθησαν Μυκῆναι. Polit.
4. ὕςερον δὲ κατεσκάφησαν ὑπὸ Ἀργείων) Strabo: χρόνοις δ᾽ ὕστερον κατεσκάφησαν ὑπ᾽ Ἀργείων· ὥστε νῦν μηδ᾽ ἴχνος εὑρίσκεσθαι τῆς Μυκηναίων πόλεως. Fulv.
5. Ἤδη γὰρ Πριάμυ γενεὴν ἤχθηρε Κρονίων) *Jamque etenim Priami prolem Saturnius odit*. Salvinus.
6. θυμὸς ἐδεύετο) Vulgò in Homero legunt, βωμός. Polit. Alibi: ὐ θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης. Salvin.
7. ὧν ἐκ τῦ Ἄργυς καὶ Ἀργεία λέγεται) Unde & Junoni *chari Argi* apud Virgilium. Mela l. 3. c. 3. *in Argolide Argos, & Mycenæ, & templum Junonis, vetuſtate, & religione percelebre*. Polit.
8. ὔτι) Malim ὐ τοι. Polit.

ἀτέλεστον. Καὶ γὰρ ἐγὼ θεός εἰμι, γένος δέ μοι. καὶ ἑξῆς. Ἰστέον δὲ, ὅτι ἐν τοῖς ῥηθεῖσι τὸ μεμαὼς, ταυτόν ἐστι τῷ, μισῶν περὶ κῆρι. οὗ παθητικὸν τὸ, ἀπέχθωνται περὶ κῆρι. Τὸ δὲ πόλιν, ὅθι τοι φίλοι ἀνέρες ἐκγεγάασι, περίφρασίς ἐστι τοῦ, πόλιν φιλουμένην σοι. Τὸ δὲ, μήτι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ' ἐᾶσαι, θυμούμενός τις εἴποι ἂν πρὸς τὸν οὐ κατὰ καιρὸν μεσιτεύοντα εἰς παῦσιν θυμοῦ. Ἔστι δὲ διατρίβειν, τὸ παρελκύειν, καὶ ὑπερβιβάζειν. Οὕτω καὶ [1] ἡ Πηνελόπη διατρίβειν λέγεται τοῖς μνηστῆρσι τὸν γάμον.

κα'. Τὸ δὲ, ἐγώ σοι δῶκα, ἢ ἀπολύτως ἀντὶ τοῦ παρεχώρησα, ἢ ἀντὶ τοῦ ἐδωρησάμην σοι πόλιν φίλην μοι, τὴν Τροίαν δηλαδὴ, ὡς προϊὼν αὐτὸς ἑρμηνεύσει. Τὸ δὲ ἑκὼν, ἀέκοντί γε θυμῷ, ἔοικε μὲν εἰς κοινὴν παροιμίαν τὴν, [2] ἑκὼν ἀέκων τόδε τι πεποίηκα. [3] δι' ἧς βοηθοῖτ' ἂν καὶ τό,

Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

ὃ δὴ πικρῶς λοιδορεῖ ὁ Κωμικός. Πάνυ δὲ ἀκριβῶς ἔχει τὸ Ὁμηρικὸν, καὶ οὐ πάσχει ἀντίφασιν, ὡς δῆθεν ἀδύνατον ἓν συνυπάρχειν τὸ ἑκὼν, καὶ τὸ, ἀέκοντι θυμῷ. Δῆλον γὰρ, ὡς πολλάκις μὴ προηγησαμένης προαιρέσεως, γίνεταί τι, ὃ πῆ μὲν ἐθέλομεν, πῆ δὲ οὔ. Οὕτω καὶ οἱ τὰ φορτία ἐν κλύδωνι ἀποβάλλοντες, πῶς μὲν ἀέκοντες δρῶσι, τῷ δέει γὰρ τοῦ κινδύνου. πῶς δὲ ἑκόντες. ἵνα γὰρ σωθῶσι. [4] καὶ ἑκόντες μὲν, ἀποβάλλουσιν· ἄκοντες δὲ, ζημιοῦνται. Ἰστέον δὲ, ὡς ὁ μὲν Ὁμηρικὸς Ζεὺς, συντόμως τε, καὶ ἀσαφῶς τὸ ῥηθὲν ἔφρασεν· ἡ δὲ Ἥρα, διασαφεῖ τὸ νόημα, εἰποῦσα περὶ τῶν ἑαυτῆς πόλεων, ὅτι τούτων ἐγὼ οὐ προΐσταμαι, οὐδὲ μεγαίρω. εἴπερ γὰρ, ὡς καὶ προεγράφη, φθονῶ, καὶ οὐκ ἐῶ διαπέρσαι, οὐκ ἀνύω φθονοῦσα· ἐπεὶ πολὺ φέρτερος εἶ. Ἰδοὺ γὰρ καὶ αὐτὴ ἑκοῦσα, καὶ ἄκουσα συντίθεται τῷ τοῦ Διὸς θελήματι. Καθὸ μὲν γὰρ
Rom. p. 444. οὐ προΐσταται τῶν ἑαυτῆς πόλεων, ἑκοῦσα ἐκχωρεῖ· ἄλλως δὲ ἀέκουσα, διὰ τὸ μηδὲν ἀνύειν, ἐὰν καὶ φθονῇ. Τοῦτο δὲ καὶ ἄλλοι πάθοιεν ἂν, καὶ ἐποίει ποτε, τοῖς αὐτῶν εἴκοντες κρείττοσιν. οἷος καὶ Τηλέμαχος, ὃς εἴκει μὲν τοῖς μνηστῆρσι· λέγει δέ· Ἦ τ' ἂν ἀμυναίμην, εἴ μοι δύναμίς γε παρείη.

κβ'. Τὸ

que irritum reddere. Nam & ego dea ſum, genuſque mihi. &c. Quo quidem loci ſciendum, τὸ μεμαὼς, vehementer cupiens, ſeu in animo habens, idem eſſe, atque τὸ μισῶν περὶ κῆρι. odio habens, ſeu proſequens, ex animo. cujus paſſivum eſt illud: ἀπέχθωνται περὶ κῆρι. inviſæ ſunt, atque odioſæ, ſeu odio habeantur ex animo. Τὸ, πόλιν, ὅθι τοι φίλοι ἀνέρες ἐκγεγάασιν, urbem, ubi chari tibi viri nati ſunt, periphraſis eſt, qua dicere vult πόλιν φιλουμένην σοι, urbem tibi dilectam. Verba illa, Μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ' ἐᾶσαι. ne remoreris meam iram; ſed me ſinito; iratus quiſpiam in eum uſurpaverit, qui ſedandæ placandæque iræ ſeſe intempeſtivè interponit. Eſt autem διατρίβειν, remorari, idem atque extrahere, ſeu protrahere, & differre, ſeu procraſtinare. Itaque Penelope dicitur nuptias ſuas procis διατρίβειν, extrahere, ac differre.

XXI. Quod ſequitur, ἐγώ σοι δῶκα, ego tibi dedi, aut abſolutè eſt intelligendum pro παρεχώρησα, ceſſi, ſeu conceſſi, aut pro ἐδωρησάμην σοι πόλιν φίλην μοι. dono dedi tibi urbem charam mihi, Trojam nimirum, ut idem ipſe poſtea explicaturus eſt. Quod dicit, ἑκὼν, ἀέκοντί γε θυμῷ, volens, quamvis invito animo, tranſiit in commune illud adagium, videlicet: ἑκὼν ἀέκων τόδε τι πεποίηκα. Volens, nolens hoc feci. quod ſubſidio eſſe poteſt alteri illi adagio:

Juravi linguâ, mentem injuratam gero.

quod utique amarè taxat Comicus. At enim plane prorſus eſt, ac certe ſententia Homerica, nec quidquam ea habet controverſiæ, aut difficultatis: quaſi ſcilicet fieri non poſſit, ut ſimul ſint, aut in unum ſimul conveniant τὸ ἑκὼν, volens, & τὸ, ἀέκοντι θυμῷ, nolente, ſeu invito animo. Conſtat enim, cum electio voluntatis noſtræ nulla præceſſit, qua aliquid præoptaverimus, ſæpe id fieri, quod partim volumus, partim nolumus. Sic & qui merces in tempeſtate abjiciunt, partim quidem nolentes, atque inviti id faciunt, metu ſcilicet periculi; partim autem volentes, ut periculum ſcilicet evadant: & volentes quidem abjiciunt; ſed damnum faciunt inviti. Verùm ut Homericus ille Juppiter breviter atque obſcurè id ipſum protulerit; tamen ſciendum eſt, eam ipſam ſententiam claram, perſpicuamque ab Junone fieri, cum de urbibus ſuis affirmat, non pro his ſeſe ſtare, neque has ſeſe invidere. Quamvis enim, inquit, ut antea ſcriptum eſt, invideam, neque te ſinam eas urbes evertere; tamen invidendo nihil proficio: quoniam multò es potentior. Ecce namque tibi, ipſa quoque volens, ac nolens, Jovis voluntati aſſentitur. Quatenus enim pro ſuis illis urbibus non ſtat, neque eas protegit, aut tuetur, volens cedit, atque ultro: tametſi alioquin eadem invita: quia, ut invideat, tamen nihil proficit. Quod ſanè ut uſu venire aliis poteſt, ita & iiſdem dicere interdum licebit, cum ſcilicet iis cedunt, quorum multò major, quàm eorumdem ipſorum, eſt potentia. ut accidit quidem Telemacho, cujus, dum procis cederet, verba illa feruntur: *Certe quidem propellerem, ſi mihi vis adeſſet.*

XXII. Quod

1. ἡ Πηνελόπη διατρίβειν λέγεται τοῖς μνηστῆρσι τὸν γάμον) Homerus: ὄφρα καὶ ἥ γε διατρίβῃσιν Ἀχαιοὺς Ὃν γάμον. Vetus Scholiaſtes: διατρίβειν, τὸ χρονοτριβεῖν, ἀναβάλλεσθαι καὶ [illegible]. Polit.

2. ἑκὼν ἀέκων) ἑκὼν, οὐχ ἑκὼν in proverbio, ut apud Euripidem Iphigeniâ in Tauris:

Φεύγω ξένον γε δεῖ τοι οὐχ ἑκὼν, ἑκών.

Politus

3. δι' ἧς βοηθοῖτ' ἂν καὶ τὸ, Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος) quatenus ille, cujus lingua jurata, mens injurata eſt, ἑκὼν jurat, & ἄκων: ἑκὼν linguâ, ἄκων animo. Euripidis hoc dictum acriter notat Ariſtophanes Ranis:

Ἢ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν,
Γλῶτταν δ' ἐπιορκήσασαν ἰδίᾳ τῆς φρενός.

Et rurſus:

Μαρτύρομαι τοὺς θεοὺς, οὓς ὤμοσας,
Ἦ μὴν ἀπάξειν μ' οἴκαδ'. αἱροῦ τοὺς φίλους.
Ἡ γλῶττ' ὀμώμοκ', Αἰσχύλον δ' αἱρήσομαι.

Politus.

4. καὶ ἑκόντες μὲν, ἀποβάλλουσιν· ἄκοντες δὲ, ζημιοῦνται) Sic qui alteri aliquid promittunt, & jurant, tametſi animo non jurandi, tamen volentes jurant; ideoque nihilò minus juriſjurandi obligatione obſtringuntur. Quò pertinet regula illa Iſidori Sententiar. lib. 2. c. 31. *Quacumque arte verborum quis juret, Deus tamen, qui conſcientiæ teſtis eſt, ita hoc accipit, ſicut ille, cui juratur, intelligit.* Hippolytum illum Euripideum catenus aliqui a perjurio defendunt, quatenus deceptus juraverat. *Politus.*

Digitized by Google

XXII. Quod dicit, ὑπὸ ἡλίῳ, *ſub ſole*, ceteri poſt Homerum ſcriptores ut plurimùm ſcribunt ὑφ' ἥλιον, *ſub ſolem*; & ſic etiam ὑπ' οὐρανὸν, *ſub cœlum*, quod Homerus dicit ὑπ' οὐρανῷ, *ſub cœlo*. Hæc autem phraſis Homerica, eſt Attica, ſimiliter atque cum dicimus, ὑπὸ διδασκάλῳ εἶναι, *eſſe ſub magiſtro*, ὑφ' ἡγεμόνι τάττεσθαι, *ſub duce collocari*, & ὑπὸ σκότῳ πράττεσθαι, *ſub tenebris agere*. Vacare porrò videtur τὸ, καὶ οὐρανῷ ἀστερόεντι, *& cœlo ſtellato*: quum id ſimplici, rudique more, perinde ut in colloquio Bœotico, adjectum ſit, ac temerè enunciatum. Satis enim illud tantùm erat: αἳ ὑπὸ ἡλίῳ εἰσὶ πόλεις. *quæ ſub ſole ſunt urbes*. Quæ enim ſub ſole, ſunt eæ prorſus ſub cœlo. Sic etiam, cum ſit πόλεις, *urbes*, redundat τὸ ἐπιχθονίων ἀνθρώπων, *terreſtrium hominum*, neque id poſitum eſt neceſſariò. Stellatum dictum eſt cœlum, ad ambigui atque ancipitis nominis diſtinctionem: quippe quum ipſe etiam aliquando aër cœlum vocetur. Ilios nunc ſacra, non appellativo tantùm nomine, communi urbium more; ſed etiam propter perpetua, quæ ibi facta fuiſſe narrantur, ſacrificia: quorum ſanè ſacrificiorum tum alia ſunt clara, ac manifeſta indicia, tum etiam τὰ Ἴλεια, *Ilea*, *ſeu Iliaca*, feſtum proprium loci, ab Ilio ipſâ denominatum. Cur autem vocis hujus penultima ſcribatur cum diphthongo ει, ſecus, atque τὰ Ὀλύμπια, *Olympia*, Πύθια, *Pythia*, Ἴσθμια, *Iſthmia*, Διάσια, *Diaſia*, Διονύσια, *Dionyſia*, aliaque hujuſcemodi, tametſi poſtea cauſſam reddituri ſumus ad eum locum, in quo extat τὸ, Ἤλιδι δίῃ, *Elidi divinæ*; tamen nunc etiam dicendum, argumento ſumpto ex voce primitivâ, conſentaneum eſſe rationi, atque analogiæ, ut τὰ Ἴλεια, *Ilea*, ſcribantur cum diphthongo ει. Sicuti enim optimâ ratione ex Ἥρα, *Juno*, aſſumptâ literâ ι, fiunt τὰ Ἥραια, *Heræa*, *ſeu Junonia*, feſtum ex eâ denominatum, & ex Ἀθηνᾶ, *Minerva*, τὰ Ἀθήναια, *Athenæa*, *i. e. Minervia*; itemque ex ἑκατόμβη, *Hecatombe*, *centenorum boum ſacrificium*, mutatione Doricâ, adjunctioneque τοῦ ι, τὰ Ἑκατόμβαια, *Hecatombæa*; nec non, ut aptiora, atque analogiæ accommodatiora exempla afferam, ſicuti ex Ἡρακλῆς, Ἡρακλέος, *Hercules*, *Herculis*, τὰ Ἡράκλεια, *Heraclea*, *ſeu Herculea*, ac præſertim ex Διομεὺς Ζεὺς, Διομέως, *Diomenſis Juppiter*, τὰ Διόμεια, *Diomea*; ſic etiam fortaſſe ex Ἰλιεὺς, Ἰλιέως, *Ilienſis*, τὰ Ἴλεια, *Ilea*. Ilienſes porrò neceſſitate ipſâ compulſos fuiſſe, ut frequentia ſacrificia facerent, propter frequentia videlicet mala, crebraſque calamitates, quæ antegreſſæ eſſent, palam facit id, quod eſt in proverbio: *ſemper Ilio mala*. quod quamvis dictum fuerit de malo quodam poſteriorum temporum; tamen non diſſonat, neque abludit a temporibus hiſce Homericis. Et tamen idem iſtud proverbium antiquius eſt illo altero, quo dici ſolet Ilias malorum, aut e contrario hoc priùs illo uſurpatum fuit. Utcumque aliter ſe res habeat, una eademque eſt proverbii utriuſque ſententia. Ceterùm Homerum

κβ'. Τὸ δὲ, ὑπὸ ἡλίῳ, ὑφ' ἥλιον ὡς ἐπιπολὺ γράφουσιν οἱ μεθ' Ὅμηρον. οὕτω δὲ καὶ τὸ, ὑπ' οὐρανῷ, ὑπ' οὐρανόν. Ἀττικὴ δὲ ἡ ῥηθεῖσα Ὁμηρικὴ φράσις, ὁμοία τῷ, ὑπὸ διδασκάλῳ εἶναι, καὶ ὑφ' ἡγεμόνι τάττεσθαι, καὶ ὑπὸ σκότῳ πράττεσθαι. Τὸ δὲ, καὶ οὐρανῷ ἀστερόεντι, παρέλκειν δοκεῖ, ἁπλοϊκῶς οὕτω παραῤῥιφὲν, [1] ὡς ἐν Βοιωτικῇ ὁμιλίᾳ. Ἤρκει γὰρ καὶ μόνον τὸ, αἱ ὑπὸ ἡλίῳ εἰσὶ πόλεις. Πάντως γὰρ αἱ ὑπὸ ἡλίῳ, καὶ ὑπὸ οὐρανῷ εἰσιν. Οὕτω δὲ καὶ ἐν τῷ πόλεις, περιττεύει τὸ, ἐπιχθονίων ἀνθρώπων, καὶ οὐκ ἀναγκαίως κεῖται. Ἀστερόεις δὲ οὐρανὸς πρὸς διαστολὴν ὁμωνυμίας, ὡς οὐρανοῦ ποτε καὶ τοῦ ἀέρος λεγομένου. Ἴλιος δὲ νῦν ἱερὰ, οὐ μόνον προσηγορικῶς, τῷ κοινῷ λόγῳ τῶν πόλεων, ἀλλὰ καὶ διὰ τὰ ἐνταῦθα ἱστορηθέντα ἐνδελεχῆ θύματα· ὧν δηλωτικὰ σὺν ἄλλοις καὶ [2] τὰ Ἴλεια, ἑορτὴ ἐγχώριος, ἐπώνυμος τῇ Ἰλίῳ. Τούτων δὲ ἡ παραλήγουσα γραφομένη διὰ τῆς ει διφθόγγου, ἀνομοίως τῷ, Ὀλύμπια, Πύθια, Ἴσθμια, [3] Διάσια, Διονύσια, καὶ τοῖς τοιούτοις, [4] αἰτιολογηθήσεται μὲν καὶ ἐν τοῖς ἑξῆς, ὅπου ἀνακύψει τὸ, Ἤλιδι δίῃ· καὶ ἄρτι δὲ ῥητέον, ὅτι ἔχει ἀναλογίαν ἐξ ἀφορμῆς πρωτοτύπου, ἡ διὰ τῆς ει διφθόγγου γραφὴ τοῦ, Ἴλεια. Ὡς γὰρ εὐλόγως ἐκ τοῦ Ἥρα γίνεται, προσλήψει τοῦ ι, τὰ ἐξ αὐτῆς Ἥραια, ἡ ἑορτὴ, καὶ ἐκ τοῦ Ἀθηνᾶ τὰ Ἀθήναια, καὶ ἐκ τοῦ ἑκατόμβη, Δωρικῇ τροπῇ, καὶ προσλήψει τοῦ ι, τὰ ἑκατόμβαια· ἔτι δὲ ἀναλογώτερον εἰπεῖν, ἐκ τοῦ Ἡρακλῆς Ἡρακλέος, τὰ Ἡράκλεια, καὶ μᾶλλον ἐκ τοῦ Διομεὺς Ζεὺς Διομέως τὰ Διόμεια· οὕτως ἴσως καὶ ἐκ τοῦ Ἰλιεὺς Ἰλιέως τὰ Ἴλεια. Ὅτι δὲ αἱ συχναὶ Ἰλιακαὶ θυσίαι ἀναγκαίως ἐπὶ κακοῖς πυκνοῖς προηγουμένοις ἐγίνοντο, δηλοῖ καὶ παροιμία λέγουσα τὸ, αἰεὶ Ἰλίῳ κακά· λεχθεῖσα μὲν [5] ἐπί τινι κακῷ ὑστερογενεῖ· οὐκ ἀπᾴδουσα δὲ οὐδὲ πρὸς τὰ Ὁμηρικά. Ἡ δὲ αὐτὴ προγενεστέρα ἐστὶ τῆς, [6] κακῶν Ἰλιὰς, ἢ ἀνάπαλιν αὕτη πρὸ ἐκείνης εἴρηται. ὡς δ' οὖν ἄλλα, μιᾶς ἐννοίας εἰσὶν ἀμφότεραι. Ὅτι δὲ [7] θηλυκῶς εἴωθεν Ὅμηρος προ- B. ſ. p. 338.

1. ὡς ἐν Βοιωτικῇ ὁμιλίᾳ) Notum ex adagiis craſſum, ac ſtupidum Bœotorum ingenium. *Politus*.

2. τὰ Ἴλεια, ἑορτὴ ἐγχώριος, ἐπώνυμος τῇ Ἰλίῳ) Heſychius: Ἴλεια, ἑορτὴ, ἐν Ἰλίῳ Ἀθηνᾶς Ἰλιάδος, καὶ πομπὴ, καὶ ἀγών. Sic lego. Ineptus quidam librarius Heſychii locum corrupit, intruſis verbis, ἐν Ἀθήναις, poſt τὸ ἑορτή. Politus.

3. Διάσια, Διονύσια) Diaſia, *Jovialia*; Dionyſia, idem ac *Liberalia*. Plautus Græcum verbum uſurpavit: *proxima Dionyſia*. Salvinus.

4. αἰτιολογηθήσεται μὲν καὶ ἐν τοῖς ἑξῆς) Euſtathius ad lib. λ' Iliad. ad illud: Ἤλιδι δίῃ. Οὕτω δὲ καὶ τὸ Ἴλεια (ἑορτὴ δὲ αὕτη οὖσα ἐν Ἰλίῳ) χρῆσθαι μοὶ δοκεῖ καινὴ τὴν παραλήγουσαν διὰ τοῦ ι, τῷ λόγῳ τῶν Ὀλύμπια, καὶ Πύθια· πρὸς βραχεῖαν δὲ τινα διαφορὰν παλαιότατος τῆς ει, τὴν διὰ τῆς ει διφθόγγου ἔχει γραφήν. Polit.

5. ἐπί τινι κακῷ ὑστερογενεῖ) In Satyrum Sophiſtam uſurpatum hoc adagium a Stratonico, ut refert Athenæus l. 8 c. 10. Πενθουμένου δὲ (Stratonicus) ἐν Ἰλίῳ ὑποδραμὼν αὐτὸν (Satyrum) ἐν τοῖς Ἰλιείοις· αἰεὶ, ἔφησεν, Ἰλίῳ κακά. Qui locus vacuus eſt a mendo, ſecus atque exiſtimat Eraſmus. *Politus*.

6. κακῶν Ἰλιὰς) Malorum Ilias, videlicet multitudo. Propertius:

Seu quicquid fecit, ſive eſt quodcumque locuta,
Tum vero longas condimus Iliadas.

Ideſt, multa carmina facimus. *Salvinus*.

7. θηλυκῶς εἴωθεν Ὅμηρος προφέρειν τὴν Ἴλιον) Contra Virgilius neutro genere effert *Ilium*; & ſic ut plurimùm Latini. Homero, quod adnotat Euſtathius, ſemel eſt τὸ Ἴλιον οὐδετέρως. Immo, quia alibi ſemper Homero eſt ἡ Ἴλιος θηλυκῶς, ideo veteres Critici expunctum volebant illum verſum lib. ό Iliad.

Ἴλιον αἰπὺ ἕλοιεν, Ἀθηναίης διὰ βουλάς.

Vetus Scholiaſta: Σημείωσαι τοῦτο, ὅτι οὐδετέρως· τὸ Ἴλιον ἐνταῦθα φησὶ μόνον. διὸ καὶ ἀθετεῖται ὁ στίχος οὗτος. Politus.

προφέρειν τὴν Ἴλιον, ἅπαξ που αὐτὴν κατὰ οὐδέτερον γένος εἰπὼν ἐν τῷ, [1] Ἴλιον αἰπὺ ἕλοιεν, Ἀθηναίης διὰ βουλάς, δηλοῦται καὶ ἀλλαχοῦ.

κγ΄. [2] Τὸ δὲ εὐμελίῳ, συνεκόπη ἀπὸ Ἰωνικοῦ τοῦ εὐμελίεω. ὡς καὶ τὸ βορέω ὑπ᾽ ἰωγῇ, ἀπὸ τοῦ βορέεω· καὶ τὸ Ἑρμείω ἀπὸ τοῦ Ἑρμείεω, καθάπερ εἴρηται καὶ ἐν τῷ, [3] Ἀσίῳ ἐν λειμῶνι. Τὴν δὲ κνίσαν, [4] πολλὰ τῶν ἀκριβῶν ἀντιγράφων δι᾽ ἑνὸς σ γράφουσι ἐκτάσει τῆς παραληγούσης. καὶ ἀρέσκεται οὕτω καὶ Ἡρωδιανῷ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται πλατύτερον. Τὸ δέ, τὸ γὰρ λάχομεν γέρας [5] ἡμεῖς, σχῆμά ἐστιν Ὁμήρῳ σύνηθες, ὡς δηλοῖ σὺν ἄλλοις καὶ τό, τὸ γὰρ γέρας ἐστὶ γερόντων. καὶ, τὸ γὰρ γέρας ἐστὶ θανόντων. Δικαιοσύνης δέ, καὶ τῆς κατ᾽ αὐτὴν ἰσότητος δηλωτικὸν τὸ ἐλάχομεν, ὡς πολλαχοῦ φαίνεται. Τὸ δὲ πρόσθεν ἵσταμαι, ὅμοιόν ἐστι τῷ προΐσταμαι. Δῆλον γάρ, ὡς ὁ πρόσθεν τινὸς ἱστάμενος, [6] προΐσταται ἐκείνου. Τὸ δὲ φθονεῖν, ταυτὸν μέν, κατὰ πολυωνυμίαν, [7] τῷ μεγαίρειν· σαφέστερον δὲ ἐκεῖνο. Διὸ δὶς ἐνταῦθα τῇ τοιαύτῃ λέξει ὁ Ζεὺς ἐχρήσατο. Ἔστι δὲ νῦν φθονεῖν, τὸ μέμφεσθαι, καὶ ἐμποδίζειν, ὡς καὶ ἐν Ὀδυσσείᾳ. Ὅτι δὲ καὶ ἄλλως ἡ Ποίησις, καὶ οἱ ποιητικώτεροι τῶν ἱστορικῶν, φθονερὸν τὸ θεῖον φασὶ φῦλον, [8] δηλοῖ καὶ Ἡρόδοτος. ἃ καὶ ἀλλαχοῦ παρασεσημείωται. Ὅρα δὲ καὶ, ὅτι τὸ μεγαίρειν ἑρμηνεύων, ἐπήγαγεν· Εἴπερ γὰρ φθονέω, καὶ ἑξῆς. Ἰστέον δὲ καὶ, ὅτι ὁ μὴ δυνάμενος μὲν ἀντιστῆναί τινι δυνατῷ ἐμποδίζοντι, δυσωπῶν δὲ τυχεῖν, ἢ θέλει, εὐκαίρως ἂν [9] παρῳδήσας εἴποι τό, Οὔτοι ἐγὼ πρόσθεν ἵσταμαι, οὐδὲ μεγαίρω. Εἴπερ γὰρ φθονέω, οὐκ ἀνύω φθονέουσ᾽ ἐπεὶ πολὺ φέρτερός ἐσσι. Ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι λόγον, ἢ πόνον, οὐκ ἀτέλεστον. Καὶ γὰρ ἐγὼ τοιόσδε εἰμί.

κδ΄. Ἀξιοῖ Ἥρα τιμᾶσθαι, οὐ μόνον ἐπειδὴ θεός ἐστιν, ἀλλὰ καὶ διὰ τὸ τοῦ αὐτοῦ εἶναι γένους τῷ Διΐ· λέγουσα οὕτω. Γένος δέ μοι ἔνθεν, ὅθεν σοί, καί με πρεσβυτάτην, ὅ ἐστι, τιμιωτάτην τέκετο Κρό-

rum muliebri genere τὴν Ἴλιον, *Ilion*, proferre conſoeviſſe, quum ſemel alicubi eam ipſam urbem neutro genere extulerit, ubi ſcilicet dicit: Ἴλιον αἰπὺ ἕλοιεν, Ἀθηναίης διὰ βουλάς· *Ilion excelſum ceperint Minervæ conſiliis*; alibi declaramus.

XXIII. Τὸ εὐμελίῳ, *fraxineâ haſtâ bene pugnantis, ſeu bellicoſi*, eſt per ſyncopen a voce Jonica, εὐμελίεω. ſicuti etiam τὸ βορέω ὑπ᾽ ἰωγῇ, *boreæ ſub tegmine*, a βορέεω· & Ἑρμείω, *Mercurii*, ab ἑρμείεω, juxta atque dictum eſt ad illa verba: Ἀσίῳ ἐν λειμῶνι. *Aſiæ in prata*. Τὴν κνίσαν, *nidorem*, exacti plerique codices ſcribunt cum ſimplici σ, longâ penultimâ: itaque placet Herodiano, ut alibi quoque fuſius explicatur. Quod ſequitur, τὸ γὰρ λάχομεν γέρας ἡμεῖς. *id enim honoris ſortiti ſumus nos*: figuratom eſt loquendi genus, familiare Homero, ut, præter alia loca, apertè oſtendit illud: τὸ γὰρ γέρας ἐστὶ γερόντων. *hic enim honor eſt ſenum*. &, τὸ γὰρ γέρας ἐστὶ θανόντων. *hic enim honor eſt morientium*. Ad explicandam autem juſtitiam juſtitiæque æqualitatem pertinet τὸ ἐλάχομεν, *ſortiti ſumus*, ut multis in locis liquidò apparet. Τὸ πρόσθεν ἵσταμαι, *ante ſto*, perinde ſeſe habet, atque τὸ προΐσταμαι, *propugno, tueor, defenſito*. Namque, ut conſtat, ὁ πρόσθεν τινὸς ἱστάμενος. *is, qui ante unum aliquem ſtat*, προΐσταται ἐκείνου, *pro illo ſtat, ac pugnat, eumque defendit, ac tuetur*. Τὸ φθονεῖν, *invidere*, quum, pro verborum copiâ, idem ſit, atque τὸ μεγαίρειν, tamen eſt illo verbo magis perſpicuum, ac clarum. Quocirca ſemel hic, atque iterum hac iſta voce Juppiter utitur. Eſt autem nunc φθονεῖν idem atque reprehendere, & impedimento eſſe, ſeu prohibere, ſicuti etiam in Odyſſeâ. Quamquam etiam alioquio Poëtæ, quique ex Hiſtoricis Poëticas fabulas conſectantur, invidum dicant genus divinum, ut patet ex Herodoto. quod alibi quoque eſt obſervatum. Ad hæc vide, ut explicat τὸ μεγαίρειν, *invidere*, per id, quod ſubjungit: Εἴπερ γὰρ φθονέω, &c. *Quamvis enim invideam*, &c. Quin etiam ſciendum, ſicut vir potens ſit impedimento, neque ille poſſit ei reſiſtere; ſed tamen ab eo per preces ac verecundiam obtineat, ut voti ſui compos reddatur, eumdem ipſum per parœdiam appoſitè his verbis uti poſſe: *Non tibi ego reſiſto, neque verò invideo. Quamvis enim invideam; tamen invidens meâ nihil proficio: quoniam multò me es potentior. Sed enim oportet meum quoque ſermonem, aut laborem, non irritum, neque infructuoſum reddere. Nam & ego hoc genere ſum, vel hac conditione.*

XXIV. Honorem ſibi Juno meritò cenſet eſſe deferendum, non ſolùm quia dea eſt; ſed etiam quia eodem genere eſt, atque Juppiter. Hæc enim ejus verba. Genus autem inde mihi, unde tibi. & me πρεσβυτάτην, hoc eſt, τιμιωτάτην,

1. Ἴλιον αἰπύ) Virg. *Fuit Ilium, & ingens Gloria Dardanidum*. Et, *ſub Ilio alto*. Salvinus.

2. Τὸ δὲ εὐμελίῳ, συνεκόπη ἀπὸ Ἰωνικοῦ τοῦ εὐμελίεω) Etymologici Magni Auctor: αἱ διὰ τοῦ εω Ἰωνικαὶ γενικαί, αἱ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν εἰσι, προπαροξύνονται. οἷον, Ὀρέστου, Ὀρέστεω· Ἀτρείδου, Ἀτρείδεω· οὕτως οὖν καὶ Ἀσίεω. χωρὶς εἰ μὴ κατὰ πάθος εἶεν, ἀπὸ τοῦ Ἑρμείεω, καὶ κατὰ συγκοπὴν, Ἑρμείω. καὶ [illegible] Ἥρως, Ἑρμεία τε, καὶ Ἡφαίστου. Βορέα, Βορέεω, καὶ συγκοπῇ Βορέω, καὶ εὐμελίεω, εὐμελίω Πριάμοιο. Politus.

3. Ἀσίῳ ἐν λειμῶνι) lege, Ἀσίῳ, per ſyncopen ex Ἀσίεω. Euſtathius pag. 487. Τινὲς δέ φασι, Ἀσίῳ ἐν λειμῶνι, ἀντὶ τοῦ Ἀσίου ἀνδρὸς, κατὰ γενικὴν πτῶσιν· καί φασιν, ὅτι ἀνδρί τινι ἐπωνύμῳ ὁ λειμὼν ἐπονόμασται. ὁ δὲ ἄλλοι δὲ Ἀσίας, ἡ γενικὴ Ἀσίου, καὶ Ἰωνικῶς, Ἀσίεω, ὡς Ἑρμείεω, εὐμελίεω· καὶ ἐν συγκοπῇ, Ἀσίω, ὡς Ἑρμείω, εὐμελίω. Etymologici Magni Auctor: ὅπως ἂν, Ἀσίας. Ἀσίου, Ἀσίεω Ἰωνικῶς, καὶ συγκοπῇ, Ἀσίω. καὶ ὁμοίως οὐ προπαροξύνεται· ἐπειδὴ κατὰ πάθος ἐστὶ, ἤγουν κατὰ συγκοπήν. Politus.

4. πολλὰ τῶν ἀκριβῶν ἀντιγράφων) ut & meus codex membranus. Editio tamen Florentina, κνίσσης σσ. Polit.

In optimis vetuſtiſſimiſque codicibus nonnulli nonnumquam nævi inveniuntur, ut ὅ·π, πόλλ. pro ἄλλο. πολλά. Salvinus.

5. ἡμεῖς) Neſcio quam vim, ponduſque afferat illud ἡμεῖς in fine. Simile illi loco Pſalmi: *Quoniam non Deus volens iniquitatem tu*, ut eſt in Hebræo, ſuppreſſo τῷ es verbo. *Salvinus*.

6. προΐσταται ἐκείνου) Hinc προστάτης, *patronus*. Salvin.

7. τῷ μεγαίρειν) Megæra Furia, ab invidendo. Salvin.

8. δηλοῖ καὶ Ἡρόδοτος) Herodotus tum aliis in locis, tum lib. 3. cap. 40. ubi Amaſis: ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι, τὸ θεῖον ἐπισταμένῳ, ὡς ἐστι φθονερόν. Politus.

Alludit ad Nemeſin, ideſt, juſtam indignationem divinam, quæ humanæ ſuperbiæ obſiſtit, &, ne homines nimium proſperis rebus efferantur, ſolet aſpera proſperis, triſtia lætis quandoque miſcere, ut ſe homines etiam eſſe meminerint. Ceterum ab illâ præſtanti, excellentique naturâ, qualis divina eſt, omnis abeſt invidia, ut Plato in Timæo verè diſerteque teſtatur. *Salvinus*.

9. παρῳδήσας εἴποι) Hæ parodiæ ex Homero erant frequentes, & antiquorum ſcripta, & orationes veluti quibuſdam gemmis atque luminibus illuſtrabant, ut paſſim videre eſt. In memoriâ enim omnium, in animo, in ore verſabatur maximus Poëtarum ab omnibus omni ævo judicatus, quicquid reclamantes Zoili [illegible] obſtrepant. *Salvinus*.

Digitized by Google

σιν, *maximè venerandam*, *ſeu honore digniſſimam*, Saturnus ille vaſer generavit, utrâque de cauſſâ, tum genere, tum quia conjux tua ſum vocata. Tute verò inter omnes Immortales regnum tenes, quaſi ſcilicet in modum ſyllogiſmi argumentum hoc conficiat. Soror ipſa eſt, atque uxor Jovis. Juppiter autem honorandus. Et ipſa igitur honoranda. Sciendum autem eſt, dictum per periphraſin illud: γένος δέ μοι ἔνθεν, ὅθεν σοι. *genus inde mihi*, *unde tibi*. quibus demum verbis dicit, ſeſe ejus eſſe ſororem. Τὸ ἀμφότερον, *utrumque*, etiam nunc ſumptum eſt, tamquam adverbium: ſicuti etiam cum ait: Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, ϗ αἰχμητής. *Utrumque*, *rexque bonus*, *& bellator*. ita ut verborum Junonis hic ſit ſenſus: utrimque, ſeu ab utrâque cauſſâ, debetur mihi honor, tum quia auguſto ſum genere, tum quia tua uxor. Manifeſtum porrò eſt, τὴν ἄκοιτιν, *uxorem*, pro Poëticarum vocum copiâ, dici quoque ἄλοχον, & ὁμόλεκτρον, *lecti conſortem*, *ſeu thalami participem*; itemque ἀνδρὸς εὔνιδα, *viri in cubando ſociam*, *ſeu eodem cum viro cubili utentem*. Verùm communis loquendi uſus vocat eam, σύνευνον, *conjugem*, *ſeu uxorem*. Quod dicit κέκλημαι, *vocata ſum*, *ſeu vocor*, non pendentis ancipitiſque animi dubitationem denotat; ſed poſitum eſt pro εἰμὶ, *ſum*. adeo ut hic ſit ſenſus: Non mentior, cum me dico eſſe tuam; ſed ab omnibus ſic vocor. Quamquam hæc iſta vox appoſita prorſus ſit atque accommodata ad allegoriam. Non enim aër, uxor eſt ætheris; ſed ita vocatur allegoricè. Illuſtrium perſonarum, quæ, concordiæ, atque amicitiæ cauſſâ, ſibi invicem cedant, propria illa verba fuerint: *Verùm enim verò hæc nos nobis invicem condonabimus*, *tibi ego*, *tu mihi*. *Alii poſtea ſequentur*.

XXV. Τὸ πειρᾷν, *tentare*, activâ formâ uſurpant Attici de mulieris ſolicitatione, quam quis de ſtupro interpellet. exempli cauſſâ: πειρᾷ ὁ δεῖνα τὴν δεῖνα. *Unus aliquis hanc*, *aut illam mulierem tentat*, *ſeu ejus pudicitiam attentat*. At verò τὸ πειρᾶσθαι, *experiri*, formâ paſſivâ, dicunt pro πεῖραν λαμβάνειν, *periculum facere*. Verumtamen Homerus id, quod eſt πειρᾶσθαι, *experiri*, *ſeu periculum facere*, dicit hoc loci formâ activâ πειρᾷν, tametſi paſſivum quoque hujus verbi uſum noverit, ubi ait: Νῦν μὲν πειρᾶται. *Nunc quidem periculum facis*. &, Εἰ δ' ἄγε, μὴν πείρησαι. *Quin age*, *fac periculum*. & alibi. Immo & Thucidides dicit τῶν τειχῶν ἡμῶν πειρᾷν. *mœnia noſtra*, *ſeu oppidum tentare*. &, πειρασθεὶς ὁ Ἁρμόδιος. *tentatus*, *ſeu de ſtupro interpellatus Harmodius*. Ceterùm hoc verbo πειρᾷν, *experiri*, ita nunc Poëta utitur; Πειρᾷν δ', ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς Ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι. *Et experire*, *quo pacto Trojani in glorioſos Achivos initium ipſi violandi fœderis faciant*. Hæc autem ſententia veluti prædicendo exponit, quomodo, quod reliquum eſt hujus negotii,

Κρόνος ἀγκυλομήτης, ἀμφότερον, γενεῇ τε, [1] ϗ οὕνεκα σὴ παράκοιτις κέκλημαι. σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις. ὡς εἶον συλλογιστικῶς τὸν λόγον τοῦτον περαίνουσα. αὐτὴ γὰρ Διός. ὁ Ζεὺς δὲ τίμιος. ϗ αὐτὴ ἄρα τιμία. Ἰστέον δὲ, ὅτι τὸ, γένος δέ μοι ἔνθεν, ὅθεν σοι, [2] παράφρασίς ἐστι τοῦ, ἀδελφή σοί εἰμι. Τὸ δὲ [3] ἀμφότερον, ὡς ἐπίρρημα, ϗ νῦν εἴληπται· καθὰ ϗ ἐν τῷ, Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, ϗ αἰχμητής. ἵνα λέγῃ, ὅτι ἀμφοτέρωθεν ἔχω τὸ πρεσβεῖον, ὡς ϗ εὐγενής, ϗ σὴ ἄλοχος. Δῆλον δὲ, ὡς [4] τὴν ἄκοιτιν ἡ μὲν Ποιητικὴ πολυφωνία, ϗ ἄλοχον λέγει, ϗ ὁμόλεκτρον, ϗ ἀνδρὸς εὔνιδα· ἡ δὲ κοινὴ λαλιὰ, σύνευνον. Τὸ δὲ κέκλημαι, οὐκ ἐνδοιασμὸν δηλοῖ, ἀλλ' ἀντὶ τοῦ εἰμὶ κεῖται. ἵνα λέγῃ, ὡς οὐ ψεύδομαι εἶναι σὴ, ἀλλ' ὑπὸ πάντων οὕτω καλοῦμαι. εἰς δέ γε ἀλληγορίαν πάνυ χρήσιμος ἡ λέξις. οὐ γάρ ἐστιν ὁ ἀὴρ, αἰθέρος ἄκοιτις, [5] ἀλλὰ καλεῖται τοῦτο ἀλληγορικῶς. Φιλικῆς ἐνδόξων προσώπων ἀντιπαραχωρήσεως τὸ, Ἀλλ' ἤτοι μὲν ταῦθ' ὑποείξομεν ἀλλήλοισι, σοὶ μὲν ἐγὼ, σὺ δ' ἐμοί. ἐπὶ δ' ἕψονται ἄλλοι.

κέ. Τὸ πειρᾷν ἐνεργητικῶς Ἀττικοὶ ἐπὶ τῆς εἰς γυναῖκα ἐπιχειρήσεως λέγουσιν. οἷον, πειρᾷ ὁ δεῖνα τὴν δεῖνα. [6] τὸ δὲ πειρᾶσθαι παθητικὸν, ἀντὶ τοῦ παθεῖν ἀπόπειραν. Ὅμηρος μέντοι τὸ πειρᾶσθαι, πειρᾷν ἐνταῦθά φησιν ἐνεργητικῶς, εἰδὼς ϗ τὴν παθητικὴν χρῆσιν ἔν τε τῷ, Νῦν μὲν πειρᾶται. ϗ ἐν τῷ, Εἰ δ' ἄγε, μὴν πείρησαι. ϗ ἀλλαχοῦ. ϗ Θουκυδίδης δὲ, τῶν τειχῶν ἡμῶν πειρᾷν λέγει. ϗ, πειρασθεὶς ὁ Ἁρμόδιος. Χρῆσις δὲ νῦν τοῦ πειρᾷν, αὕτη· [7] Πειρᾷν δ', ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι. Προαναφωνητικὴ δὲ αὕτη ἔννοια ἐκτίθεμένη, ὅπως διασκευασθήσεται τὰ ἐφεξῆς ὑπὸ Ἀθη-

Rom. p. 445.

1. ϗ οὕνεκα σὴ παράκοιτις κέκλημαι) Jovis & ſoror & conjux Juno. Seneca Tragicus: *Soror Tonantis. hoc enim ſolum mihi nomen relictum eſt*. Salvinus.

Gregorius Nazianzenus Oratione tertiâ, quæ eſt prima contra Julianum: ἡ αὐτὴ καθ' ὑμᾶς Ἥρα τοῦ μεγάλου Διὸς ἀδελφή, ϗ ὁμόζυγος. Politus.

2. παράφρασίς ἐστι τοῦ) Lego, περίφρασις. Polit.

3. ἀμφότερον, ὡς ἐπίρρημα, ϗ νῦν εἴληπται) Adverbium ἀμφότερον Etymologus dicit ὅτι μονόσημον, quippe deductum ἐκ τοῦ οὐδετέρου ἀμφοτέρου. τὸ ἀρσενικὸν, ἀμφότερος. At verò in Homerico illo loco: ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, ϗ αἰχμητής· τὸ ἀμφότερον nomen mihi videtur eſſe, non adverbium, Politus.

Verſus Homeri: Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής. τὸ *Utrumque* præcedit, mox duo ſubſequuntur: quæ duo ſubſequentia præcedens illud *Utrumque* complectitur. Eadem phraſeos elegantia ab Anglis uſurpatur in particulâ *Both*, quæ valet ἀμφότερον. Salvinus.

4. τὴν ἄκοιτιν) Ἄκοιτιν, ἄλοχον, quaſi ὁμόκοιτον, ὁμόλεχον, σύλλεκτρον, *ejuſdem lecti conſortem*. σύμβιον. Nam matrimonium eſt conjunctio individuam vitæ conſuetudinem continens. *Salvinus*.

Heſychius: ἄκοιτις, ἡ ὁμόκοιτις, γυνὴ σύγκοιτος. Politus.

5. ἀλλὰ καλεῖται τοῦτο ἀλληγορικῶς) Tullius lib. 2. De Nat. Deorum c. 26. *Aër autem*, *ut Stoici diſputant*, *interjectus inter mare*, *& cœlum*, *Junonis nomine conſecratur: quæ eſt ſoror*, *& conjux Jovis*, *quòd & ſimilitudo eſt ætheris*, *& cum eo ſumma conjunctio*. Macrobius lib. 1. in Somnium Scipionis c. 17. *Hinc Juno & ſoror ejus* (Jovis) *& conjux vocatur*. *Eſt autem Juno aër*, *& dicitur ſoror*, *quia iiſdem ſeminibus*, *quibus cœlum*, *etiam aër eſt procreatus; conjux*, *quia aër ſubiectus eſt cœlo*. Politus.

Plato in Cratylo. Ἥρα ἀήρ, Juno aër. *Salvinus*.

6. τὸ δὲ πειρᾶσθαι παθητικὸν, ἀντὶ τοῦ παθεῖν ἀπόπειραν) Experiri ἀντὶ τοῦ πειρᾶσθαι dicitur. *periculum facere*. Salvin.

7. Πειρᾷν δ', ὥς κεν) Ita etiam meus Homericus codex membraneus. Vulgati Homeri codices cum editione Florentina, Πειρᾶν δ' ὥς κεν. Politus.

Ἀθηνᾶς, ἣν στελεῖ ὁ Ζεὺς διὰ τὴν Ἥραν ἐπὶ συγχύσει τῶν ὅρκων, τουτέστιν, ἣν ὁ Ὁμηρικὸς νοῦς φρονίμως προβαλεῖται εἰς πιθανότητα τῶν μελλόντων ἱστορηθῆναι. καὶ τοῦτο μὲν οὕτως. ὁ δὲ τεχνικὸς κανὼν τοῦ, ὑπερκυδάντας, τοιοῦτός ἐστι παρὰ τοῖς παλαιοῖς. Τὰ εἰς δας ὑπὲρ δύο συλλαβὰς, [1] ἰσοσυλλάβως κλίνεται. οἷον, Τιμαχίδας, Τιμαχίδα. Σουΐδας, Σουΐδα. Λεωνίδας, Λεωνίδα. Χαρμίδας, Χαρμίδα. χωρὶς εἰ μὴ ἀπὸ βαρυτόνων ῥημάτων γίνεται. Ἐκεῖνα γὰρ διὰ τοῦ ντ περιττοσυλλάβως κλίνεται. οἷον οἶδα ῥῆμα, ἐξ οὗ Οἴδας Οἴδαντος. μύδω, Μύδας, Μύδαντος. χαρίζομαι, Χαρίδας, Χαρίδαντος. φείδομαι, Φείδας, Φείδαντος. Τούτων οὕτως ἐχόντων, δοκεῖ καὶ τὸ, ὑπερκύδαντες, [2] ὃ δηλοῖ τοὺς ἄγαν ἐνδόξους, [3] ἀπὸ βαρυτόνου ῥήματος γεγονὸς τοῦ κυδαίνω, συνεκδραμεῖν τῇ κλίσει τῶν κυρίων ὀνομάτων, ἢ καὶ ἄλλως, [4] γενέσθαι ἐκ τοῦ κυδάεις, κυδάεντος, κυδάεντες, κύδαντες κατὰ συγκοπὴν, καὶ ἐν συνθέσει ὑπερκύδαντες. [5] Ἡρωδιανὸς δὲ ἐν ἐπιμερισμοῖς μετοχὴν λέγει τοῦτο, [6] ἀπὸ τοῦ κυδαίνοντες, [7] ἐν δὲ τῷ ὀνομαστικῷ, ὄνομα λέγει εἶναι αὐτό. ᾧ καὶ πιστευτέον, [8] ὥς φασιν οἱ παλαιοὶ, ἤπερ τοῖς ἐπιμερισμοῖς. Τοῦτο μὲν γὰρ Ἡρωδιανοῦ εἶναι ὡμολόγηται· [9] ἐκείνων δέ εἰσιν, αἳ ψευδεπίγραφοι λέγονται. Δηλήσασθαι δὲ ὅρκια περιφραστικῶς τὸ ἐπιορκῆσαι. ὅπερ ἐστὶ βλάβη ὅρκων. Ὡς γὰρ [10] καρπὸν δηλεῖταί τις, ἀπάγων ἐκεῖνον, ὡς ἡ α ῥαψῳδία προεδήλωσεν, οὕτω καὶ ὅρκου δηλητήριον, ὁ ἀφανισμὸς, καὶ τὸ αὐτοῦ ἄπρακτον. Ἔστι δ' ἐν τούτοις καὶ προθέσεως ἔλλειψις. Τὸ γὰρ, Ἀχαιοὺς ἄρξωσι, καὶ ἑξῆς, ταυτόν ἐστι τῷ, ἀρχὴν ποιήσωσιν εἰς τοὺς Ἀχαιοὺς τοῦ παραβαθῆναι τοὺς ὅρκους. Τὸ δὲ ῥῆμα τοῦτο, καὶ παθητικῶς εἴωθε λέγεσθαι· [11] καὶ μετὰ προθέσεως δέ ποτε, εἴτε τῆς κατά, εἴτε τῆς ὑπό. [12] ἐπὶ μέντοι ἀρχικῆς ἐξουσίας, ἀεὶ καὶ ἐνεργητικῶς [13] προφέρεται, καὶ δίχα προθέσεως,

Ὡς

goriæ, inſtruendum adminiſtrandumque ſit a Minervâ, quam, propter Junonem, Juppiter ad jurisjurandi, ac fidei violationem eſt miſſurus, hoc eſt, quam mens Homerica, ut rebus commemorandis fides concilietur, providè ac ſapienter eſt in medium prolatura. Atque id quidem ita. Quod verò attinet ad τὸ ὑπερκύδαντας, *glorioſos, ſeu gloriâ præcellentes*, firmior ejus vocis regula apud veteres Grammaticos eſt hujuſcemodi: Nomina in δας, quæ ſunt ſupra duas ſyllabas, paribus ſyllabis declinantur, ut Τιμαχίδας, Τιμαχίδα, *Timachidas, Timachidæ*; Σουΐδας, Σουΐδα, *Suidas, Suidæ*; Λεωνίδας, Λεωνίδα, *Leonidas, Leonidæ*; Χαρμίδας, Χαρμίδα, *Charmidas, Charmidæ*; niſi tamen ea nomina a verbis barytonis oriantur. Illa namque declinantur per ντ, impari ſyllabarum numero. cujuſmodi eſt verbum οἶδα, *novi*, ex quo Οἴδας, Οἴδαντος, *Oedas, Oedantis*: μύδω, *ſubrideo*, Μύδας, Μύδαντος, *Midas, Midantis*: χαρίζομαι, *gratificor*, Χαρίδας, Χαρίδαντος, *Charidas, Charidantis*: φείδομαι, *parco*, Φείδας, Φείδαντος, *Phidas, Phidantis*. Quæ quum ita ſeſe habeant, videtur etiam τὸ ὑπερκύδαντες, quod ſignificat valde glorioſos, ſeu gloriâ percelebres, quippe derivatum ex verbo barytono κυδαίνω, *orno, celebro, glorioſum reddo*, convenire cum declinatione nominum propriorum; aut etiam aliter, fieri ex κυδάεις, κυδάεντος, κυδάεντες, *gloriâ celeber, celebris, celebres*, per ſyncopen κύδαντες, & per compoſitionem ὑπερκύδαντες, *gloriâ percelebres, ac præcellentes*. Herodianus tamen in Partitionibus participium hoc eſſe ait, a κυδαίνοντες, *gloriâ afficientes, ſeu celebrantes, gloriâ, & prædicatione efferentes*. Sed in Dictionario nomen id eſſe affirmat. cui ſanè Dictionario, ut veteres docent, fides magis habenda eſt, quàm Partitionibus. Hoc enim in confeſſo eſt eſſe Herodiani. Partitionum verò ſunt nonnullæ, quæ falſo inſcriptæ nomine feruntur. Δηλήσασθαι ὅρκια, *lædere fœdera jurejurando firmata*, per periphraſin idem eſt, atque pejerare, ſeu perjurium facere. quod quidem eſt nocumentum, ſeu violatio jurisjurandi. Sicuti enim fructum quis δηλεῖται, *lædit, ac corrumpit*, cum illum abducit, atque aufert, ut ſupra in libro α liquidò apparuit; ſic etiam jurijurando nocumentum, ac pernicies infertur, cum ipſum e medio auferetur, atque irritum redditur. Deeſt etiam hoc loci per ellipſin præpoſitio. Quod enim dicit, Ἀχαιοὺς ἄρξωσι, &c. *Achivos incipiant*, &c. idem eſt atque τὸ, ἀρχὴν ποιήσωσιν εἰς τοὺς Ἀχαιοὺς τοῦ παραβαθῆναι τοὺς ὅρκους. *initium violandi fœderis in Achivos faciant, ſeu jusjurandum violare contra Achivos incipiant*. Hoc autem verbum uſurpari etiam ſolet paſſivè; nec non aliquando cum præpoſitione, ſive ea præpoſitio ſit κατὰ, ſive ὑπὸ. Quamquam, cum imperandi poteſtatem, ſive auctoritatem ſignificat, activè ſemper, & ſine præpoſitione profeatur.

Sic

1. ἰσοσυλλάβως κλίνεται) κατὰ ἀποβολὴν τοῦ σ. Etymologus. Polit.

2. ὃ δηλοῖ τοὺς ἄγαν ἐνδόξους) Etymologici Magni Auctor: ὑπερκύδαντας, ἄγαν ἀπερνδόξους. Heſychius: ὑπερκύδαντας, ὑπερέχοντας τῇ δόξῃ, ὑπερενδόξους γενομένους. Polit.

3. ἀπὸ βαρυτόνου ῥήματος γεγονὸς τοῦ κυδαίνω) Ita a verbo δαμάω, δάμας, ἀκάμαντος. a verbo δαμνάω, Πολυδάμας, ντος. vel κυδάεις. ut χαρίεις, εντος. Σιμόεις, εντος. Salvin.

4. γενέσθαι ἐκ τοῦ κυδάεις, κυδάεντος, κυδάεντες, κύδαντες) Etymologici Magni Auctor: Ἀφνίδας, Ἀφνίδαντος. ὅθεν καὶ τὸ ὑπερκύδαντος, ἀπὸ τοῦ ὑπερκυδαίνω, ὑπερκυδάεις, ὑπερκυδάεντος, καὶ ὑπερκύδαντος. Politus.

5. Ἡρωδιανὸς δὲ ἐν ἐπιμερισμοῖς μετοχὴν λέγει τοῦτο, ἀπὸ τοῦ κυδαίνοντες) Etymologici Magni Auctor. λέγουσι δέ τινες, ὅτι ἐν τοῖς Ἐπιμερισμοῖς Ἡρωδιανὸς λέγει, ὅτι μετοχή ἐστι. κυδαίνω, ἐκύδανα, κυδήναντες. καὶ κατὰ συγκοπὴν, καὶ συνθέσει, ὑπερκύδαντες. Politus.

6. ἀπὸ τοῦ κυδαίνοντες) Κυδαίνοντες, a verbo κυδαίνω. mox κύδαντες. hoc verius. Salvinus.

7. ἐν δὲ τῷ ὀνοματικῷ) lege, ὀνομαστικῷ. Etymologici Magni Auctor: ἐν δὲ τῷ Ὀνομαστικῷ λέγει, ὅτι ὄνομά ἐστι. Sylburgius: rectius, inquit, opinor, Ὀνομαστικῷ, ut ſequenti verſu. Ego verò rectius eſſe τῷ Ὀνομαστικῷ, atque adeo ὀνομαστικόν, non ὀνοματικόν, legendum eſſe in his ſequentibus verbis Etymologici: τὸ γὰρ ὀνομαστικὸν αὐτοῦ, ὡμολόγηται εἶναι. Politus.

8. ὥς φασιν οἱ παλαιοί) Etymologici Magni Auctor: καὶ μᾶλλον ὄνομα δεῖ λέγειν, ἤπερ μετοχήν. Polit.

9. ἐκείνων δέ εἰσιν, αἳ ψευδεπίγραφοι λέγονται) Etymologus: οἱ δὲ Ἐπιμερισμοὶ οὐκ εἰσὶν αὐτοῦ πάντες, ἀλλ' εἰσὶ καὶ ψευδεπίγραφοι. Polit.

10. καρπὸν δηλεῖταί τις, ἀπάγων ἐκεῖνον) Καρπὸν ἐδηλήσατο, ideſt, ἔβλαψεν. Polit.

11. καὶ μετὰ προθέσεως δέ ποτε) Nempe in compoſitione, veluti κατάρχομαι, & ὑπάρχομαι. Polit.

12. ἐπὶ μέντοι ἀρχικῆς ἐξουσίας, ἀεὶ καὶ ἐνεργητικῶς) Ἄρχειν, imperare. ἄρχεσθαι, incipere. ἄρχειν cum genitivo. ἄρχειν τῆς ὕβρεως. primum, ſeu principem eſſe & auctorem injuriæ inferendæ. Salvinus.

13. προφέρεται) l. προσφέρεται. Polit.

Sic dixit. Neque morem non geſſit pater virorumque deorumque:
Statimque Minervam volucribus verbis eſt allocutus:
Perquam cito ad exercitum vade, ad Troas, & Achivos,
Et experire, quo pacto Trojani in glorioſos Achivos
Initium ipſi violandi fœderis faciant.
Sic fatus, inſtigavit propenſam antea Minervam:
Deſcenditque hæc cum feſtinatione a verticibus Olympi.
Qualem mittit ſtellam Saturni vafri filius,
Aut nautis ſignum, aut exercitui multarum copiarum,
Splendidam, unde multæ ſcintillæ emicant:
Huic ſimilis delapſa eſt in terram Pallas Minerva,
Deſiluitque in medium. Stupor tenebat adſpicientes,
Troaſque domitores equorum, & bene ocreatos Achivos.
Ita verò quis dicebat, ad alium ſibi propinquum aſpiciens:
Vel rurſus bellum pernicioſum, & gravis pugna
Erit, vel amicitiam inter utroſque componet
Juppiter, qui belli inter homines eſt adminiſtrator.
Sic utique unus aliquis dicebat tum de Achivis, tum de Trojanis.

Ὣς ἔφατ'. οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε, θεῶν τε. Baſ. p.339.
Αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
Αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας, καὶ Ἀχαιούς,
Πειρᾶν δ', ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
Ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.
Ὣς εἰπὼν, ὄτρυνε πάρος μεμαυῖαν Ἀθήνην.
Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
Οἷον δ' ἀστέρα ἧκε Κρόνου πάϊς ἀγκυλομήτεω, Rom. p.446.
Ἢ ναύτῃσι τέρας, ἠὲ στρατῷ εὐρέϊ λαῶν,
Λαμπρόν. τοῦ δέ τε πολλοὶ ἀπὸ σπινθῆρες ἵενται.
Τῷ εἰκυῖ' ἤϊξεν ἐπὶ χθόνα Παλλὰς Ἀθήνη.
Καδδ' ἔθορ' ἐς μέσσον· θάμβος δ' ἔχεν εἰσορόωντας,
Τρῶάς θ' ἱπποδάμους, καὶ ἐϋκνήμιδας Ἀχαιούς.
Ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον.
Ἦ ῥ' αὖτις πόλεμός τε κακός, καὶ φύλοπις αἰνὴ
Ἔσσεται, ἢ φιλότητα μετ' ἀμφοτέροισι τίθησι
Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.
Ὣς ἄρα τις εἴπεσκεν Ἀχαιῶν τε, Τρώων τε.

XXVI. Et hic, & ubique, ut ſupra alicubi ſcriptum eſt, apud Poëtam τὸ ἀπιθεῖν, *morem non gerere, non obtemperare, imperium detrectare, dicto minimè audientem eſſe*, ſcribitur cum ι, tamquam a Futuro circumflexo πιθῶ, *perſuadebo, ſeu ad aliquid faciendum oratione impellam*. Quippe dactylicè ſcribit: οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε, θεῶν τε. *Neque morem non geſſit pater virorumque, deorumque*. is ſcilicet, qui auctor, & cauſſa eſt omnium rerum. Sicuti enim terra βωτιάνειρα, *altrix, atque educatrix virorum*, particulatim ea eſt, quæ viros alit, atque educat; generatim verò, atque universè terra παμβῶτις, ea, quæ omnia alit, ac nutrit, ut antea quoque declaratum eſt; ſic etiam virorum, ac deorum pater particulatim, eo quia non ſatis magnifica, nec ſplendida res erat, patrem eum aliarum rerum appellari; universè verò, ac generaliter, rerum omnium effector intelligitur, ſecundùm illud: σέο δ' ἐκ τάδε πάντα πέλονται. *& a te hæc omnia proficiſcuntur*. Quamquam in libro α' Minervam dixit deſcendiſſe minimè omnium corporatam, quocirca nemo quiſquam eam vidit, niſi unus ſoluſque Achilles; ipſa tamen hoc loci, in ſpeciem, atque imaginem ſtellæ, in medium deſiluit, in medium videlicet ſpatium, quod erat inter utramque hoſtium aciem. Sic enim narrat: Qualem autem ſtellam Saturni filius mittit, Juppiter videlicet, qui aër eſt, immittit, portentum aut nautis, aut perquam amplo a copiarum multitudine exercitui; ſtellam, inquam, ſplendidam, unde ſcintillæ multæ emittuntur: τῷ, videlicet τούτῳ ἀστέρι, *ſtellæ huic*, ſimilis delapſa eſt in terram Pallas Minerva, atque in medium deſiluit. Stupor verò adſpicientes, Trojanoſque, & Achivos, tenuit. quod utique ſolet iis accidere, qui prodigia, ac portenta intuentur. Aptè autem atque appoſitè adminiſtra illa lucis, & conciliatrix Minerva ſtellæ huic per comparationem eſt aſſimilata. Etſi enim nullum comparationis adverbium præcedit, puta, τὸ ὡς, *ut*, vel τὸ ἠΰ, *ceu*, ἠΰτε, *veluti*, vel quid ſimile; tamen alioquin ſimilitudo ipſa ſtellæ, quam diximus, concepta eſt in modum comparationis, ut patet ex illis verbis: Τῷ εἰκυῖα ἤϊξεν. *Stellæ huic ſimilis delapſa eſt*. hujus videlicet ſpeciem referens, vel huic aſſimilata, comparationis more. Quare etiam, tamquam in comparatione, dicere poterat: Ὡς δ' ὅτε ἀστὴρ πίπτει ἄνωθεν τοιόσδε, ὡς ἤϊξεν Ἀθηνᾶ ἐπὶ χθόνα. *Ut quando ſtella deſuper cadit talis, qualis deſcribitur; ſic Minerva in terram deſiluit*.

XXVII. Ἀστέρα, *ſtellam*, nunc non ſtellam propriè intelligit; ſed quidpiam ſtellæ inſtar, exempli cauſsâ, cometam, aut genus quoddam fulminis

κϛʹ. Καὶ ἐνταῦθα, καὶ πανταχοῦ, ὡς που καὶ προεγράφη, παρὰ τῷ Ποιητῇ τὸ ἀπιθεῖν διὰ τοῦ ι γράφεται, ὡς ἀπὸ τοῦ πιθῶ περισπωμένου μέλλοντος. Γράφει γοῦν δακτυλικῶς· οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε, θεῶν τε, ἤγουν ὁ πάντων αἴτιος. Ὡς γὰρ βωτιάνειρα μὲν γῆ, πρὸς μέρος ἡ ἄνδρας τρέφουσα· καθόλου δὲ [1] ἡ παμβῶτις γῆ, ὡς καὶ προδεδήλωται· οὕτω καὶ πατὴρ μὲν ἀνδρῶν, καὶ θεῶν, κατά τι μέρος, ὅτι μηδὲ σεμνὸν ἦν πατέρα τινῶν ἑτέρων αὐτὸν προσρηθῆναι· εἰς τὸ καθόλου δέ, ὁ πάντων ἐπιτελεστής, κατὰ τό, σέο δ' ἐκ τάδε πάντα πέλονται. Ἐν μὲν τῇ α' ῥαψῳδίᾳ, τὴν Ἀθηνᾶν εἶπε κατελθεῖν οὐκ ἐνσώματον, διὸ [2] οὐδὲ ἔβλεπέ τις αὐτήν, ἀλλ' ὁ μόνος Ἀχιλλεύς. ἐνταῦθα δὲ ἀστέρι εἰκασθεῖσα, εἰς τὸ μέσον κατέθορεν, ἤτοι εἰς τὸ μεταίχμιον, Φησὶ γάρ· Οἷον δ' ἀστέρα ἧκε Κρόνου παῖς, ἤγουν ὁ Ζεὺς ἀὴρ ἔπεμψεν, ἢ ναύτῃσι τέρας, ἠὲ στρατῷ εὐρέϊ λαῶν, λαμπρόν, τοῦ δέ τε πολλοὶ ἀπὸ σπινθῆρες ἵενται· τῷ, ἤγουν τούτῳ, εἰκυῖα, ἤϊξεν ἐπὶ χθόνα Παλλὰς Ἀθήνη, καδδ' ἔθορ' ἐς μέσσον. θάμβος δ' εἶχεν εἰσορόωντας Τρῶάς τε, καὶ Ἀχαιούς. ὃ δὴ πάσχειν ἔθος τοὺς ὁρῶντας τέρατα. Οἰκείως δὲ ἡ φωσφόρος Ἀθηνᾶ, τοιούτῳ εἴκασται παραβολικῶς. Εἰ γὰρ καὶ μὴ πρόκειται παραβολικόν τι ἐπίρρημα, οἷον τὸ ὡς, ἢ τὸ ἠΰ, ἠΰτε, ἤ τι τοιοῦτον, ἀλλ' ἡ κατὰ τὸν εἰρημένον ἀστέρα ἔννοια παραβολική ἐστιν ἄλλως, ὡς δηλοῖ καὶ τό, Τῷ εἰκυῖα ἤϊξεν. ἤγουν ὡμοιωμένη, λόγῳ παραβολῆς. Διὸ καὶ εἶχεν εἰπεῖν, ὡς ἐν παραβολῇ· [3] Ὡς δ' ὅτε ἀστὴρ πίπτει ἄνωθεν τοιόσδε, ὡς ἤϊξεν Ἀθηνᾶ ἐπὶ χθόνα.

κζʹ. Ἀστέρα δὲ νῦν, οὐ τὸν κυρίως λέγει, ἀλλά τι ἀστεροειδές. οἷον, κομήτην, ἢ σκηπτοῦ τι εἶδος, ἢ ὁποῖοι οἱ διάττοντες, ὧν ἡ γένεσις, αἰ-

1. ἡ παμβῶτις γῆ) *Omniparens. Alma.* παμμήτωρ. ζείδωρος. Horat. *Quicumque terræ munere veſcimur.* Salvinus.

2. οὐδὲ ἔβλεπέ τις αὐτήν, ἀλλ' ὁ μόνος Ἀχιλλεύς) Οἴῳ φαινομένη. τῶν δ' ἄλλων οὔτις ὁρᾶτο. Apuleius vertit: *Soli conſpicua, aſt aliorum nemo tuetur.* Salvinus.

3. Ὡς δ' ὅτε ἀστὴρ πίπτει ἄνωθεν) Virgil. Georg. l. 1.
Sæpe etiam ſtellas vento impendente videbis
Præcipites cælo labi, noctiſque per umbras
5. ἰξαλῆ αἰγεία, περισπωμένως) Heſychius: ἴξαλα, αἰγὸς δορά, ἢ ἐνδυτικά. Doctis viris placet ἴξαλα. Galenus in Explicat. Voc. Hippocratis: ἴξαλον, πλῆον αἰγὸς δέρμα. Erotianus in Dictionario: ἴξαλα. πλήκας αἰγὸς δέρμα, ἐφ' μηλωτὴν καλοῦσι. Videtur tamen præferendum ἰξαλῆ, περισπωμένως, ut παρδαλῆ, & λεοντῆ. Sed minimè probo τὸ ἐνδυτικά. quod docti viri in Heſychio reſcribunt pro ἐνδυτικῆς. Ego puto aliquid excidiſſe, & Heſychii locum ſic legi, ac ſuppleri poſſe: ἰξαλῆ, αἰγὸς δορὰ πλατεῖα, ἢ ἐνδυτική. Neque enim ἰξαλῆ eſt cujuſcumque αἰγὸς δορὰ, ſed ἴξαλη, hoc eſt, πλατεῖα, ἢ ἐνδυτική. Etymologici Magni Auctor: ἴξαλη αἰγὸς. ἐστὶ πλατεῖα, ἢ ἐνδυτική, καὶ ἑρμητική. Politus.

6. ἵνα ἡ πρόθεσις ἀντὶ προθέσεως) Immo caſus pro caſu. ἀντίπτωσις. Salvinus.

7. καθὰ καὶ τὸ, τετυχηκώς) l. καθὰ καὶ τοῦ τετυχηκώς. Polit.

8. τῆς βλεπήσεως, ἣ κεῖται ἐν τῷ Ἐτυμολογικῷ) Etymologici Magni Auctor: βλέπησις, βλέψις. Polit.

9. δεδεγμένος ἐν προδοκῇσι) Etymologici Magni Auctor: ἐν προδοκῇσιν, ἀπὸ τοῦ δοκεῖν, τοῖς πρὸς ἐνέδραν ἐπιτηδείοις τόποις. Polit.

10. οὐκ ἐᾷ, ἐπίκοινον ὄνομα εἶναι τὸ, αἴξ) Regula hæc eſt apud Etymologum: τὰ γὰρ εἰς αἴξ, κατὰ ἀεὶ τὸ γένος· οἷον, ὁ αἴξ, καὶ ἡ αἴξ· ὁ χαῖξ, καὶ ἡ χαῖξ. ὁ Θρᾷξ, καὶ ἡ Θρᾷξ. Polit.

Baſ. p.343. κάδωρα πεφύκει, ὡς εἶναι, κατά τινας, ὁμοῦ ἄμφω σπιθαμῶν πέντε, καὶ δώρου ἑνός· ἀνὰ μέρος δὲ ἑκάτερον, ἀνὰ δύο σπιθαμῶν, καὶ μικρόν τι πρός. Τρίτον γὰρ σπιθαμῆς τὸ δῶρον, ὃ λέγεται καὶ παλαιστὴ θηλυκῶς, καὶ ὁ παλαιστὴς ἀρσενικῶς. ἔστι δὲ διάστημα τετραδάκτυλον. Καὶ οὕτω μὲν ὁ Ποιητὴς λέγει, οὐδὲν ἀπίθανον ἱστορῶν, ὡς ἡ πεῖρα διαδείκνυσι πολλαχοῦ. Τί γὰρ μέγα δισπίθαμον κέρας ἀγρίου αἰγός; εἴγε καὶ ἓν καθ' αὑτὸ μόνον, ὤφθη καὶ ὑπὲρ τέσσαρας σπιθαμὰς, καὶ ἕως, καὶ ὑπὲρ ἑπτά. Φασὶ δὲ καὶ, [1] ἐν Δήλῳ τῇ νήσῳ ἀνακεῖσθαι κέρατα ἐκ τῶν κατ' Ἐρυθρὰν θάλασσαν τόπων, κριοῦ μὲν δίπηχυ, καὶ δακτύλων ὀκτὼ, ἰσταμένων μνᾶς εἰκοσιέξ· τράγου δὲ, πήχεων δύο, καὶ σπιθαμῆς, σταθμοῦ ἴσου. Ὅρα δὲ, ὅπως ἑξκαίδεκα ὀφείλων εἰπεῖν, ὁμοίως τῷ, [2] ἕξκλινον, καὶ τῷ, [3] Ἕξγυιον, ὃ πόλις ἐστὶ Σικελίας, ἓξ ἀγυιὰς ἔχουσα, κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα, ὁ δὲ, ἑκκαίδεκα λέγει, τραπέντος τοῦ ξ εἰς κ', διὰ συγγένειαν, ὡς καὶ ἐπὶ τῆς
Rom. p.451. ἐξ προθέσεως. Οὕτω που καὶ χρόνος ἐξάμηνος, ἔκμηνος λέγεται. καὶ τὸ ἕκτον δὲ ἐκ τοῦ ἓξ οὕτω παρωνόμασται. Ἰστέον δὲ, ὅτι εἰς κέντρωνα, ἤγουν εἰς Ὁμηρόκεντρον τὸ ἐπὶ Πανὸς, συνετέλεσέ τι τὸ, Τοῦ κέρα ἐκ κεφαλῆς, καὶ ἑξῆς. ὡς τοῦ Πανὸς κερασφόρου ὄντος, κατὰ τὸν μῦθον. Ῥηθήσεται δέ ποτε σκωπτικῶς καὶ [4] κατὰ παντὸς ἀνδρὸς κοινότερον. Ἰστέον δὲ καὶ, ὅτι τοῦ πεφύκει, ὅ ἐστι βεβλαστήκει, οὐκ ἔστι κυριωτέρα λέξις ἐπὶ κεράτων, ἅπερ ὕστερον τοῖς κερασφόροις φύονται.

λϛ'. Γοργῶς διασκευάζων ὁ Ποιητὴς τόξου κατασκευὴν, οὕτω φησί· Καὶ τὰ μὲν (λέγει δὲ τὰ κέρατα) ἀσκήσας κεραοξόος ἤραρεν, ἤγουν ἥρμοσε, τέκτων. Πᾶν δ' εὖ λειώσας, χρυσέην ἐπέθηκε κορώνην. εἰς ἣν δηλαδὴ ἐνίεται ἡ νευρά. Καὶ ὅρα, ὅτι καὶ τὸν τοῦ τόξου τεχνίτην, τέκτονα γενικῶς καλεῖ· κεραοξόον μέντοι, πρὸς εἰδικὴν διαστολὴν τῶν λοιπῶν τεκτόνων. οὗ ἡ συνθετικὴ ἀναλογία, κατὰ τὸ δορυξόος, λαοξόος, ἤτοι λιθοξόος, καὶ τὰ ὅμοια. Ἀσκῆσαι δὲ καὶ νῦν τὸ ἐπιμελείας ἀξιῶσαι· ἵνα εἴη, ὥσπερ νῆμα ἀσκητὸν, οὕτω καὶ ἀσκητὰ κέρατα. Τὸ δὲ ἤραρεν ἀνα-

capite ſexdecim palmorum nata erant. adeo ut, juxta nonnullos, ambo ſimul cornua ſint ſpithamarum, ſeu dodrantum quinque, & palmi præterea unius, ſeu quaternûm digitorum; ſed alterutrum per ſe ſingillatim binarum ſic ſpithamarum, & aliquantò amplius. Tertia enim pars ſpithamæ, ſeu dodrantis, eſt palmus, qui & παλαιστὴ dicitur muliebri genere, & maſculino ὁ παλαιστής. Eſt autem ſpatium quaternûm digitorum. Atque ita quidem dum narrat Poëta, nihil improbabile, aut incredibile tradit, ut ipſa ſæpe experientia demonſtrat. Quid enim magni habet cornu ſilveſtris capri, quod ad ſpithamas duas, ſeu ad quatuor, & viginti digitos pertineat? Siquidem & unum per ſe tantùm viſum eſt, ſupra quatuor circiter ſpithamas, eàque etiam longitudine, ut ſeptenas ſpithamas, ſeu quatuor, & octoginta digitos, excederet. Ferunt etiam, in Delo inſulâ dicata eſſe cornua ex iis locis, quæ Erythræo mari adjacent, alterum arietis bicupitale, & octo digitorum, minarum ſex, & viginti pondo; alterum hirci, duûm cubitorum, uniuſque ſpithamæ, hoc eſt, digitorum ſexaginta, pari pondere. Ceterùm, quum dicendum eſſet ἑξκαίδεκα, *ſexdecim*, ſimiliter atque τὸ ἕξκλινον, *ſex lectos habens*, *ſeu lectis ſenis inſtructum*, & τὸ Ἕξγυιον, *Hexgyium*, quæ urbs eſt Siciliæ, habens ἓξ ἀγυιὰς, *ſex vicos*, juxta Ethnicorum ſcriptorem; tamen vide, ut Poëta dicit ἑκκαίδεκα, *ſedecim*, mutato τοῦ ξ in κ', ob litterarum illarum cognationem: ſicuti etiam fit in præpoſitione ἐξ, *ex*. Et ſic alicubi χρόνος ἐξάμηνος, dicitur ἔκμηνος, *tempus ſemeſtre*. Nec non τὸ ἕκτον, *ſextum*, ex ἓξ, *ſex*, ita eſt denominatum. Sciendum autem eſt, cuidam ad centonem, videlicet ad Homerocentonem de Pane, multùm contuliſſe illud: Τοῦ κέρα ἐκ κεφαλῆς, &c. *Cujus cornua ex capite*, &c. quippe quum Pan corniger ſit, ſeu cornutus, ſecundùm fabulam. Immo & magis communiter per dicterium, & contumeliam id aliquando in hominem uſurpabitur, qui ſit Panis inſtar, ideſt, iracundus, & libidinoſus. Quin etiam ſciendum, verbo illo πεφύκει, hoc eſt, βεβλαστήκει, *pullulaverant*, *exorta*, *ſeu enata erant*, nullam eſſe vocem magis aptam, atque opportunam de cornibus, quæ animalibus cornutis poſtmodum innaſcuntur.

XXXVI. *Structuram*, atque artificium arcûs artificio celeris atque incitatæ deſcriptionis ita exornat Poëta: Καὶ τὰ μὲν, *& hæc quidem* (intelligit cornua) ἀσκήσας κεραοξόος ἤραρε, videlicet ἥρμοσε, τέκτων, *elaborata cornuum politor aptaverat*, *ſeu accommodaverat, faber*. Πᾶν δ' εὖ λειώσας, χρυσέην ἐπέθηκε κορώνην. *totamque bene quum levigaſſet*, *ſummitatem auream impoſuerat*. in quam nimirum nervus immittitur, atque infigitur. Ac vide, ut fabricatorem, ſeu artificem arcûs, generali nomine vocat τέκτονα, *fabrum*; ſed tamen κεραοξόον, *cornuum politorem*, ut eum ſpeciatim a reliquo τεκτόνων, *fabrorum*, genere diſtinguat. quod quidem nomen ſimili ratione, eademque analogiâ compoſitum eſt, atque τὸ δορυξόος, *haſtarum politor*, λαοξόος, ſive λιθοξόος, *lapidum politor*, aliaque id genus. Ἀσκῆσαι, *elaborare*, etiam nunc idem eſt, atque accuratè tractare, labore ſuo, & diligentiâ dignari, diligenter excolere: adeo ut, ſicuti νῆμα ἀσκητὸν, *ſtamen elaboratum*; ſic etiam ſiunt ἀσκητὰ κέρατα, *cornua elaborata*. Ad analogiæ,

1. ἐν Δήλῳ τῇ νήσῳ ἀνακεῖσθαι κέρατα) Erat in Delo ara cornea, inter ſeptem Mundi miracula adnumerata. De eâ vulgò accipiunt illud Martialis:

Diſſimulatque deum cornibus ara frequens.

Politus.

2. ἕξκλινον) Atticè, ἀντὶ τοῦ ἑξάκλινον. Etymologici Magni Auctor: ἑξάκλινον, ἑξάπουν. Ἀττικῶς φασὶ ἕξπουν, καὶ ἕξκλινον λέγεται, ὥσπερ καὶ παρὰ τῷ Σοφοκλεῖ ἐξσταχυοῖ. Polit.

3. Ἕξγυιον, ὃ πόλις ἐστὶ Σικελίας) l. Ἕξγυιον. & ſic legendum videtur apud Stephanum pro vulgato Ἑξγύιος, in his verbis: Ἑξγύιος. πόλις Σικελίας, χωρίον Ἀττικὸν ἔχουσα, ὡς τὸ ἕξκλινος. λέγεται δ' οὕτω, διὰ τὸ ἓξ ἀγυιὰς ἔχειν. Perperam Xylander, & contra mentem Stephani: Ἑξαγύιος, πόλις Σικελίας, χωρίον Ἀττικὸν ἔχουσα, ὡς τὸ ἑξάκλινος. Politus.

4. κατὰ Παντὸς ἀνδρὸς) Theocr. Idyll. α. de Pane: δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται. *amara bilis in naribus reſidet*. Salvinus.

Digitized by Google

giæ rationem eſt τὸ ἤραρεν, *aptaverat, ſeu accommodaverat*. Neque verò tale eſt τὸ ἄραρε, cujus participium, ἀραρὼς, *aptatus, ſeu compactus*. Namque illud, quippe magis Jonicum, in Atticiſmum degeneravit. Λειᾶναι, *levigare*, idem eſt atque radere, ſeu limare. Ceterùm in proverbium tranſiit Homerica hæc χρυσῆ κορώνη, *coronis, ſeu ſummitas aurea*: & qui bonum, ac felicem finem prioribus rebus imponit, is auream toti rei coronidem imponere dicitur. Ac fortaſſe ex hac iſtâ κορώνη, *ſummitate*, dicta eſt per diminutionem ἡ χρυσῆ κορωνὶς, *coronis aurea*. Fortaſſis etiam ex eâ κορώνη, qui eſt annulus, quo committuntur, ſeu concluduntur fores. Dicitur autem per metaphoram κορώνη, *coraix*, arcûs, ſicuti etiam oſtii, ut alibi declaratur, *a* cornice ave, ad cujus differentiam videtur hæc lepidè appellata eſſe aurea, quippe quæ nequaquam, ut illa, ſit nigra.

XXXVII. Arcum *ad* terram deponere dicit, eum ad terram reclinare. Namque τὸ εἰς γῆν ἀνακλῖναι, *ad terram reclinare*, ſimiliter ſeſe habet, atque τὸ καταθεῖναι, *deponere, ſeu demittere*, ut aperte conſtat ex his verbis: Καὶ τὸ μὲν εὖ κατέθηκε τανυσσάμενος. *Et hunc quidem quum tetendiſſet, ſcitè depoſuit*. τανυσάμενος, inquam, quod etiam dicitur τανύσας, *intendens*, ſecundùm illud: οὐ δύναμαι τανύσαι. *non poſſum intendere*. Ante Pandarum ſcuta σχέθον, videlicet ἶχον, *tenebant*, ſtrenui ſodales, ſimul illum occultantes, ut, miſsâ clanculum ſagittâ, Menelaum feriret. Non igitur unus ſoluſque Pandarus nequam, atque improbus, ſed ad ejus imitationem ii etiam conformantur, qui imperio ejus reguntur. quod quidem ut plurimùm accidit. Sagittam, quam Pandarus ἐξείλετο, *exemit*, ſive eduxit, aut extraxit, ut eam in Menelaum conjiceret, Homerus vocat ἀβλῆτα, *nondum in quemquam conjectam*, ubi ſic ait: Αὐτὰρ ὁ σύλα πῶμα φαρέτρης· ἐκ δ' ἕλετ' ἰὸν ἀβλῆτα πτερόεντα, μελαινάων ἕρμ' ὀδυνάων. *Ille verò operculum pharetræ detraxit; exemitque ſagittam, in quemquam nondum conjectam, pennatam, triſtium fulcrum dolorum*. Eſt autem ἀβλὴς idem atque ὁ μήπω βληθεὶς, hoc eſt, ἀφεθεὶς κατά τινος, *ſagitta nondum conjecta, ſive emiſſa in quemquam*. Ideoque veteres Critici vocem hanc inducunt, atque abolent, quum eam eſſe negent conſuetudinem Poëtæ, ut verbum βάλλειν, emittendi, aut jaciendi ſenſu, generatim uſurpet. Vitio etiam vertunt τὸ ἕρμα, *fulcrum, ſtabilimen, firmamentum*, eo quòd hoc modo non id, quod vult, dicat Poëta. Ἕρμα enim ſenſu Homerico idem eſt, atque propugnaculum, & impedimentum, ſeu obex. At enim jaculum, ſeu ſagitta, non impedimento, neque obſtaculo eſt doloribus; ſed potiùs fulcimini, ac firmamento. Verùm quidquid eſt harum difficultatum, ita diſſolvere, atque expedire quis poteſt, ut dicat, ſagittam Homero vocari ἀβλῆτα, eam, quæ neminem quemquam adhuc ἔβαλε, *percuſſit*, ſive eſt aſſecuta, quia necdum ex arcu excuſſa eſt, ſive emiſſa: eamdemque ἕρμα ὀδυνῶν, *fulcrum, ac firmamentum dolorum*, in qua dolores ſuam veluti ſedem habent, & ἐνερείδονται, *firmantur, eique inhæreant*: adeo ut, quocumque ea ſagitta penetraverit, eò etiam mortales ſimul dolores ſubeant. Ἰὸν πτερόεντα, *ſagittam pennigeram, ſeu alatam*, communiùs quidem eam dicit, quæ

 πτε-

καλόγως ἔχει· οὐ μὴν τοιοῦτον καὶ τὸ ἄραρεν, οὗ μετοχὴ ἀραρώς. ἐκεῖνο γὰρ, Ἰωνικώτερον ὄν, διέβη καὶ εἰς Ἀττικισμόν. Λειῆναι δὲ τὸ ξέσαι, ἢ ῥινῆσαι. Ἡ δὲ Ὁμηρικὴ χρυσῆ κορώνη καὶ εἰς παροιμίαν ἔπεσε, καὶ ὁ ἀγαθὸν τέλος τοῖς φθάσασιν ἐπιθεὶς, χρυσέην ἐπιθεῖναι τῷ παντὶ κορώνην λέγεται. ἡ δὲ χρυσῆ κορωνὶς, ἴσως μὲν καὶ ἐκ ταύτης τῆς κορώνης ὑπεκορίσθη· ἴσως δὲ καὶ ἐκ τῆς τὰς θύρας συναπτούσης. Λέγεται δὲ κορώνη τόξου τροπικῶς, καθὰ καὶ θύρας, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ἀπὸ τῆς ζωϊκῆς, ἧς πρὸς διαφορὰν δοκεῖ ἀστείως αὕτη χρυσέα κληθῆναι, ὡς μὴ κατ' ἐκείνην οὖσα μέλαινα.

λζʹ. Τὸ εἰς γῆν θεῖναι τὸ τόξον, πρὸς τῇ γῇ ἀνακλῖναί φησιν. Ὅτι δὲ τὸ εἰς γῆν ἀνακλῖναι, ὅμοιόν ἐστι τῷ καταθεῖναι, δηλοῖ εἰπών· Καὶ τὸ μὲν εὖ κατέθηκε τανυσσάμενος. ὁ καὶ τανύσας λέγεται, [1] κατὰ τὸ, οὐ δύναμαι τανύσαι. Πρόσθε τοῦ Πανδάρου σάκεα σχέθον, ἤγουν ἔσχον, ἐσθλοὶ ἑταῖροι, συγκρύπτοντες ἐκεῖνον, ἵνα λάθῃ βαλὼν τὸν Μενέλαον. Οὔκουν μόνος φαῦλος ὁ Πάνδαρος, ἀλλὰ συνεξομοιοῦνται αὐτῷ καὶ οἱ ὑπ' αὐτόν. ὅπερ ὡς τὰ πολλὰ γίνεται. Τὸν οἰστὸν, ὃν ἐξείλετο Πάνδαρος, ἤτοι ἐξήγαγεν, ἢ ἐξελέξατο, εἰς τὴν κατὰ Μενελάου βολὴν, ἀβλῆτα καλεῖ Ὅμηρος, εἰπών· αὐτὰρ ὁ σύλα [2] πῶμα φαρέτρης· ἐκ δ' ἕλετ' ἰὸν [3] πτερόεντα, μελαινάων ἕρμ' ὀδυνάων. [4] Ἔστι δὲ ἀβλὴς, ὁ μήπω βληθεὶς, ὅ ἐστι, ἀφεθεὶς κατά τινος. διὸ καὶ ἀθετοῦσι τὴν λέξιν οἱ παλαιοί· φάμενοι, μὴ εἰωθέναι τὸν Ποιητὴν τὸ βάλλειν ἐπὶ τοῦ ἁπλῶς ἀφιέναι, τιθέναι. Αἰτιῶνται δὲ καὶ τὸ ἕρμα, λέγοντες, ὅτι οὐχ ὃ θέλει, ὁ Ποιητὴς λέγει. ἕρμα γὰρ Ὁμηρικῶς, τὸ ἔρυμα, καὶ κώλυμα. Τὸ δὲ βέλος οὐ γίνεται κώλυμα ὀδυνῶν, ἀλλὰ μᾶλλον ἐνέρεισμα. Ἔστι δὲ λύοντα τὰ τοιαῦτα εἰπεῖν, ὅτι ἀβλῆτα μὲν οἰστὸν λέγει, τὸν μήπω βαλόντα, ἤτοι ἐπιτυχόντα τινὸς, διὰ τὸ μηδὲ ἀφεθῆναι· ἕρμα δὲ ὀδυνῶν, ἐν ᾧ αἱ ὀδύναι οἷον ἐνοικοῦσι, καὶ ἐνερείδονται. ὥστε ὅπου αὐτὸ εἰσέλθῃ, ἐκεῖ καὶ θανασίμους ὀδύνας συνεισέρχεσθαι. Ἰὸν δὲ πτερόεντα, κοινότερον μὲν, λέγει τὸν πτεροῖς

E 2 προϊ-

1. κατὰ τὸ, οὐ δύναμαι τανύσαι) Homerus: ἐγὼ οὐ δύναμαι σὺ τανύσαι. & rurſus: ὅτ' οὐ δυνάμεθα τανύσαι. Polit.

2. πῶμα φαρέτρης) Operculum pharetræ cum loris adjectis vide in antiquis ſtatuis. Salvinus.

3. πτερόεντα) Supple, Ἀβλῆτα, πτερόεντα. Polit.

4. Ἔστι δὲ ἀβλὴς, ὁ μήπω βληθεὶς) Heſychius: Ἀβλὴς, νεαρὸς, μὴ βληθεὶς. Legendum eſt, ἀβλὴς, ὀξυτόνως. Et ſic nomen iſtud, tamquam oxytonum, ingreditur illam regulam, quæ eſt apud Etymologici Magni Auctorem, & Suidam: Τὰ εἰς ς λήγοντα ὀξύτονα σύνθετα, ἀπὸ ῥημάτων γινόμενα, μίαν συλλαβὴν φυλάττοντα τοῦ παθητικοῦ παρακειμένου, διὰ καθαροῦ τοῦ ης κλίνονται, εἴτε εἰς ως ἄνευ, εἴτε εἰς ας, εἴτε εἰς ες. οἷον κέκραται, χαλκοκρὰς, χαλκοκρᾶτος, ὁ χαλκῷ κεκραμένος, νεοκρὰς, νεοκρᾶτος, ὁ νεωστὶ κεκραμένος. βέβληται, ἀβλὴς, ἀβλῆτος, ὁ μὴ βληθείς. Politus.

προϊόντα· καὶ ἄλλως δὲ, ἢ πρὸς διαστολὴν ἴσως ἰοῦ τοῦ κατὰ τὸν ὄφιν, καὶ ὅσα τοιαῦτα, ἢ καὶ πρὸς διαφορὰν οἰστοῦ, ὃς οὐ πτεροῖς διακινεῖται, ἀλλὰ τισιν ἑτεροίοις, ὡς εἰκός. Ἔτι δὲ πτερόεις ἰὸς, ὁ ταχὺς καὶ ἐπιπτέσθαι μενεαίνων.

πτεροῖς, *pennis*, *ſeu alis*, progreditur; ſed & aliâ ratione, aut ad diſtinctionem fortaſſe ἰοῦ, *veneni*, quod ſerpentes, & cetera ejuſmodi venenata animalia ejaculantur, aut etiam ad diſcrimen οἰστοῦ, *teli*, *ſeu jaculi*, quod non pennis, ſed alterius generis adminicolis, ut fieri ſolet, regitur. Ad hæc, πτερόεις ἰὸς, *pennata ſagitta*, dicitur volucris, & prompta ad volandum.

Αἶψα δ' ἐπὶ νευρῇ κατεκόσμει πικρὸν ὀϊστόν,
Εὔχετο δ' Ἀπόλλωνι Λυκηγενεῖ, κλυτοτόξῳ,
Ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην,
Οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης.
Ἕλκε δ' ὁμοῦ γλυφίδας τε λαβὼν, καὶ νεῦρα βόεια.
Νευρὴν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον.
Αὐτὰρ, ἐπειδὴ κυκλοτερὲς μέγα τόξον ἔτεινε,
Λίγξε βιός. νευρὴ δὲ μέγ' ἴαχεν, ἆλτο δ' ὀϊστὸς
Ὀξυβελὴς, καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων.

Statim porrò ad nervum aptavit acerbam ſagittam,
Vovitque Apollini Lycegenæ, inclyto ſagittario,
De agnis primùm natis ſeſe facturum inclytam hecatomben,
Poſteaquam domum reverſus eſſet ſacra in urbem Zeleæ.
Traxit igitur ſimul crenas ſagittæ prehenſas, & nervos bubulos.
Nervum mammæ admovit, arcuique ferrum.
Poſtea verò quàm rotundum magnum arcum tetendit,
Sibilavit arcus, nervuſque valdè ſtrepuit, & ſaliit ſagitta,
Acutam habens cuſpidem, in turbam advolare cupiens.

Rom. p. 452. λή. Τὸ τοῦ Πανδάρου τόξευμα οὕτω διασκευάζει ὁ Ποιητής· Αἶψα δ' ἐπὶ νευρῇ κατεκόσμει πικρὸν ὀϊστόν. ἕλκε δ' ὁμοῦ γλυφίδας τε λαβὼν, καὶ νεῦρα βόεια. νευρὴν μὲν μαζῷ πέλασε, τόξῳ δὲ σίδηρον. Αὐτὰρ, ἐπειδὴ κυκλοτερὲς μέγα τόξον ἔτεινε, λίγξε βιός. νευρὴ δὲ μέγ' Bas. p. 344. ἴαχεν, ἆλτο δ' ὀϊστὸς ὀξυβελὴς, καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων. Ἰστέον δὲ, ὅτι ἀρχαϊκὸν τὸ τὴν νευρὰν πελάζειν τῷ μαζῷ. [1] ὃ καὶ Ἀμαζόνες ἐποίουν, ὡς προείρηται. τὸ δὲ μέχρι καὶ εἰς τὸ δεξιὸν οὖς αὐτὴν ἐντείνειν, νεώτερον, [2] ὡς καὶ ὁ Προκόπιος ἐν τοῖς Λιβυκοῖς προοιμιαζόμενος ἱστορεῖ. Τοῦ δὲ [3] κατακοσμεῖν νευρὰν ἐπὶ ὀϊστῷ, οὐκ ἔστι καιριωτέραν λέξιν εὑρεῖν, κἂν μυρία ποιήσοι τις. δηλοῖ δὲ τὸ εὐκόσμως κατετίθει, οἷα κοσμήτωρ. [4] Πικρὸν δὲ ὀϊστὸν λέγει, τὸν πρὸ βραχέων ὀδυνηρὸν εἰς θάνατον, πρὸς διαστολὴν τοῦ μὴ πολεμικοῦ, ἀλλὰ γυμναστικῶς γλυκάζοντος. Γλυφίδες δὲ, τὸ γλύμμα τοῦ ἀτράκτου τὸ ἐντιθέμενον τῇ νευρᾷ. Νεῦρα δὲ βόεια, περιφραστικῶς, καὶ ἐτυμολογικῶς, ἡ προῤῥηθεῖσα νευρὰ λέγεται. ἐξ ὧν καὶ ἠρτύετό ποτε, καθὰ πρὸ ὀλίγου ἐῤῥέθη, ἡ νευρὰ, ὡς καὶ ἡ κλῆσις δηλοῖ. Κατακρυόμενα γὰρ, ὡς εἰκὸς, βόεια νεῦρα, εἶτα ξαινόμενα, καὶ κλωθόμενα, συνεστρέφοντο, καθὰ καὶ σχοῖνος· καὶ οὕτως ἐχρησίμευον εἰς ῥαιβωσιν τόξου, κατὰ τοὺς ἄρτι βοείους ἱμάντας. [5] κἀντεῦθεν ἡ τότε κυρίως νευρὰ, ψευδωνυμεῖται, [6] κατὰ τοὺς ὕστερον.

XXXVIII. Quem in conjiciendâ ſagittâ modum Pandarus tenuerit, ſic artificioſè, ac diſtinctè deſcribit Poëta: Statimque ad nervum aptavit amaram ſagittam; ſimolque traxit ſagittæque crenas prehenſas, & nervos bubulos. Nervum quidem mammæ admovit, & arcui ferrum. Poſtea verò, quam rotundum magnumque arcum tetendit, ſibilavit arcus, valdeque ſonuit nervus, & ſaliit ſagitta cuſpide acutâ, advolare in turbam cupiens. Sciendum autem eſt, vetuſti moris fuiſſe, nervum mammæ admovere. quod & Amazones facere conſueverunt, ut ſupra dictum eſt. Verùm ad dextram uſque aurem arcum intendere, conſuetudinis eſt recentioris, ut in Perſicorum Proœmio narrat Procopius. Ceterùm quum Homerus dicat κατεκοσμεῖν νευρὰν ἐπὶ ὀϊστῷ, *aptare nervum ad jaculum*; inveniri vox ulla nequit magis rei accommodata, atque appoſita, quàm τὸ κατακοσμεῖν, *aptare*, *accommodare*, *in ordinem digerere*, *ac componere*: tametſi omnem quis lapidem moveat. Eam autem ſignificationem habet, ut Pandarus εὐκόσμως, *rite*, *atque ordine*, tamquam κοσμήτωρ, *dux*, *atque moderator*, ſagittam impoſuerit, ac collocaverit. Amarum, atque acerbum vocat jaculum, quod paullò ante dixerat ad mortem uſque dolore afficiens, & crucians, ad differentiam jaculi minimè facti ad uſum bellicum, ſed ad palæſtricum uſum dulciter comparati, quo ſcilicet ſeſe aliqui cum voluptate exerceant. Γλυφίδες, *crenæ*, inciſura eſt ſagittæ, quæ nervo imponitur, ſeu in quam nervus inferitur. Νεῦρα βόεια, *nervi bubuli*, per periphraſin, & pro etymologiæ ratione, dicitur ἡ νευρὰ, *nervus ipſe arcus*, quem ſupra dicebamus: ex quibus etiam, ut paullò ante dictum eſt, olim aliquando parabatur ἡ νευρὰ, *nervus*, *quo arcus intenditur*, ut nomen ipſum apertè indicat. Diſciſſi enim, ut ſolet, nervi bubuli, deinde carminati, glomeratique, in modum funis contorquebantur; itaque flectendo incurvandoque arcui commodum uſum præſtebant, ut bovina lora recentiorum temporum. Atque hinc factum eſt, ut, quæ tunc propriè νευρὰ, *nervus*, falſò ſic poſtea nominetur.

1. ὃ καὶ Ἀμαζόνες ἐποίουν) Ἀμαζὼν, ἄνευ μαζοῦ. *abſque mammâ dextrâ*. Salvinus.

2. ὡς καὶ ὁ Προκόπιος ἐν τοῖς Λιβυκοῖς προοιμιαζόμενος ἱστορεῖ) Corrige, ἐν τοῖς Περσικοῖς. Procopius De Bello Perſico l. 1. c. 1. ubi priſcæ memoriæ ſagittarios cum ætatis ſuæ ſagittariis confert: ἀνδρῶν δὲ τούτων ὅπως ἀπολειπομένους ἔχοιεν τῇ τέχνῃ, ὅσοι πελάζουσιν τῷ μαζῷ τὴν νευρὰν, ὅπως τὸ βέλος ἀφίεσαν κωφόν τε, καὶ [illegible] πάντως τοῖς δεχομένοις ἐσόμενον. τοιαύτη μοι τις ἐστὶν ἡ τοξεία [illegible]. Οἱ δέ γε νῦν τοξόται ἴασι μὲν ἐς μάχην τεθωρακισμένοι τε, καὶ κνημῖδας ἐναρμοσάμενοι μέχρις ἐς γόνυ. ἤρτηται δὲ αὐτοῖς ἀπὸ μὲν τῆς δεξιᾶς πλευρᾶς τὰ βέλη· ἀπὸ δὲ τῆς ἑτέρας τὸ ξίφος. εἰσὶ δὲ, οἷς καὶ δόρυ προσαρτηρήμενον, καὶ βραχεῖά τις ἐπὶ τῶν ὤμων ἀσπὶς, ὀχάνου χωρὶς, οἵα τά τε ἀμφὶ τὸ πρόσωπον, καὶ τὸν αὐχένα ξυγκαλύπτειν. ἱππεύονται δὲ ὡς ἄριστα, καὶ θέοντος αὐτοῖς ὡς τάχιστα τοῦ ἵππου, τὰ τόξα τε οὐ χαλεπῶς ἐντείνειν οἷοί τέ εἰσιν ἐφ' ἑκάτερα, καὶ διώκοντάς τε βάλλειν τοὺς πολεμίους, καὶ φεύγοντας. ἕλκεται δὲ αὐτοῖς κατὰ τὸ μέτωπον ἡ νευρὰ, παρ' αὐτὸ μάλιστα τὸ οὖς τὸ δεξιὸν, τοσαύτης ἀλκῆς ἐμπιπλᾶσα τὸ βέλος, ὥστε τὸν ἀεὶ παραπίπτοντα κτείνειν· οὐδὲ ἀσπίδος ἴσχυος, οὐ θώρακος ἀποκρούεσθαί τι δυναμένου τὴν ῥύμην. Vera autem librorum illorum Procopii Inſcriptio eſt Περσικά. Nicephorus Callixtus Hiſtor. Eccleſiaſt. lib. 17. c. 10. ὁ δὲ Προκόπιος τῷ Καισαρεῖ [illegible] καὶ λογίως ἐγράφη ἐν ταῖς κατ' αὐτὸν ἱστορικαῖς συγγραφαῖς. [illegible] δ' αὐτῷ βιβλία ἀρχαιότητι φράσεως ἔχοντα [illegible] ἐπίγραφον Περσικά. ἐν τρισὶ δὲ τέσσαρσι διαιρεῖται τὸ σύγγραμμα. τὰ δὲ Γοτθικὰ, ὁμοίως καὶ αὐτὸ διῃρημένον. Politus.

3. κατακοσμεῖν νευρὰν ἐπὶ ὀϊστῷ) Immo contra Homerus, κατεκόσμει ὀϊστὸν ἐπὶ νευρῇ. Polit.

4. Πικρὸν δὲ ὀϊστὸν λέγει) Alibi βέλος ἐχεπευκὲς, *telum lethiferum*. Salvinus.

5. κἀντεῦθεν ἡ τότε κυρίως νευρὰ, ψευδωνυμεῖται) Euſtathius alibi: Καὶ ἡ νευρὰ δὲ, τμῆμα μέν ἐστι δέρματος βοὸς [illegible] τοῖς τόξοις. Διότι δὲ ποτε νεῦρα βόεια συνεπλέκοντο [illegible] μένει καὶ νῦν τὸ τῆς κλήσεως. Politus.

6. κατὰ τὸ ὕστερον) Frobenius, κατὰ τοὺς ὕστερον. Polit.

Digitized by Google

XXXIX. Μαζὸς, *mamma*, *ſeu mamilla*, ecce tibi uſurpata eſt etiam de viris. Quare non de ſolis tantummodò mulieribus dicitur. Videtur autem ea vox facta eſſe ex μαδὸς, *mamma*, *itemque depilis*, *glaber*, *pilorum expers*, pro eâ cognatione, quam intercedere conſtat inter litteras δ', & ζ'. Vi namque, & neceſſitate naturæ μαδᾷ, *glabra eſt*, *atque a pilis vacua*, omnis μαζὸς, *mamma*, quæ etiam μασδὸς dicitur Doricè, & μαςὸς cum τ', nec non μαθὸς cum θ'. Exemplum τοῦ μαδοῦ eſt eo Heraclidis loco, quo quum ille dixiſſet, ex verbo ἔδω, *edo*, *comedo*, Doricè fieri τὸ ἔθω, mutatione τοῦ δ' in θ', ut ἔθων Οἰνῆος ἀλωήν. *edens*, *ſeu devaſtans Oenei agrum*; ſic etiam ſubjungit, τὸν μαδὸν, *mammam*, dici a Doribus μαθόν. Quin & τὸ ψεῦδος, inquit, *i. e. mendacium*, ablato τοῦ ε, dicunt ψύθος. Quidam tamen a verbo μῶ μάζω, quod ſignificat *quæro*, derivant τὸν μαζὸν, *mammam*, quippe quæ ab infantibus quæratur. Κυκλοτερὲς τόξον, *rotundum*, *ſeu orbiculatum arcum*, dicit, non qui talis eſt naturâ, quippe quum, antequam intendatur, obliquus ſit, ac tortuoſus; ſed qui trahendo retorquendoque fit talis. Etenim cum nervus ad mammam, ferrumque jaculi ad arcum admovetur, tunc certè arcus in orbiculatam figuram contrahitur. Verba per onomatopœiam conficta ad ſoni imitationem ſunt illa, λίγξε, *ſibilavit*, & ἴαχε, *ſtrepuit*, *ſeu ſtridorem edidit*. Atque illud quidem magis planum, ac læve, appoſitè de arcu; hoc verò aſperius uſurpatum eſt de nervo. De verbo ἄλτο, *ſaltit*, ſcriptum eſt ſupra: ubi tenuari ipſum oſtendimus, & quid cauſſæ ſit, quamobrem tenuetur. Porro autem τὸ ὀξυβελὴς, *acutam cuſpidem habens*, *ſeu acuto ſpiculo inſtructus*, clarè perſpicuèque demonſtrat, βέλος, *cuſpidem*, *ſeu ſpiculum*, propriè ipſum eſſe ferrum ſagittæ, ſeu jaculi, a quo tota ſagitta, βέλος, *ſpiculum*, appellatur. Sicuti etiam a ferro τῆς αἰχμῆς, *cuſpidis*, totam haſtam αἰχμὴν, *cuſpidem*, vocamus. Τοῦ πτέσθαι, hoc eſt, πετάσαι, *volare*, extat etiam exemplum apud Sophoclem in Oedipo: ejuſque formatio ſimiliter ſeſe habet, atque τοῦ χέσθαι, *habere*. Sicuti enim eſt ἐσχόμην, χέσθαι, *habui*, *habere*; ſic etiam ἐπτόμην, πτέσθαι, *volavi*, *volare*. ut, περιχαρὴς δ' ἀνεπτόμην. *lætuſque admodum ſubvolavi*. Conſtat etiam, Aoriſtum primum eſſe ἐπτάμην, *volavi*, ex quo illud: Τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προςέπτα-

λθ'. [1] Μαζὸς δὲ, καὶ ἐπὶ ἀνδρῶν ἰδοὺ κεῖται. ὥστε οὐκ ἐπὶ μόνων λέγεται γυναικῶν. Δοκεῖ δὲ γενέσθαι ἐκ τοῦ, μαδὸς, κατὰ φανερὰν στοιχειακὴν τοῦ δ', καὶ τοῦ ζ' συγγένειαν. Μαδᾷ γὰρ φύσει ἀναγκαίως ἅπας μαζὸς, ὁ καὶ μασδὸς Δωρικῶς, καὶ μαστὸς διὰ τοῦ τ', καὶ μαθὸς δὲ διὰ τοῦ θ', λεγόμενος. Χρῆσις δὲ τοῦ μαδοῦ, ἐν οἷς Ἡρακλείδης εἰπὼν, ἐκ τοῦ ἔδω [2] τὸ ἔθω γίνεσθαι Δωρικῶς, τροπῇ τοῦ δ' εἰς θ', ὡς τὸ, ἔθων Οἰνῆος ἀλωήν· λέγει, ὅτι καὶ τὸν μαδὸν, οὕτω [3] μαθὸν λέγουσιν οἱ Δωριεῖς. καὶ τὸ ψεῦδος δὲ, φησιν, [4] ἄραντες τὸ ε, ψύθος φασί. Τινὲς δὲ [5] ἀπὸ τοῦ μῶ μάζω τὸ ζητῶ παράγουσι τὸν μαζὸν, ὡς τοῖς βρέφεσι ζητούμενον. Κυκλοτερὲς δὲ τόξον λέγει, οὐ τὸ φύσει τοιοῦτον (σκολιὸν γάρ ἐστι, καὶ ἀγκύλον πρὸ τῆς τάσεως) ἀλλ' ὅπερ τῷ ἑλκυσμῷ τοιοῦτον γίνεται. Ὅτε γὰρ ἡ νευρὰ πελάσῃ τῷ μαζῷ, τῷ τόξῳ δὲ ὁ τοῦ βέλους σίδηρος, ῥαιβοῦται τὸ τόξον εἰς κυκλοτέρειαν. Τὸ δὲ λίγξε, καὶ τὸ ἴαχεν, ὠνοματοπεποίηνται. Τέθειται δὲ τὸ μὲν λειότερον, οἰκείως ἐπὶ τοῦ τόξου· τὸ δὲ τραχύτερον, ἐπὶ τῆς νευρᾶς. [6] Τὸ δὲ ἄλτο ὅτι ψιλοῦται, καὶ διατί, προεγράφη. [7] Τὸ δὲ ὀξυβελὴς, φανερῶς δηλοῖ, ὅτι βέλος κυρίως τὸ τοῦ οἰστοῦ σιδήριον, ἀφ' οὗ καὶ τὸ ὅλον βέλος λέγεται. ὡς καὶ [8] ἀπὸ τοῦ σιδήρου τῆς αἰχμῆς, τὸ ὅλον δόρυ αἰχμὴν φαμεν. [9] Τοῦ δὲ πτέσθαι, ὅ ἐστι πετάσαι, χρῆσις καὶ παρὰ Σοφοκλεῖ ἐν Οἰδίποδι. ἔοικε δὲ τῇ κινήσει τοῦ χέσθαι. Ὡς γὰρ ἐσχόμην, χέσθαι, οὕτω καὶ ἐπτόμην πτέσθαι. οἷον, [10] περιχαρὴς δ' ἀνεπτόμην. Δῆλον δὲ, ὡς ἔστι καὶ ἐπτάμην πρῶτος ἀόριστος, ἐξ οὗ καὶ τὸ, Τίς γαρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτα-

1. Μαζὸς δὲ, καὶ ἐπὶ ἀνδρῶν ἰδοὺ κεῖται) Immo verò Suidæ μαζὸς, κυρίως ἐπὶ ἀνδρός. καταχρηστικῶς δὲ καὶ ἐπὶ γυναικός. quum μαστὸν, ſeu μαζὸν e contrario κυρίως dici velint ἐπὶ γυναικός· καταχρηστικῶς verò ἐπὶ ἀνδρός. Hanc Græci Magiſtri differentiam ſtatuerunt inter μαζὸν, & μαδὸν, ſeu μαστόν. Ammonius: Μαζὸς μαζοῦ διαφέρει. Μαστὸς μὲν γάρ ἐστιν ὁ γυναικεῖος κυρίως διὰ τὸ οἷον μεστὸς εἶναι γάλακτος· μαζὸς δὲ, ὁ ἀνδρεῖος, ὡς καὶ ὁ Ποιητὴς φησί·

Νύξεν μὲν μαζὸν πλάγιον, παρὰ δ' οἶδυρον,

Sic ibi lego. Malè vulgo, κυρίως δὲ τὸ οἷον μεστός. Suidas: Μαζὸς καὶ μαστὸς, κυρίως ἐπὶ γυναικός. καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀνδρός. τὸ μὲν μαζὸς, ἀπὸ τοῦ δεῖν τὸ θηλάζειν· τὸ δὲ μαστὸς, διὰ τὸ μεστὸς εἶναι γάλακτος. Politus.

2. τὸ ἔθω) l. τὸ ἔθω, ut patet ex allato exemplo Homeri: ἔθων Οἰνῆος ἀλωήν. quum tamen alioquin dicatur etiam ἔδω. ἔσθω. Euſtathius infra: ἀπ' αὐτοῦ δὲ (τὸ ἔδω) καὶ τὸ ἐσθίειν, καὶ τὸ ἔσθειν, προσλήψει τοῦ σ'. Et rurſus: τὸ δὲ ἔθω, τρυτόμενον ὁ αὐτὸς (Ἡρακλείδης) εἶναι λέγει τοῦ ἔδω, τοῦ, ὡς φασιν, ἁμαρτανομένου. ἀρχαῖον γὰρ, ὡς ἔχω ἴσχω, ἔπω, ἕσπω, καὶ ἐνίσπω, οὕτως εἶναι καὶ ἔδω ἔθω Σικελικῶς, κατὰ τὸ ὄζα ὄσδα, καὶ ἐνδέζα, περὶ ὧν καὶ αὐτῶν φράζεται. χρῆσις δὲ τοῦ ἔθω καὶ παρὰ τῷ εἰπόντι·

Οἱ πίσυνες μένον, βαθύχαιον τρίφον, αὐτὸν ἔθοντες.

Alio tamen ſenſu Grammatici vulgò accipiunt τὸ ἔθων in verbis illis Homericis: ἔθων Οἰνῆος ἀλωήν. videlicet ἀντὶ τοῦ, κατὰ ἔθος βλάπτων. Etymologici Magni Auctor: ἔθω τὸ κατὰ ἔθος τι ἐνεργῶ. ὅθεν καὶ τὸ, ἔθων Οἰνῆος ἀλωήν, Ἰλιάδ. ι', ἀντὶ τοῦ κατὰ ἔθος κατατρέχων, καὶ βλάπτων κοινῶς τὴν καρποφόρον χώραν τοῦ Οἰνέως. Sic & alterum illud Homericum: ὥς παῖδες ἐριδμαίνωσιν ἔθοντες, Ἰλιάδ. π', ſimiliter explicat Etymologus: ὥς (σφῆκας ἐνδέοντε) οἱ παῖδες ἐρεθίζωσι, συνεχῶς καὶ κατὰ ἔθος παραγινόμενοι, καὶ βλάπτοντες. Politus.

3. μαδὸν λέγουσι) Lege hîc μαθόν. Ex μαδὸς Doricè ſic μαθός. Sed, additâ litterâ σ', μασθός. Euſtathius ad lib. ι. Iliad. αὐτὸς δὲ (Heraclides) ἐκ τοῦ ἔδω φησὶ γίνεσθαι, κατὰ Δωριεῖς, τὸ ἔθω· οἷ καὶ τὸν μαδὸν, ὡς καὶ ἐν τῇ δ' ῥαψωδίᾳ προδεδήλωται, μαθὸν λέγουσι, καὶ τὸ ψεῦδος, ψύθος. Politus.

4. ἄραντες τὸ ε) Lege, ἄραντες τὸ ε. Dicitur enim Doribus ψύθος, non ψεῦθος, ut alibi quoque ex Heraclide tradit Euſtathius. *Politus*.

5. ἀπὸ τοῦ μῶ μάζω τὸ ζητῶ) A verbo μῶ, *veſtigo*, *quæro*, deducit Plato in Cratylo etymon Muſarum, quaſi veſtigatricum, quæſiticium: quoniam omnibus facultatibus & ſcientiis præſunt. *Salvinus*.

6. Τὸ δὲ ἄλτο ὅτι ψιλοῦται, καὶ διατί, προεγράφη) Euſtathius pag. 276. εἰ καὶ ἅλλομαι δασύνεται, ὃ δηλοῖ τὸ ἅλσο· ἀλλὰ τὸ ἄλτο ψιλοῦται. τάχα μὲν καὶ ὡς Αἰολικὸν, μάλιστα δὲ, κατὰ τοὺς παλαιοὺς, διὰ τὴν τοῦ τ' ἐπιφοράν. Polit.

7. Τὸ δὲ ὀξυβελὴς) Suidas: ὀξέως βάλλων. ἢ ὀξὺ βέλος ἔχων. Polit.

Βέλος ἀπὸ τοῦ βάλλειν. ab jaciendo. telum ἀπὸ τοῦ τῆλε. ideſt, eminus. *Salvinus*.

8. ἀπὸ τοῦ σιδήρου τῆς αἰχμῆς) Ita etiam mucro pro gladio. *Salvin*.

9. Τοῦ δὲ πτέσθαι, ὅ ἐστι πετάσαι, χρῆσις καὶ παρὰ Σοφοκλεῖ) Sophocles in Oedipo Tyranno: οὐ μὴν, οὐδέ πω μακρὰν πτέσθαι δόκοντες. Polit.

πτέσθαι, unde πτερόν. πέτασθαι. Salvin.

10. περιχαρὴς δ' ἀνεπτόμην) Sophocles in Ajace: περιχαρὴς δ' ἀνεπτόμην. Scholiaſtes: ἀνεπτόμην, ἀνεπτερώθην. ἔστι δὲ ἀπὸ τοῦ ἀνίπτημι. οἱ δὲ ὡς ἀπὸ τοῦ ἀόριστοι τῆς δευτέρας συζυγίας τῶν εἰς μι, οὐ χρῆσιν ἔχουσι τῶν παθητικῶν, καὶ τῶν μέσων χρόνων. Politus.

ἔπτατο; καὶ ἀπαρέμφατον, [1] παρά γε Εὐριπίδῃ, τὸ διαπτάσθαι. Σύνδρομον δὲ ἴσως πτερόεντι τὸ ἐπιπτέσθαι. Τὸ δὲ μενεαίνων, ὡς ἐπὶ αἰσθητικοῦ εἴρηται. Ἔθος γὰρ Ὁμήρῳ, κατὰ λόγον γλυκύτητος, προαιρετικὴν ὁρμὴν καὶ τοῖς ἀψύχοις προσπλάττειν, καὶ ψυχοῦν οἷον αὐτά. Οὕτω καὶ ὀϊστὸς ἐνταῦθα πέτεσθαι θέλει, καὶ ἀλλαχοῦ βέλη χροὸς ψαῦσαι φιλοτιμοῦνται, καὶ [2] Ἄρης, ὅ ἐστι σίδηρος, αἵματος προθυμεῖται κορέσασθαι. Φασὶ δὲ οἱ παλαιοὶ, ὅτι ἐν τοῖς τοιούτοις ἡ τροπὴ ἀπὸ τοῦ πάσχοντος ἐπὶ τὸ ποιοῦν γίνεται. Τοῦ γὰρ στρατιώτου πάσχοντος τὸ θέλειν, πέτεσθαι τὸν ὀϊστὸν καθ' ὅμιλον, καὶ ψαῦσαι τὸ βέλος χροὸς, καὶ τὸν σίδηρον αἵματος κορέσασθαι, ἀπ' αὐτοῦ ἐπὶ τὰ ὅπλα γίνεται ἡ τροπὴ τὰ ποιοῦντα τὴν στρατιωτικὴν ἔφεσιν. Ὅμοιον καὶ τὸ, [3] γέλασσε δὲ πᾶσα περὶ χθών. Πάσχοντος γὰρ τοῦ θεατοῦ τὸ γελᾶν, ἐπὶ τὴν ποιοῦσαν τοῦτο χθόνα τὸ τοῦ γέλωτος πάθος τέτραπται.

Οὐδὲ σέθεν, Μενέλαε, θεοὶ μάκαρες λελάθοντο
Ἀθάνατοι, πρώτη δὲ Διὸς θυγάτηρ ἀγελείη,
Ἥ τοι πρόσθεν στᾶσα, βέλος ἐχεπευκὲς ἄμυνεν.
Ἣ δὲ τόσον μὲν ἔεργεν ἀπὸ χροὸς, ὡς ὅτε μήτηρ
Rom. p.453. Παιδὸς ἐέργῃ μυῖαν, ὅθ' ἡδέϊ λέξεται ὕπνῳ.
Αὐτὴ δ' αὖτ' ἴθυνεν, ὅθι ζωστῆρος ὀχῆες
Χρύσειοι σύνεχον, καὶ διπλόος ἤντετο θώρηξ.
Ἐν δ' ἔπεσε ζωστῆρι ἀρηρότι πικρὸς ὀϊστός.
Διὰ μὲν ἂρ ζωστῆρος ἐλήλατο δαιδαλέοιο,
Καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο,
Μίτρης θ', ἣν ἐφόρει ἔρυμα χροὸς, ἕρκος ἀκόντων,
Ἥ οἱ πλεῖστον ἔρυτο, διὰ πρὸ δὲ εἴσατο καὶ τῆς·
Ἀκρότατον δ' ἄρ' ὀϊστὸς ἐπέγραψε χρόα φωτός.
Αὐτίκα δ' ἔρρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς.

μ'. Ἐνταῦθα πρῶτον χρᾶται Ὅμηρος σχήματι ἀποστροφῆς, τῷ κατὰ κλητικὴν δηλαδὴ πτῶσιν, τὸν μὲν ἀκροατὴν ἀφεὶς, τρέψας δὲ τὸν λόγον πρὸς τὸν τῆς ἱστορίας Μενέλαον, ἐν τῷ, Οὐδὲ σέθεν, Μενέλαε, θεοὶ μάκαρες λελάθοντο. Γίνονται δὲ παρ' Ὁμήρῳ αἱ ἀποστροφαὶ πρὸς ἀξιόλογα πρόσωπα, οἷον ἐν Ὀδυσσείᾳ μὲν, ἅπαξ πρὸς τὸν εὐνούστατον τῷ δεσπότῃ Εὔμαιον· ἐν Ἰλιάδι δὲ, διαφόρως πρός τινας
Bas. p.345. οἵους ἀξίους εἶναι καλεῖσθαι προσφωνητικῶς, καὶ τυγχάνειν ἐπιστροφῆς. Οὐ γὰρ δή που καὶ πρὸς τὰ τυχόντα τῶν προσώπων ἀποστρέφειν τὸν λόγον δέον ἡγεῖται ὁ σεμνότατος Ποιητὴς, ὡς πολλαχοῦ φανήσεται. Τὸ δὲ λελάθοντο, Ἰωνικῶς ἀναδεδιπλασίασται. Ἀγελείη Ἀθηνᾶ, οὐκ ἂν ἀπὸ τοῦ τὰ ἄγη ἐλαύνειν εἴη ἂν, ἵνα μὴ δασυνθῇ οὕτως ἡ ἄρχουσα. εἴρηται δὲ μᾶλλον, [4] ἢ ἀπὸ τοῦ λείαν ἄγειν ([5] ληΐτις γάρ ἐστιν) [6] ἢ παρὰ τὸ λεὼν ἄγειν, ἤτοι λαὸν, ὡς ἀγε-

ἔπτατο; *Quis enim umquam mali auctor advolavit?* & Infinitivum, certè quidem apud Euripidem, τὸ διαπτάσθαι, *transvolaſſe*. Sagittæ autem alatæ convenit advolare. Dictum eſt τὸ μενεαίνων, *cupiens, ſeu cupidè appetens*, tamquam de re animatâ, quæque vim ſentiendi haberet. Mos enim eſt Homero, ut, pro dulcedinis, ac leporis ratione, impetum illum animi, quo animantia cupidiùs aliquid proſequuntur, ſeu appetendi vim plenam atque liberam, inanimis etiam rebus affingat, eaſque veluti animet. Sic & ſagitta hoc loci vult volare, & alibi jacula cutem tangere ſtudioſiùs nituntur, & Mars, hoc eſt, ferrum, expleri ſanguine deſiderat. Atque in hoc iſto locutionum genere veteres obſevant, mutationem, ſeu tranſitum fieri ab eo, qui voluntate, ac cupiditate afficitur, in inſtrumentum, quod ad agendum adhibetur. Etenim quum ipſe miles affectus ſit hac voluntate, ut volet in turbam ſagitta, ut jaculum cutem attingat, ut ferrum ſanguine expleatur; ab eo fit tranſitus in arma, quæ deſiderium militis exſequuntur. Simile quoque eſt illud: γέλασσε δὲ πᾶσα περὶ χθών. *& tota circumcirca riſit terra*. Quum enim ſpectator is ſit, qui riſu afficitur, affectio ipſa ridendi verſa eſt in terram, quæ riſui huic cauſſam dabat.

Neque tui, Menelae, dii beati obliti ſunt
Immortales, atque in primis Jovis filia prædatrix,
Quæ ante ſtans, ſagittam mortiferam depulit.
Illa igitur tantum a corpore prohibuit, ut cum mater
A filio prohibet muſcam, quando dulci ſomno eſt ſopitus.
Ipſaque eò direxit, ubi baltei fibulæ
Aureæ conſtringebant, duplexque occurrebat thorax.
Incidit autem in balteum bene aptatum amara ſagitta,
Perque balteum adacta eſt affabre factum,
Et per thoracem artificioſè factum tranſacta,
Perque laminam, quam portabat, tutamen corporis, ſeptum telorum,
Quæ eum plurimum tutata eſt, ſed tamen per eam penetravit.
Summam ſagitta perſtrinxit cutem viri.
Statimque ſanguis purpureus fluxit ex vulnere.

XL. Hic primùm utitur Homerus apoſtrophes figurâ, quæ eſt nimirum per caſum vocandi: quandoquidem, auditore dimiſſo, ſermonem ſuum ad eum ipſum, de quo narrat, Menelaum convertit, illis verbis: Neque tui, Menelae, dii beati obliti ſunt. Fit autem apud Homerum ſermonis per apoſtrophen averſio ad perſonas in primis celebres, ac præclaras, ut in Odyſſeâ, ſemel ad Eumæum, domini ſui ſtudioſiſſimum, atque amantiſſimum; in Iliade verò, multifariam ad nonnullos, homines ſanè maximè omnium dignos, qui per compellationem vocarentur, & ad quos converteretur oratio. Non enim certè ad vulgares quaſque, & de trivio perſonas ſermonem avertere officii ſui duxit graviſſimus, decorique obſervantiſſimus Poëta, ut multis poſtea in locis clarè apparet. Τὸ λελάθοντο, *obliti ſunt*, dictum eſt Jonicè per reduplicationem. Ἀγελείη, *prædatrix*, minimè ſanè dicta fuerit Minerva ἀπὸ τοῦ τὰ ἄγη ἐλαύνειν, *ab expiandis ſceleribus*, ut ne ſic prima cum adſpiratione enuncietur; ſed ita potiùs vocata eſt aut ἀπὸ τοῦ λείαν ἄγειν, *ab agendâ præda* (eſt enim ληΐτις, *prædatrix*) aut παρὰ τὸ λεὼν ἄγειν, ſive λαὸν, *a ductando populo*, quippe facta ad imperandum. unde, eodem ſenſu, ducem atque

1. παρά γε Εὐριπίδῃ, τὸ διαπτάσθαι) Euripides Medeâ: Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας. Politus.
2. Ἄρης, ὅ ἐστι σίδηρος) Mars etiam Chymicis ferrum eſt. Salvinus.
3. γέλασσε δὲ πᾶσα περὶ χθών) Poëta, γέλασσε. Heliodorus Æthiopic. initio: Ἡμέρας ἄρτι διαγελώσης. Polit.
4. ἢ ἀπὸ τοῦ λείαν ἄγειν) l. λεὼν ἄγειν. Suidas: Ἀγελείη ἡ Ἀθηνᾶ, ἡ ἀπὸ τοῦ ἄγειν λαόν· ποτὲ, στρατιωτική. Etymologici Magni Auctor: Ἀγελείη ἡ Ἀθηνᾶ, ἡ ἄγουσα λαὸν ἀπὸ τοῦ πολέμου, ὅ ἐστι λαφυραγωγίαν. Politus.
5. ληΐτις) l. ληΐτις. Hom. Ἀθηναίῃ ληΐτιδι. Polit.
6. ἢ παρὰ τὸ λεὼν ἄγειν, ἤτοι λαὸν) Etymologus: ἢ ὅτι ἀγαγεῖν λαόν. Hesychius: ἀγελείη. λαφυραγωγῷ, καὶ ἡγεμόνι τῶν πολέμων Ἀθηνᾶς τὸ ἐπίθετον. Politus.
Λαὸς idem ac στρατός. Salvinus.

atque imperatorem exercitûs vocant Poëtæ *λαγέταν*, *populi ductorem*. Atque inde etiam nomina propria, ὁ Ἀγησίλαος, *Ageſilaus*, & Homericus ille Ἀγέλαος, *Agelaus*. Stans Minerva ante Menelaum, ſagittam mortiferam repulit, tantùmque a corpore inhibuit, ut cum mater muſcam a filio prohibet, ὅθ᾽ ἡδεῖ λέξεται ὕπνῳ, *quando cubat, dulcique ſomno eſt ſopitus*, videlicet quando in dulcem ille ſomnum eſt delapſus. Ac vide, quantâ cum ſolertiâ, ac dexteritate Trojanos Minerva circumvenit, quippe quæ Pandarum in Menelaum ad jurisjurandi fœderiſque violationem incitaverit, & tamen Menelaum ſervaverit. Namque, ut eſt in Tragœdiâ, id, quod malum eſt, videtur aliquando bonum eſſe ei, cujus mentem deus in noxam, atque in calamitatem impellit. quod & Pandaro contigit. Ceterùm per illam muſcæ comparationem tum Minervæ in cuſtodiendo Menelao aſſiduitatem, ac perſeverantiam apertè indicat Poëta, utpote qui eam oſtendit præſto adeſſe Menelao, tum Pandari ipſius in conjiciendâ ſagittâ conatum extenuat, atque imminuit, quippe quum ſagittæ illius in quemquam nondum conjectæ, ac pennatæ emiſſionem explicationi alarum muſcæ expanſarum aſſimilet. Dormientis autem pueri ſimilem eſſe dicit heroëm illum Menelaum, eo quòd fœdere ipſe fretus, atque jurejurando, ſecurè nunc & negligenter ageret, ac veluti reſupinus jaceret. Appoſita porro hoc loci, & opportuna eſt vox illa, *ἔργειν*, & *ἀπέργειν*, *arcere*, *prohibere*, *inhibere*, *depellere*, *ſeu repellere*. Ideoque ſemel atque iterum uſurpata eſt per epimonen.

XLI. Menelaus quum multis antea in rebus adverſam ſibi fortunam expertus fuerit, hoc ei unum, ut videtur, proſperè admodum ceſſit, quòd jaculum Minerva ab opportunioribus magiſque periculoſis partibus corporis abduxit, eòque direxit, ubi fibulæ baltei aureæ conſtingebant, duplexque thorax occurrebat. Reliquum quod eſt, ſic proſequitur Homerus: Incidit autem in balteum bene aptatum amara ſagitta, perque balteum affabrè factum adacta eſt, & per thoracem artificioſè factum tranſacta, perque laminam, quam portabat, tutamen corporis, ſeptum telorum, quæ eum plurimùm juvit: ſed tamen & per ipſam proceſſit, videlicet per hanc quoque laminam intus penetravit; ſummamque hominis cutem ſagitta perſtrinxit. Eſt autem id, quod dicit, hujuſcemodi. Θώραξ, *thorax*, quidam, rectus vocabatur, qui a ſuperiori parte uſque ad ilia pertinebat: cui quidem thoraci aut impoſitus erat, aut ſubjectus, ac ſuppoſitus balteus. Balteus hic, ſecundùm nonnullos, dicebatur etiam ζῶμα, *cinctus*, *ſeu cingulum*, ipſeque ab ilibus ad genua uſque, atque ad tibias deſcendebat. quod ſanè utrumque, thoracem videlicet rectum, & balteum, Poëta hic per ſyllepſin, ſeu complexionem, vocat thoracem: adeo ut duplex thorax ſint ea ſimul conjuncta, & conſociata. Intra ea ad imum ventrem, majoris tutelæ cauſſâ, collocata erat ἡ μίτρα, *faſcia militaris*, *ſeu lamina ærea*. Quocirca ait: ἥ οἱ πλεῖστον ἔρυτο. *quæ eum plurimùm tutata eſt*. hoc eſt, cuſtodivit, ac defendit. Unde etiam, pro etymologiæ ratione, dicitur ἔρυμα χροὸς,

γεμονική. ἀφ᾽ ἧς ἐννοίας καὶ τὸν στρατηγὸν λαγέταν ἡ ποίησις ἔφη. Ἐκεῖθεν δὲ καὶ τὰ κύρια ὁ Ἀγησίλαος, καὶ ὁ Ὁμηρικὸς Ἀγέλαος. Ἡ Ἀθηνᾶ πρόσθε στᾶσα Μενελάου, βέλος ἐχεπευκὲς ἄμυνε, καὶ τόσον ἔεργεν ἀπὸ χροὸς, ὡς ὅτε μήτηρ παιδὸς ἐέργει μυῖαν, ὅθ᾽ ἡδεῖ λέξεται ὕπνῳ. ἤγουν ὅτε εἰς ὕπνον ἡδὺν ἐκεῖνος κατενεχθῇ. Καὶ ὅρα, ὅπως περιῆλθε τοὺς Τρῶας ἡ Ἀθηνᾶ δεξιώτατα, τὸν μὲν Πάνδαρον κατὰ Μενελάου ἐρεθίσασα ἐπὶ βλάβῃ τῶν ὅρκων, φυλάξασα δὲ τὸν Μενέλαον. ¹ Κατὰ γὰρ τὴν Τραγῳδίαν τὸ κακὸν δοκεῖ ποτ᾽ ἐσθλὸν εἶναι τῷδε, ὅτῳ θεὸς φρένας ἄγει πρὸς ἄτην. ὃ καὶ Πάνδαρος ἔπαθε. Διὰ δὲ τῆς κατὰ τὴν μυῖαν παραβολῆς τὸ παράμονόν τε τῆς φυλακῆς τῆς Ἀθηνᾶς ἐδήλωσεν ὁ Ποιητὴς, δεικνὺς, ὅτι καὶ αὐτὴ τῷ Μενελάῳ παρεμβέβληκε, καὶ τὴν τοῦ Πανδάρου βολὴν ἐξηυτέλισε, μυίας ἐκτάσεως πετάσματι τὴν τοῦ ἀβλῆτος πτερόεντος οἰστοῦ ἄφεσιν. Ὑπνοῦντι δὲ παιδὶ τὸν ἥρωα Μενέλαον εἴκασε, διὰ τὸ ἀφροντιστεῖν ἄρτι πεποιθότα τοῖς ὅρκοις, καὶ οἷον ἀναπεπτωκέναι, καὶ ἀνακεῖσθαι. Καιρία δὲ λέξις ἐν τοῖς ῥηθεῖσι, τὸ εἴργειν, καὶ ἀπείργειν. διὸ καὶ δὶς ἐῤῥέθη κατ᾽ ἐπιμονήν.

μα΄. Πολλὰ φθάσας ὁ Μενέλαος δυστυχῆσαι, τοῦθ᾽ ἓν μέγα, ὡς εἰκὸς, εὐτυχεῖ, ὅτι τὸ βέλος ἡ Ἀθηνᾶ τῶν καιρίων ἀπαλλάξασα τοῦ σώματος, ἴθυνεν αὐτὸ, ὅθι ζωστῆρος ὀχῆες χρύσειοι σύνεχον, καὶ διπλόος ἤντετο θώρηξ. Καὶ τὸ ἐντεῦθεν, γίνεται τοιαῦτα καθ᾽ Ὅμηρον. Ἐν δ᾽ ἔπεσε ζωστῆρι ἀρηρότι πικρὸς οἰστός. διὰ μὲν ἂρ ζωστῆρος ἐλήλατο δαιδαλέοιο, καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο, μίτρης θ᾽, ἣν ἐφόρει, ἔρυμα χροὸς, ἕρκος ἀκόντων, ἥ οἱ πλεῖστον ἔρυτο. διὰ πρὸ δὲ εἴσατο καὶ τῆς, ἤγουν προῆλθεν ἐντὸς καὶ διὰ ταύτης· ἀκρότατον δ᾽ ἂρ οἰστὸς ἐπέγραψε χρόα φωτός. Ἔστι δὲ, ὃ λέγει, τοιοῦτον. Θώραξ ἐλέγετό τις στατὸς, ὁ μέχρι λαγόνων ἄνωθεν καθήκων· ᾧ ἢ ἐπίκειται, ἢ ὑποβέβληται ζωστὴρ, ὃς, κατά τινας, καὶ ζῶμα ἐλέγετο, κατιὼν αὐτὸς ἀπὸ λαγόνων μέχρι γονάτων, καὶ κνημῶν. ἃ δὴ ἀμφότερα, ἤγουν τὸν στατὸν θώρακα, καὶ τὸν ζωστῆρα δὲ, συλληπτικῶς, θώρακα ὁ Ποιητὴς ἐνταῦθα λέγει· ὥστε εἶναι τὴν αὐτῶν συνοχὴν, διπλόον θώρακα. Ἡ δὲ μίτρα, ἐντὸς τούτων παρὰ τὸ ἦτρον, πρὸς πλείω φυλακὴν, ἔκειτο. διό φησιν· ἥ οἱ πλεῖστον ἔρυτο. τουτέστιν, ἐφύλασσεν.

1. Κατὰ γὰρ τὴν Τραγῳδίαν τὸ κακὸν δοκεῖ ποτ᾽ ἐσθλόν) Sophocles in Antigone:

Σοφίᾳ γὰρ ἔκ του
κλεινὸν ἔπος πέφανται,
τὸ κακὸν δοκεῖν ποτ᾽ ἐσθλὸν
τῷδ᾽ ἔμμεν, ὅτῳ φρένας
θεὸς ἄγει πρὸς ἄταν.

Politus.

σεν. ὅθεν καὶ ἔρυμα χροὸς ἐτυμολογικῶς λέγεται, ἔσω μὲν, ἐριώδης οὖσα, ἵνα μὴ θλίβῃ τὸ ὑποκείμενον· ἔξω δὲ χαλκῆν ἤτοι λεπίδα, Rom. p. 454 ἤγουν χαλκοῦν ἐκπέταλον, ἔχουσα. διὸ καὶ προϊὼν ἐρεῖ, ὅτι χαλκῆες ἄνδρες ἔκαμον αὐτήν· ἣν δι' αὐτὸ τοῦτο, καὶ ἔρυμα χροὸς καλεῖ, καὶ ἕρκος ἀκόντων. [1] Διὰ τοῦ θώρηκος οὖν τοῦ στατοῦ, [2] καὶ τοῦ μετ' αὐτὸν ζωστῆρος, καὶ τῆς μίτρας ἐλθὼν ὁ οἰστὸς, οὐ μέγα τι ἔδρασε κατὰ τοῦ Μενελάου. Οἱ δέ φασιν, ὅτι ἄνω τῆς μίτρας, καὶ τῆς συνδέσεως τοῦ ῥηθέντος ζώματος, καὶ τοῦ στατοῦ θώρακος, ζώνη ἐπέκειτο, σφίγγουσα τὰ πάντα, ἥτις ἐκαλεῖτο ζωστήρ· οὗ ζωστῆρος ἄνω ἐμπεσὼν ὁ τῷ Μενελάῳ ἐπαφεθεὶς οἰστὸς, οὐ πολὺ τὸ ἐνεργὸν ἔσχεν, ἀλλὰ ἀκρότατον ἐπέγραψε χρόα φωτὸς, [3] ἀποκωλυσάντων τὴν εἰς βάθος πρόοδον, πρῶτα μὲν τοῦ ἐξ ἐπιπολῆς ζωστῆρος, ἤτοι τῆς ζώνης χρυσῆς οὔσης. χρύσειοι γάρ, φησιν, ὀχῆες ζωστῆρος σύνεχον. εἶτα τοῦ διπλοῦ, ὡς εἴρηται, θώρακος, τουτέστι, τοῦ στατοῦ· καὶ τοῦ ὑποβεβλημένου αὐτῷ ζώματος, καὶ τετάρτης, τῆς μίτρας. Ὅτι δὲ ὁ ζωστὴρ ἄνω ἦν τοῦ ζώματος, δηλοῖ ὁ Ποιητὴς ἐν τοῖς ἑξῆς, λέγων· εἰρύσατο ζωστὴρ παναίολος, καὶ ὑπένερθε ζῶμα, καὶ μίτρη, πλέον αὐτὴ τὸ βέλος ἀμβλύνασα. Ἄλλοι δὲ διπλοῦν θώρακα νοοῦσι, τὰ πρὸς ταῖς λαγόσι, καὶ ἐκ πλαγίων πτερύγια τοῦ θώρακος. ἅπερ πτυχθέντα, καὶ οὕτως ἀλλήλοις ἐπιφερόμενα, καὶ τῷ ζωστῆρι σφιγγόμενα, διπλοῦσιν ἐκεῖ τὸν θώρακα.

μβʹ. Σημείωσαι δὲ, ὅτι μίτρα παρὰ τοῖς μεθ' Ὅμηρον καὶ ἐπὶ τῆς περὶ κεφαλὴν ταινίας λέγεται, [4] ἤτοι κοινότερον εἰπεῖν, ἐπὶ φασκίας, ὡς δηλοῖ παρ' Εὐριπίδῃ [5] τὸ μίτραις ἀναδέτοις ῥυθμίζεσθαι πλόκαμον. καὶ τὸ παρ' Ἡροδότῳ, [6] μίτραις κατειλίχατο. καὶ οἱ περὶ κεφαλὰς [7] μιτροφόροι· ἐξ ὧν ὁρμώμενοί τινες, ταινίαν ἡρμήνευσαν ἁπλοϊκῶς οὕτω τὸν στέφανον. Φασὶ δέ τινες καὶ αὐτὸ τοῦτο [8] στεφάνους

εἶναι

χροὸς, *tutamen, ac munimentum corporis*: quæ, ab interiori quidem parte, lanâ tegebatur, ne corpus comprimeret, atque atteréret; ab exteriori verò æream laminam, bracteam videlicet æream, habebat. Ideoque inferiùs dicit, fabros eam ferrarios fecisse: quam hac ipsâ de caussâ tutamen corporis vocat, & septum telorum. Quum igitur per thoracem rectum, suppositumque ei balteum, fasciamque militarem, seu laminam, sagitta illa transierit, parum nocumenti intulit Menelao. Sunt tamen nonnulli, qui supra laminam, nodumque cinguli, de quo diximus, ipsumque rectum thoracem, impositam fuisse volunt fasciam, quæ omnia illa constringeret. quæ quidem fascia dicta est ζωστὴρ, *balteus*. Supra hunc balteum decidisse sagittam immissam in Menelaum, itaque non multùm profecisse; sed summam hominis cutem perstrictam ab eâ fuisse: quippe quum permulta impedimento fuerint, ne ea intimè penetraret, primùm quidem in summis vestibus balteus, sive fascia, quæ erat aurea (fibulæ enim, inquit, baltei aureæ connectebant) deinde duplex, ut dictum est, thorax, hoc est, thorax rectus, eique suppositum cingulum, quartoque loco lamina ærea. Balteum autemque positum fuisse supra cingulum, quo corpus scilicet infra pectus præcingebatur, ipse postea declarat Poëta, cum tutamini fuisse ait Menelao balteum perquam varium, quæque subter balteum erant, cingulum, seu cincticulum, & laminam, quæ & ipsa jaculum magis retuderit. Verùm alii duplicem thoracem, intelligunt thoracis ejusdem alas, quæ sunt ad ilia, atque a lateribus: quæ quidem complicatæ, itaque sibi invicem impositæ, balteoque constrictæ, thoracem illic duplicant.

XLII. Ceterùm observa, ut apud scriptores post tempora Homeri μίτρα, *mitra*, etiam dicitur de vittâ capitis, sive, ut communiùs cum vulgo loquar, de fasciâ, ut palam facit apud Euripidem τὸ μίτραις ἀναδέτοις ῥυθμίζεσθαι πλόκαμον. *fasciis revinctis aptare, ac componere cincinnos*. quodque est apud Herodotum, μίτραις κατειλίχατο, *fasciis obligati erant, atque involuti*. sicuti etiam apertè docent οἱ περὶ κεφαλὰς μιτροφόροι, *mitrati*, *mitrâ redimiti*, *mitrata capita habentes*, *seu mitram in capite gestantes*. Unde nonnullis data est occasio simpliciter sic coronam interpretandi, fasciam, seu vittam. Quin & alii hoc ipsum volunt, mitras videlicet easdem aliquando esse, ac

coro-

1. Διὰ τοῦ θώρηκος οὖν τοῦ στατοῦ] Horat. *Et Martem tunicâ tectum adamantinâ*. hoc est, ferreâ. χαλκοθώρηκα. Salvinus.

2. καὶ τοῦ μετ' αὐτὸν ζωστῆρος] Rem aliter videtur narrare Homerus, nempe ut ante trajectus fuerit balteus, quàm thorax. Qui igitur verum, sagittam adactam esse διὰ τοῦ θώρηκος τοῦ στατοῦ, καὶ τοῦ μετ' αὐτὸν ζωστῆρος; Volitus.

3. ἀποκωλυσάντων) l. ἀποκωλυσάντων. Volit.

4. ἤτοι κοινότερον εἰπεῖν, ἐπὶ φασκίας) Etymologici Magni Auctor v. Ταινία. σημαίνει δέ, φασί, τὸ στηθοδέσμιον, ὃ οἱ πολλοὶ ἀδοκίμως φασκίαν λέγουσι. Polit.

5. τὸ μίτραις ἀναδέτοις ῥυθμίζεσθαι πλόκαμον) Euripides in Hecubâ:

Ἐγὼ δὲ πλόκαμον ἀναδέτοις

Μίτραισιν ἐῤῥυθμιζόμαν.

Scholiastes: ἐγὼ δὲ τοὺς πλοκάμους εὐτρέπιζον κατὰ τάξιν, καὶ ἐκόσμουν ἐν μίτραις, καὶ ταῖς ταινίαις ἀναδέτοις, ἤτοι ἐπάνω τῆς κεφαλῆς δεδεμέναις. Volitus.

6. μίτραις κατειλίχατο) Herodotus lib. 1. κομῶντες δὲ τὰς κεφαλὰς, μίτρῃσι ἀναδέονται. Polit.

7. μητροφόροι) l. μιτροφόροι. Volit.

8. στεφάνους εἶναι ποτε τὰς μίτρας] Quibusdam omnis corona, μίτρα· sed tamen ἐν κατοχῇ. Etymologici Magni auctor ex Scholio quodam Pindarico: μίτρα, κυρίως οἱ ἀπὸ φασκίων, καὶ ὀρφρίων γινόμενοι στέφανοι. ἐν κατοχῇ δὲ πᾶς στέφανος, μίτρα λέγεται. Vulgata Etymologi lectio pro ὀρφρίων habet ὠαρίων. Et Friderico quidem Sylburgio ὤαρια videtur Etymologus dicere grana, seu globulos ovali formâ, qualia, nequis, etiamnum coronis addi solent: aut limbos angustos, quales vestimentis in orâ hodieque assumere mos est. Sed ex Eustathio restituendum est in Etymologo, ὀρφρίων. Etymologus idem v. Φακιον, hoc est, στολὴν' φορουμένην τοῖς ἐπισκόποις. λέγεται δὲ ὅτι καὶ ἡ παρὰ Ῥωμαίοις καλοῦσι ὀράριον. Notat, vocem Romanam esse *orarium*: idque constat ex Latinis scriptoribus. *Orarium* Grammatici nostri derivant ab *ore*, quia os illo obvelabatur. Alii a vestium *orâ*. Utramque etymologiam ducit in suo Catholico Johannes Januensis. Hac ipsâ voce videtur etiam usus Lucilius, si bene, ut ego quidem censeo, versum hunc ejus legunt apud Nonium Marcellum:

Ricini aurati, vitæ, atque oraria mitra.

Μίτραι Pindaro οἱ στέφανοι Odyss. 9. Olymp. in Ephamostum Opuntium:

Προξενίᾳ δ', ἀρετᾷ

Τ' ἦλθον τιμάορος Ἰσθμίοισι

τὸ Λαμπρομάχου μίτραις

Ἕως.

Lo-

coronas: quippe qui dicant, μίτρας, *mitras*, propriè eſſe coronas ex faſciis, ac mantilibus, ſive linteis. Ac muliebres erant fortaſſe mitræ hujuſcemodi. Quod ad vocis hujus etymologiam attinet, ducit ea originem ἀπὸ τοῦ μίτου, *a licia, ſeu filo*, perinde quaſi μιτηρὰ ipſa diceretur. Vide præterea, ut non ὀχεὺς modò dicitur πυλῶν, *repagulum foriam, ſeu aſſis, quo ſcilicet fores clauſæ continentur*, & ὀχεὺς περικεφαλαίας, *lorum galeæ, quo galea retinetur*; ſed ecce tibi etiam ζωστῆρος ὀχῆες, *baltei fibulæ, quæ balteum continent, ac conſtringunt*: quum & ipſæ ita appellentur ἀπὸ τοῦ ἔχειν, *a tenendo, ſeu cobibendo*. Quippe ſic per modum etymologiæ loquitur: ζωστῆρος ὀχῆες χρύσειοι σύνεχον. *baltei retinacula, ſeu fibulæ aureæ, continebant, atque connectebant*. Hujuſcemodi quoque eſt illud: ἔρυμα χροὸς, ὃ οἱ πλεῖστον ἔρυτο. *tutamen corporis, quæ eum plurimùm tutata eſt*. A verbo namque ἐρύω, *tutor*, etymologicè derivatur τὸ ἔρυμα, *tutamen*. Dulciter ac lepidè, tamquam de re animatâ, dictum eſt τὸ ἤντετο, *occurrebat*. Quæ enim conduplicantur, videntur ea quodammodo ſibi obviam fieri, ac viciſſim occurrere. Ejus Præſens maximè familiare, atque uſitatum Homero, verbum eſt Barytonum ἄντω, *occurro, ſeu obviam fio*: ex quo τὸ ἄντομαι, *obviam fio*, & ἀντόμενος, *obviam factus, ſeu occurrens*. Quamquam qui poſt Homerum ſcripſerunt, id ipſum verbum faciant ii circumflexum, ut τὸ βοῶ, *clamo*. Neque verò a dulcedine, ac ſuavitate lepidæ orationis abeſt illud, ἐνέπεσεν οἰστός. *incidit ſagitta*. Qui tamen planiùs, ac communiùs loquitur, hic ſanè dixerit, ἐνέκρουσε, *adacta eſt*.

XLIII. Τὸ ἀραρότι, *bene aptata*, videri poſſit per paragogen derivatum ex ζωστὴρ, *balteus*, ita ut ζωστὴρ ſit ζῶμα ἀρηρὸς, *cingulum benè aptatum*. Τὸ ἐλήλατο, *venit, progreſſa, atque adacta eſt*, idem eſt, atque τὸ διήλθε, *pertranſiit, ſeu trajecit*. Ad hæc obſervandum, ut totum hunc locum Poëta, pro dulcedinis, ac ſuavitatis ratione, multis crebriſque epithetis exornat: quippe quum ſagittam amaram, acutâque cuſpide inſtructam vocaverit, jaculum amarulentum, balteum artificioſum, thoracem vario artificio elaboratum, faſciam denique militarem, ſeu laminam, ἔρυμα χροὸς, atque ἕρκος ἀκόντων, *tutamen corporis, & ſeptum, ſive murum telorum*. quod utique longè aliter ſeſe habet, atque τὸ ἕρκος πολέμου, *munimentum, ac propugnaculum belli*. Illud namque magis ſpleodidum, atque illuſtre: ideoque de viris heroicis, virtute bellicâ præſtantibus, dicitur: nimirum de Ajace, aliiſque hujuſcemodi. Quoniam verò ὁ ἄκων vox eſt ambiguæ, atque ancipitis ſignificationis, vide, ut, quatenus vocabulum militare eſt, & jaculum ſignificat, ſit ab ἀκὴ, *mucro*, quod ferri aciem, ſeu cuſpidem denotat; ceteroquin verò, quoad alteram ſignificationem, factum eſt per craſin, ſeu contractiooem, ex ἀέκων, *invitus*. Τὸ ἐφόρει, ſignificat τὸ ἔφερε, *ferebat, geſtabat*. Communiùs tamen tum de veſtitu uſurpatur (dicitur enim quis φορεῖν, *ferre, ſeu geſtare*, pallium) tum de

Tom. III. cal-

εἶναί ποτε τὰς μίτρας, φάμενοι, ὅτι μίτραι κυρίως, αἱ ἀπὸ φασκιῶν, καὶ ὠραρίων στέφανοι. Γυναικεῖαι δὲ ἴσως καὶ αἱ τοιαῦται. Παρὰ τὸν μίτον δὲ ἡ λέξις ἐτυμολογεῖται, ὡς οἷον μιτηρά τις οὖσα. Ὅρα δὲ, καὶ ὡς οὐ μόνον ὀχεὺς πυλῶν, καὶ περικεφαλαίας, ἀλλ' ἰδοὺ καὶ ζωστῆρος ὀχῆες, [1] ἀπὸ τοῦ ἔχειν λεγόμενοι καὶ αὐτοί. Φησὶ γοῦν [2] κατὰ τρόπον ἐτυμολογίας, ὅτι ζωστῆρος ὀχῆες χρύσειοι σύνεχον. Τοιοῦτος δὲ τρόπος καὶ τὸ, ἔρυμα χροὸς, ὃ οἱ πλεῖστον ἔρυτο. ἀπὸ γὰρ τοῦ ἐρύω ἐτυμολογεῖται τὸ ἔρυμα. Τὸ δὲ ἤντετο, γλυκέως εἴρηται, ὡς ἐπὶ ἐμψύχου. Δοκεῖ γάρ πως τὰ διπλούμενα συναντᾶν ἀλλήλοις. Ἐνεστὼς δὲ αὐτοῦ συνηθέστατος Ὁμήρῳ, τὸ ἄντω βαρύτονον, ἐξ οὗ τὸ ἄντομαι, καὶ ἀντόμενος. [3] Οἱ μέντοι μεθ' Ὅμηρον, περισπῶσιν, ὡς τὸ βοῶ. Οὐ πόῤῥω δὲ γλυκύτητος οὐδὲ τὸ, ἐνέπεσεν οἰστός. ὁ μέντοι κοινότερον φράζων, εἶπεν ἂν ἐνέκρουσε.

μγ'. Τὸ δὲ ἀραρότι, δόξοι ἂν παράγωγον εἶναι τοῦ ζωστῆρος, ἵνα ᾖ ζωστὴρ, ζῶμα ἀρηρός. Τὸ δὲ ἐλήλατο, ταυτόν ἐστι τῷ, διήλθε. Σημειωτέον δὲ καὶ, ὅτι πάντα τὰ τοῦ χωρίου τούτου συχνοῖς ἐπιθέτοις κοσμεῖ, κατὰ ἰδέαν γλυκύτητος· πικρὸν μὲν, καὶ ὀξυβελῆ τὸν οἰστὸν εἰπών, καὶ βέλος ἐχεπευκές· δαιδάλεον δὲ, τὸν ζωστῆρα· πολυδαίδαλον δὲ, τὸν θώρακα· τὴν δὲ μίτραν, ἔρυμα χροὸς, καὶ ἕρκος *Baſ. p. 346.* ἀκόντων. ὃ δὴ ἑτεροῖόν ἐστι τοῦ, ἕρκος πολέμου. ἐκεῖνο γὰρ σεμνότερον. διὸ καὶ ἡρωϊκοῖς ἀνδράσι πολεμισταῖς ἐπιλέγεται· [4] Αἴαντι δηλονότι, καὶ τοῖς τοιούτοις. Ὅρα δὲ, ὡς ὁμώνυμος οὖν φωνὴ ὁ ἄκων, ἃ μὲν κατὰ μάχην, [5] παρὰ τὴν ἀκὴν γίνεται, ὃ δηλοῖ σιδήρου ὀξύτητα· ἃ δὲ λοιπὸς, [6] ἐκ τοῦ ἀέκων κέκραται. Τὸ δὲ ἐφόρει, δηλοῖ μὲν τὸ ἔφερε· κεῖται δὲ κοινότερον καὶ ἐπὶ ἐνδύσεως (φορεῖ γοῦν τις ἱμάτιον)

F καὶ

Locum hunc Pindari indicat Nota illa apud Etymologum: ὁ [illegible] δὲ τὰς στέφανος μίτρα λέγεται, ὡς καὶ ἀνωτέρω. nempe hoc loco Pindari, quem diximus. Id enim Scholii Etymologus ſeſe reperiſſe ait ad Pindarum, Ἐφαρμόζω Ὀπουντίῳ. Sed in Scholiis, quæ nunc extant in Pindarum, nulla earum mentio. Hæc ibi tantum adnotantur: μίτραις καὶ τοῖς στεφάνοις, καὶ ταῖς νίκαις. μίτρας γὰρ [illegible] στεφάνων, καὶ [illegible], [illegible]. Politus.

Lucr. l. 4. *anademata, mitra*. Salvinus.

1. ἀπὸ τοῦ ἔχειν λεγόμενοι καὶ αὐτοί) Etymologici Magni Auctor: Ὀχεὺς, ὁ συνέχων, καὶ συσφίγγων τὴν περικεφαλαίαν ἱμάς· ἀπὸ τοῦ συνέχειν, παρὰ τὸ ἔχω ὀχεύς. σημαίνει δὲ καὶ τὸν τῆς θύρας μοχλὸν, ἀπὸ τοῦ αὐτοῦ λόγου. λέγουσι δὲ καὶ ζωστῆρος ὀχῆας, τὴν τοῦ θώρακος ζώνην. Politus.

2. κατὰ τρόπον ἐτυμολογίας) Homerus ſæpe alludit ad etyma, & vocum notationes declarat. *Salvinus*.

3. Οἱ μέντοι μεθ' Ὅμηρον, περισπῶσιν) Ab ἀντῶ compoſitum ἀπαντῶ, *occurro*. Salvinus.

4. Αἴαντι δηλονότι, καὶ τοῖς τοιούτοις) ἕρκος Ἀχαιῶν. *murus Achivorum*. Salvinus.

5. παρὰ τὴν ἀκὴν) l. παρὰ τὴν ἀκήν. Polit.

6. ἐκ τοῦ ἀέκων κέκραται) Sic per craſin ἀργὸς ab ἀεργός. Salvinus.

ϗ ἐπὶ ὑποθέσεως. ὅθεν [1] ἀφόρητοι βλαῦται παρὰ Ἀθηναίῳ, ὑποδήματα μήπω φορηθέντα ποσί. Τὸ δὲ, ἔρυμα χροὸς, ἕρκος ἀκόντων, ἔπαινος μέν ἐστι τῆς ῥηθείσης μίτρας· πεφιλοτίμηται δὲ κομματικῶς ἐν ὁμοιότητι νοημάτων. Εἴληπται δὲ ὡς ἀπὸ τείχους, ὃ λαοῦ τέ ἐστιν ἔρυμα, ϗ ἕρκος πολεμίων. διὸ ϗ ὅμοιον ἕρκος πολέμου εἰπεῖν, ϗ ἕρκος ἀκόντων. Ἡ δὲ χρῆσις τοῦ χροὸς, πάνυ συνήθης Ὁμήρῳ. Δῆλον δὲ, [2] ὡς ἐκ τοῦ χρῶς Δωρικώτερον γέγονεν ὁ χρὼς, συνεκδραμὼν κατὰ τὸν ὀξὺν τόνον τῷ, ἱδρὼς, οὐ μὴν τοῖς ἀτομοιογενέσι μονοσυλλάβοις. ὁποῖα, ὁ Κῶς, ὁ Τλῶς, ὁ Κρῶς. Τοῦ δὲ ἤσατο, θέμα ἐστὶ τὸ θέμα, ὃ πολλαχοῦ διαφαίνεται. Ταυτὸν δὲ κατ᾽ ἔννοιαν τὸ διελήλατο, ϗ τὸ διαΐσσατο, πλὴν ὅσον τοῦτο μὲν ποιητικώτερον, ἐκεῖνο δὲ κοινότερον.

Rom. p.455. μδʹ. Τὸ δὲ ἀκρότατον, τὸ πάνυ ἀβαθὲς δηλοῖ τῆς πληγῆς. διὸ τὸ, ἐπέγραψεν ἀκρότατον χρόα, ταυτόν ἐστι τῷ, ἐπιπολῆς ἔξεσε. Γράψαι γὰρ, τὸ ἐπιξέσαι, ὡς ϗ ἀλλαχοῦ λεχθήσεται. Ὅτι δὲ ϗ τραχύτερον εἰς ἐκφώνησιν τὸ γράφειν τοῦ ἐν Ὀδυσσείᾳ γλάφειν, ϗ αὐτὸ ἀλλαχόθι ῥηθήσεται. Πληγῆς φραστικὸν τὸ, Αὐτίκα δ᾽ ἔῤῥεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς. Ἰστέον δὲ, ὅτι [3] αἷμα μέν ἐστι κελαινεφὲς, τὸ κελαινὸν φαινόμενον, ϗ αὐτόχρημα, καθ᾽ Ὅμηρον εἰπεῖν, μέλαν, ὡς μετ᾽ ὀλίγα ἐρεῖ, ϗ κελαινὸν δὲ, ὡς ἐν τῇ αʹ ῥαψῳδίᾳ ἔφη. Ζεὺς δὲ κελαινεφὴς ϗ αὐτὸς μὲν λέγοιτ᾽ ἂν οὕτω διὰ τὸ μέλας εἶναι φαίνεσθαι, ϗ δυσόρατος. μέλας γὰρ ὁ ἀήρ. ὅθεν ϗ ἠερόεν τὸ σκοτεινόν· ϗ ἠέρα τὴν ἀορασίαν φησὶν ὁ Ποιητής. Ἐτυμολογεῖται δὲ ϗ ἄλλως ἐκεῖνος, [4] παρὰ τὸ τὰ νέφη κελαίνειν, ἤτοι μελαίνειν, ὡς ϗ ἀλλαχοῦ γέγραπται. νεφεληγερέτης ἱερ. Ὠτειλὴ δὲ, κυρίως μὲν τραῦμα τὸ ἐκ τοῦ οὐτάσαι, ὅ ἐστιν ἐγγύθεν

calceamento, ſeu de calceis. Unde ἀφόρητοι βλαῦται, *crepidæ nequaquam geſtatæ*, apud Athenæum, calceamenta, quæ pedibus geſtata nondum fuiſſent. Τὸ, ἔρυμα χροὸς, ἕρκος ἀκόντων, *tutamen corporis*, *ſeptum telorum*, commendatio eſt militaris illius faſciæ, ſeu laminæ, de qua diximus, & per commata, ſeu inciſa, ob ſententiarum ſimilitudinem, ſeſe glorioſiùs extulit, in eâque ſimilitudine exultat. Acceptum autem hoc eſt tamquam a muro, qui tum munimentum eſt populi, tum propugnaculum ad vim hoſtium arcendam. Ideoque perinde eſt dicere ἕρκος πολέμου, *ſeptum*, *ſeu propugnaculum belli*, atque ἕρκος ἀκόντων, *propugnaculum jaculorum*. Uſus hujus vocis χροὸς, *cutis*, *ſeu corporis*, per quam familiaris, atque in deliciis eſt Homero. Ex χρῶς, *cutis*, ut manifeſtum eſt, Doricè fit ὁ χρὼς, *cutis*: ita ut hæc vox accentu acuto conveniat cum τῷ ἱδρὼς, *ſudor*; non verò cum iis vocibus, quæ genere ſunt diverſo, unâque conſtant ſyllabâ. cujuſmodi ſanè ſunt, ὁ Κῶς, *Cos*, ὁ Τλῶς, *Tlos*, ὁ Κρῶς, *Cros*. Τοῦ ἤσατο, *ivit*, *tranſivit*, *permeavit*, thema eſt ἕω, *eo*, quod pleriſque in locis liquidò apparet. Ejuſdem autem ſignificationis eſt τὸ διελήλατο, *trajecit*, *ſeu transfixit*, atque τὸ διαΐσσατο, *tranſivit*, *penetravit*: niſi quòd hoc magis Poëticum eſt, illud communius.

XLIV. Τὸ ἀκρότατον, *ſummum*, clarè oſtendit, minime prorſus profundum vulnus illud fuiſſe. Quocirca id, quod ait, ἐπέγραψεν ἀκρότατον χρόα, *perſtrinxit ſummum corpus*, idem omnino eſt, ac ſi diceret, ἐπιπολῆς ἔξεσεν, *in ſuperficie*, *ſeu in ſummo raſit*. Namque γράψαι, *ſcalpere*, idem eſt atque in ſummo radere, ut alibi etiam dicetur. Porro autem τὸ γράφειν, *ſcalpere*, ſono ac pronuntiatione multò eſt aſperiori, quàm τὸ γλάφειν, quod legitur verbum in Odyſſeâ, ut alibi pariter notabitur. Inflicti vulneris deſcriptio illa: Αὐτίκα δ᾽ ἔῤῥεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς. *Statimque fluxit ater ſanguis ex vulnere*. Quod autem ſcire oportet, ſanguis eſt ille quidem κελαινεφὲς, *ater*, *ſeu niger*, ideſt, qui κελαινὸς φαίνεται, *ater apparet*, & eſt re verâ, ut cum Homero loquar, μέλας, *niger*, quemadmodum paullò poſt eum vocat, nec non κελαινὸς, *ater*, ut dixit in libro αʹ. At verò Juppiter, tametſi & ipſe dici hoc modo poteſt κελαινεφὴς, *ater*, *ſeu obſcurus*, quia μέλας εἶναι δοκεῖ, *videtur eſſe ater*, atque ejuſmodi, ut difficilè cernatur: quippe quum aër ater ſit, ac caliginoſus: unde etiam ἠερόεν, *aërium*, idem eſt atque tenebroſum, & caliginoſum, & ἠέρα, *aërem*, Poëta vocat caliginem ipſam, ipſaſque tenebras, atque obſcuritatem; tamen aliam etiam ille appellationis hujus ſuæ originem habet. παρὰ τὸ τὰ νέφη κελαίνειν, ſive μελαίνειν, *ex eo*, *quòd nubes atras*, *& caliginoſas efficiat*, ut & alibi ſcriptum eſt. Eſt enim νεφεληγερέτης, *nubium coactor*, *is*, *qui nubes excitat*, *ac cogit*. Ὠτειλὴ, vulnus propriè eſt, τὸ ἐκ τοῦ οὐτάσαι, *quod infligitur manu*, hoc eſt, cominus adigitur. Verum-

1. ἀφόρητοι βλαῦται παρὰ Ἀθηναίῳ) Athenæus l. 3. Τὰς δ᾽ αὐτὰς ταύτας ... ϗ ... Πομπηιανὸς ὁ Φιλαδελφεύς. ... ἀναγκαῖος, ... ϗ αὐτός. ... Σξοαβοχίδα ... τὰς βλαύτας, τὰς ἀφορήτους, ϗ τὴν ... τὴν ἄχρηστον. Notantur, tamquam ineptæ, & inſolentes, hæ voces, ἀφόρητος, & ἄχρηστον, eâ quidem notione, quatenus τὸ ἀφόρητον idem ſit, atque μήπω φορηθέντος, & τὸ ἄχρηστον idem, atque μήπω ἐν χρείᾳ γενομένου. Eædem voces ſub eâdem notione notatæ etiam ſunt a Luciano in Lexiphane: ... ἄχρηστα ἱμάτια, ... ϗ ἀφόρητα ὑποδήματα. Ἄχρηστα ἱμάτια dicit τὰ μήπω ἐν χρείᾳ γενόμενα· ἀφόρητα verò ὑποδήματα τὰ μήπω φορηθέντα ποσί. Polſtus.

Cæ etiam ἀφόρητος, ... non ferendus. Epictetus in Enchiridio: Πᾶν πρᾶγμα δύο ἔχει λαβάς, τὴν μὲν φορητὴν· τὴν δὲ ἀφόρητον. Salvin.

2. ὡς ἐκ τοῦ χρῶς Δωρικώτερον γέγονεν ὁ χρώς) Ex χρῶς Doricè fieri videtur ὁ χρώς, ... ut βῶς ex βοῦς. Etymologici Magni Auctor: ... χρῶς· ὅθεν τὸ, Χρωτὶ ... ϗ ... ὁ, χρὼς, ὡς βῶς βοῦς παρὰ Δωριεῦσι. Neque obſtat regula illa Etymologi: τὰ εἰς ως λήγοντα μονοσύλλαβα ... ὀξύνεται. Nam illa quidem regula eſt communis. unde & communiter dicitur ὁ χρὼς, ὀξυτόνως. Sed adverſus illam regulam, eodem Etymologo teſte, exceptionem habent Doricenſes, & Jones. Polſtus.

3. αἷμα μέν ἐστι κελαινεφὲς, τὸ κελαινὸν φαινόμενον) ἐπὶ τοῦ αἵματος, ... τὸ φαίνω, ϗ τὸ κελαινὸν, γίνεται κελαινεφής. Etymologus ex Herodiano. Polſt.

4. παρὰ τὸ τὰ νέφη κελαίνειν, ἤτοι μελαίνειν) Etymologus: ἐπὶ μὲν τοῦ Διὸς, παρὰ τὸ κελαινὸν, ϗ τὸ νέφος γίνεται κελαινεφής, ὁ τὰ νέφη μελαίνων. Heſychius: κελαινεφὴς, ὁ μελαίνων τὰ νέφη. Polſtus.

rumtamen hoc loci Homerus ita appellat vulnus ex conjecto telo, ſive eminus inflictum. Quamquam alioquin Homerus diſerimen agnovit, quod eſt inter τὸ οὐτάσαι, *manu vulnerare*, & τὸ βαλεῖν, *eminus ferire per conjectum telum, aut lapidem*, ut ſæpiùs videbitur. Differunt autem inter ſeſe ὠτειλὴ, *vulnus*, & οὐλὴ, *cicatrix*, quòd ὠτειλὴ eſt ipſum vulnus; οὐλὴ verò, ſeu *cicatrix*, eſt callus, ſeu nota vulneris curati. Diſſimile denique, ac diverſum eſt τὸ ἔῤῥεεν αἷμα, *fluxit ſanguis*, atque τὸ ἀνεκήκιεν αἷμα, *ſurſum ferebatur ſanguis*, ut alibi manifeſtum fiet.

Ut quando ebur aliqua mulier purpurâ tinxit
Mæonia, vel Caria, maxillare ut ſit equorum,
Repoſitumque eſt in thalamo, multique id optarunt
Equites geſtare, regique repoſitum eſt ornamentum,
Utrumque, ornatuſque equo, decuſque agitatori;
Talia tibi, Menelae, fœdata ſunt ſanguine femora
Robuſta, ſuræque, & malleoli pulchri inferiùs.

XLV. Cariæ, Lydæque mulieres peritæ erant tingendi eboris purpureo colore: & ebur ſic tinctum in regum ipſorum cubiculo, ſeu thalamo, veluti ornamentum quoddam, atque inſigne, collocabatur. Nondum enim aurum principatum, ac veluti regnum inter res alias obtinuerat. Et obſerva, ut jam inde a principio regum inſignia rubro colore imbuta erant. Ebori ſic tincto aſſimilat Homerus femora, ac pedes Menelai, cum ea ex ictu ſanguine undique fluebant, his verbis: Ut cum una aliqua mulier Mæonia, aut Caria, ebur tinxit purpurâ, maxillare ut ſit equorum, idque in thalamo repoſitum eſt, multique id equites geſtare optarunt; regi verò repoſitum eſt ornamentum, utrumque, tum ornamentum equo, tum equiti gloria: ſic tibi Menelae, ſanguine fœdata ſunt robuſta femora, ſuræque, & pulchri inferiùs pedum malleoli. Atque ita quidem hæc comparatio Menelaum ſuapte naturâ candidum commemorat. Sin autem candor ille, inter heroas quidem, decere mulierem videtur, qua de cauſsâ Trojanum Cycnum, propter corporis candorem, Theocritus a colore vocat θῆλυν, *feminam*; nihilominus notant hîc veteres, tametſi alioquin candidum corpus, delicatum eſt, atque imbecille; validiora verò corpora, ac robuſtiora, quæ colore ſunt fuſco; tamen apud Laconas fortitudinis ac roboris notam fuiſſe cutem albam, & flavos capillos. qualem fuiſſe Alexandrum narrat Poëta. Ceterùm minimè omnium in laude poſita fuiſſe corpora alba, Dictionaria quoque Oratoria oſtendunt, quorum in altero ſic legitur: Λευκοὶ, *albi*, timidi, & ignavi. &, Λευκώπιοι, *albi adſpectu, vel oculis albis præditi*, iidem. in altero verò, quod eſt nimirum Ælii Dionyſii: Nulla alborum hominum utilitas. Cui quidem adagio hæc ſimul alia in ſummam contracta adjunguntur: Nemo quiſquam difficilis emptor bonam carnem emit.

γύθεν τρῶσαι. Ὅμηρος δὲ ἐνταῦθα τὸ ἐκ τῆς βολῆς οὕτως ἐκάλεσε. καὶ μὴν ἄλλως διαφορὰν οἶδεν Ὅμηρος τοῦ οὐτάσαι, καὶ τοῦ βαλεῖν, ὡς πολλαχοῦ φανήσεται. ¹ Διαφέρει δὲ οὐλῆς ὠτειλὴ, ὅτι ὠτειλὴ μὲν, αὐτὸ τὸ τραῦμα· οὐλὴ δὲ, τύλος, ἢ τύπος θεραπευθέντος τραύματος. Τοῦ δὲ ἔρρεεν αἷμα, ἑτεροῖόν ἐστι τὸ, ἀνεκήκιεν αἷμα, ὡς ἑτέρωθι φανεῖται.

Ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ
Μῃονὶς, ἠὲ Κάειρα, παρήϊον ἔμμεναι ἵππων,
Κεῖται δ' ἐν θαλάμῳ, πολέες τέ μιν ἠρήσαντο
Ἱππῆες φορέειν, βασιλῆϊ δὲ κεῖται ἄγαλμα,
Ἀμφότερον, κόσμος θ' ἵππῳ, ἐλατῆρί τε κῦδος·
Τοῖοί τοι, Μενέλαε, μιάνθην αἵματι μηροὶ
Εὐφυέες, κνῆμαί τε, ἰδὲ σφυρὰ καλ' ὑπένερθε.

μέ. Αἱ ἐκ Καρίας, καὶ αἱ Λυδαὶ γυναῖκες ἀγαθαὶ ἦσαν βάπτειν ἐλεφάντων ὀστᾶ φοινικῷ χρώματι· καὶ ὅτι ὁ τοιοῦτος ἐλέφας ἐν θαλάμῳ τοῖς βασιλεῦσιν ἔκειτο ἄγαλμα. ² Οὔπω γὰρ ὁ χρυσὸς ἐτυράννει τῶν ἄλλων ὑλῶν. Καὶ σημειῶσαι, ὅπως ἀνέκαθεν τὰ ἐρυθροβαφῆ βασιλέων ἦσαν παράσημα. Τοιούτῳ ἐλέφαντι ἀπεικάζει Ὅμηρος τὰ κάτω τοῦ Μενελάου, ὄντα τῷ ἐκ βολῆς αἵματι περιῤῥεόμενα, λέγων οὕτω· Ὡς δ' ὅτε τίς τ' ³ ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ Μῃονὶς, ἠὲ Κάειρα, παρήϊον ἔμμεναι ἵππων, κεῖται δ' ἐν θαλάμῳ, πολέες τέ μιν ἠρήσαντο ἱππῆες φορέειν, βασιλῆϊ δὲ κεῖται ἄγαλμα, ἀμφότερον, κόσμος τ' ἵππῳ, ἐλατῆρί τε κῦδος· τοῖοί τοι, Μενέλαε, μιάνθην αἵματι μηροὶ εὐφυέες, κνῆμαί τε, ἠδὲ σφυρὰ καλ' ὑπένερθεν. Καὶ οὕτω μὲν ἡ παραβολὴ ⁴ λευκὸν φύσει τὸν Μενέλαον ἱστορεῖ. Εἰ δὲ καὶ ⁵ θηλυπρεπὴς ἐν ἥρωσιν ἡ λευκότης, διὸ τὸν Τρωϊκὸν Κύκνον Θεόκριτος, τοιοῦτον ὄντα, θῆλυν ἀπὸ χροιᾶς ἔφη· ἀλλ' ἐνταῦθά φασιν οἱ παλαιοὶ, ὅτι, κἂν ἄλλως εὐπαθὲς τὸ λευκὸν, ἰσχυρότερα δὲ τὰ μελάγχροα τῶν σωμάτων· ἀλλὰ παρὰ τοῖς Λάκωσι, χαρακτὴρ ἀνδρίας ἦν λευκὸς χρὼς, καὶ ⁶ κόμη ξανθὸς, ὁποῖον καὶ τὸν Ἀλέξανδρον εἶναι ἱστορεῖ ὁ Ποιητής. Ὅτι δὲ τὸ ἐν σώμασι λευκὸν οὐκ ἐν ἐπαίνῳ ἦν, καὶ ἐν ῥητορικοῖς δηλοῦται λεξικοῖς, ὧν ἐν θατέρῳ μὲν κεῖται, ὅτι λευκοὶ, οἱ δειλοὶ, καὶ ⁷ λευκώπιοι, οἱ αὐτοί· ἐν δὲ ἑτέρῳ τῷ τοῦ Αἰλίου Διονυσίου δηλαδὴ τὸ, οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος, ᾧ συμπαράκειται καὶ ἕτεραι κεφαλαιώδεις παροιμίαι αὗται, καὶ οὐδεὶς δυσώνης χρηστὸν

1. Διαφέρει δὲ οὐλῆς ὠτειλὴ) Ammonius: οὐλὴ, καὶ ὠτειλὴ διαφέρει. Οὐλὴ μὲν γάρ ἐστιν ἡ ὑγιασμένη σὰρξ ἐν τῷ τόπῳ τοῦ τραύματος· ὠτειλὴ δὲ, τὸ πρόσφατον τραῦμα, παρὰ τὸ οὐτᾶσθαι. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκε. Politus.

2. Οὔπω γὰρ ὁ χρυσὸς ἐτυράννει τῶν ἄλλων ὑλῶν) ὁ δὲ χρυσὸς, αἰθόμενον πῦρ ἅτε νυκτὶ διαπρέπει μεγάνορος ἔξοχα πλούτου. Pind. Olymp. Ode 1. Salvinus.

3. ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ) Virg. 1. Æn.

Lumenque juventæ
Purpureum & lætos oculis afflarat honores.
Quale manus addunt ebori decus. . . .
Indum ſanguineo veluti violaverit oſtro.
Si quis ebur. . . . .

Idem. Homerus φοίνικι μιήνῃ. Noſtris quoque temporibus eburneæ capſulæ purpureo colore intus oblinuntur. Salvinus.

4. λευκὸν φύσει τὸν Μενέλαον) In Epitaphio Adonidis: οἱ δ' ἀπὸ μαζοὶ Χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύροντο. Salvin.

5. θηλυπρεπὴς) f. θηλοπρεπὴς. Polit.

6. κόμη ξανθὸς) Malim, κόμην ξανθὸς. Polit.

7. λευκώπιοι) Alii λευκοπίας. Polit.

στὸν ὀψωνεῖ κρέας. καὶ οὐδὲν φρονεῖ δίκαιον ἐστυκὼς ἀνήρ. Ὅρα δὲ, ὡς καὶ αὕτη ἡ παραβολὴ ἔχει τι πολυμαθείας διὰ τῶν ἐν αὐτῇ ἱστοριῶν, πολλαχοῦ καὶ τοῦτο τεχναζομένου τοῦ Ποιητοῦ, ὡς προδεδήλωται.

μϛʹ. Ἰστέον δὲ, ὅτι [1] ἐλέφαντα μὲν λέγει τὸ ἐλεφάντινον ὀστοῦν, τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζων τὸ μέρος. ᾧ τρόπῳ καὶ βοῦς τὸ δέρμα, ἡ βύρσα δηλαδή. καὶ παρὰ Σοφοκλεῖ γέλωτι φαιδρὸν κάρα, ἤτοι πρόσωπον. Ὅτι δέ ποτε καὶ τὸ ὅλον τῷ τοῦ μέρους καλεῖται ὀνόματι, μικρὸν ὕστερον δηλωθήσεται. Τινὲς δὲ ἐλεφαντὰ ἀναγινώσκουσιν ὀξυτόνως, ὡς τὸ, καλά. ἵνα λέγῃ τὰ ἐλεφάντινα. Φοίνικα δὲ
Rom. p.456. λέγει τὸ φοινικοῦν χρῶμα τὸ ἐκ καρποῦ, φα-
Baſ. p.347. σι, πρίνου. ὃ μάλιστα πολὺ λέγονται συλλέγειν Τροιζήνιοι. Ὁμωνυμεῖ δὲ τῇ ῥηθείσῃ λέξει καὶ ἡ ὀπώρα ὁ φοῖνιξ. δι᾽ αὐτὴν δὲ καὶ τὸ δένδρον ὁ φοῖνιξ. Ἀρχὴ δὲ παραγωγικὴ αὐτοῦ, ὁ φόνος, ἤτοι τὸ αἷμα· οὗ πρὸς ὁμοιότητα, ὁ τοῦ φοίνικος καρπὸς ἐρεύθεται. ὅθεν καὶ Φοῖνιξ κύριον διὰ τὸ κατ᾽ αὐτὸν, ὡς εἰκὸς, φοινίκεον χροῦν. Μιαίνειν δὲ παρὰ τῷ Ποιητῇ τὸ βάπτειν, ὅπερ ἄλλοι φαρμάσσειν φασίν. Ἐντεῦθεν καὶ μιαιφόνος Ἄρης, οὐκ ἐπὶ ψόγῳ, ἀλλ᾽ ὡς αἱμοβαφής, καὶ μιαρὸς αἵματι, οὐχ᾽ ὡς [2] μιαραὶ ἡμέραι παρὰ τοῖς ὕστερον αἱ τῶν κατοιχομένων· ἀλλ᾽ ὁ αἱμοβαφὴς, κατὰ τὸ, οὐδέ ποθι μιαρός. ὅπερ ἐν τῷ τέλει τῆς Ἰλιάδος κεῖται. Μῃονὶς δὲ γυνὴ, ἡ Λυδή. Μαίονες γὰρ, ὡς καὶ προδεδήλωται, καὶ Μῄονες, οἱ Λυδοί, παρ᾽ οἷς καὶ ἄρισται λέγονται εἶναι βαφαί. Κάειρα δὲ γυνὴ, ἡ Καρίνη, κατὰ τοὺς παλαιοὺς, ἢ Καρικὴ, ἤτοι ἐκ Καρίας. [3] παρὰ δὲ Ἡροδότῳ κεῖται καὶ ἐσθὴς Κάειρα. Ἔστι δὲ παρά τισι τῶν παλαιῶν εὑρεῖν, καὶ ὅτι [4] διὰ τοῦ ι τινὲς τὸ Κάϊρα γράφοντες, εἶτα καὶ δισυλλάβως Καῖρα συναιροῦντες ἔλεγον, ὡς καὶ ἐν τῇ Βοιωτίᾳ δεδήλωται. Κατὰ τὸν ὅμοιον δὲ τρόπον καὶ [5] Δάειρα, κατὰ Αἴλιον Διονύσιον, διὰ τοῦ ι γραφὲν πρός τινων, εἶτα συναιρεθὲν δισυλλάβως, ὑπὸ Ἀττικῶν [6] Δαῖρα ὀνομάζεται. [7] ἣν δέ, φησι, μήτηρ Ἐλευσῖνος. Περὶ δὲ τούτου, καὶ ἐν τοῖς ἑξῆς που ῥηθήσεται.

μζʹ. Πα-

Et, nihil juſti cogitat arrecto vir pene. Vide verò, ut ipſa hæc comparatio ex iis rebus, quæ in eâ memorantur, eruditione ſuâ eâque variâ adſpergitur. idque ſæpe artificiosè facit Poëta, quemadmodum ſupra declaratum eſt.

XLVI. Quod autem ſcire oportet, ἐλέφαντα, *elephantem*, ipſum dicit dentem elephantis, ſive ebur, quippe qui nomine totius partem appellet. cujuſmodi etiam tropo βοῦς, *bos*, dicitur pellis bovis, corium nimirum. & apud Sophoclem γέλωτι φαιδρὸν κάρα, *riſu nitens, atque hilare caput*, ſive πρόσωπον, *vultus*. Sed & partis nomine vocari interdum ipſum totum, paullò poſt oſtendemus. Quidam tamen legunt ἐλεφαντά, *elephantina*, cum accentu acuto, ut τὸ καλά, *pulchra*. ita ut ſignificet τὰ ἐλεφάντινα, *elephantina, dentes nempe elephantinos, ſeu ebora*. Φοίνικα, *phœnicem*, colorem dicit phœniceum, ſeu rubrum, ex fructu, ut perhibent, ilicis arboris: quem præſertim magnâ copiâ colligere feruntur Trœzenii. Eadem voce appellatur etiam fructus ὁ φοῖνιξ, *palmula*: nec non, ejus cauſsâ, arbor ipſa ὁ φοῖνιξ, *palma*. Derivandæ autem origo vocis eſt ὁ φόνος, videlicet ſanguis: ad cujus ſimilitudinem palmæ fructus rubeſcit. Unde & Phœnix, nomen proprium viri, propter phœniceum ejus, ut videtur, colorem. Μιαίνειν, *fœdare, ſeu inficere*, idem eſt apud Poëtam, atque τὸ βάπτειν, *tingere*: quod quidem alii dicunt φαρμάσσειν, *imbuere*. Atque inde Mars dictus μιαιφόνος, *ſanguinolentus, ſanguine tinctus, cæde cruentus*, non in malam partem, neque in vituperium, ſed veluti tinctus ſanguine, & μιαρὸς αἵματι, *ſanguine fœdatus*, non certè perinde, ut μιαραὶ ἡμέραι, *dies polluti*, apud poſteriores ſcriptores, ideſt, dies Mortuorum, dies inferiarum; ſed qui adſperſus, ſeu tinctus eſt ſanguine, ſecundùm illud: Οὐδέ ποθι μιαρός. *Neque ſanguine alicubi tinctus*. quod habetur in extremâ Iliade. Μῃονὶς γυνή, *Meonis mulier*, intelligitur Lyda. Mæones namque, ut ſupra quoque patefactum eſt, & Meones, ipſi Lydi: apud quos etiam bonæ dicuntur eſſe tincturæ. Porrò autem Κάειρα γυνή, *Caira mulier*, dicitur Carina, juxta veteres ſcriptores, aut Carica, ſive ex Cariâ. Quin & apud Herodotum memoratur ἐσθὴς Κάειρα, *veſtis Caira*. Invenire eſt etiam apud veterum nonnullos, fuiſſe quoſdam, qui per *i* ſcriberent τὸ Κάϊρα, *Caira*, deinde per ſynæreſin, contractâ voce in duas ſyllabas, dicerent Καῖρα, *Cara*, ut declaratum eſt in Bœotiâ. Simili autem ratione Δάειρα, *Daira*, juxta Ælium Dionyſium, quum a quibuſdam ſcriberetur cum *i*, deinde contracta per ſynæreſin in ſyllabas duas, ab Atticis nominatur Δαῖρα, *Dæra*. Matrem eam fuiſſe ait Eleuſinis. Verùm hac de re alicubi poſtea agendi erit locus.

XLVII. Πα-

1. ἐλέφαντα μὲν λέγει τὸ ἐλεφάντινον ὀστοῦν) Virg. Æn. l. 3. *Dona dehinc auro gravia, ſectoque elephanto Imperat ad naves ferri*. Et lib. 6. in fine:

Sunt geminæ ſomni portæ, quarum altera fertur
Cornea, qua veris facilis datur exitus umbris;
Altera candenti perfecta nitens elephanto;
Sed falſa ad cœlum mittunt inſomnia manes.

quod Claudianus dixit: *vanum ſomnia mittit ebur*. ex Homero Odyſſ. l. 19. *Salvinus*.

2. μιαραὶ ἡμέραι) Heſychius: μιαραὶ ἡμέραι, τοῦ ἀνθεστηριῶνος μηνὸς, ἐν αἷς τὰς ψυχὰς τῶν κατοιχομένων ἀνιέναι ἐδόκουν. Politus.

3. παρὰ δὲ Ἡροδότῳ κεῖται καὶ ἐσθὴς Κάειρα) Herodotus l. 5. Ἔστι δὲ, σὺν δὲ λόγῳ χρεωμένοισι, οὐ Ἰὰς αὕτη ἡ ἐσθὴς τὸ παλαιὸν, ἀλλὰ Κάειρα. Polit.

4. διὰ τοῦ ι τινὲς τὸ Κάϊρα γράφοντες) Euſtathius ad Bœotiam: τὸ δὲ ἐθνικὸν αὐτῆς, ἐθνικῶς, κατὰ τέχνην, Κάειρα, καὶ ἐν διαλύσει, Κάϊρα, διὰ τὸ ι. Ἡ δὲ χρῆσις τὴν ει δίφθογγον ἔχει, ὡς καὶ παρ᾽ Ὁμήρῳ Μῃονὶς, ἠὲ Κάειρα. Vide, quæ nos ad hæc Euſtathii verba. *Politus*.

5. Δάειρα) ἡ Περσεφόνη. Etymologici Magni Auctor: Δάειρα, ἡ Περσεφόνη παρὰ Ἀθηναίοις· παρὰ τὴν δᾷδα· ἐπειδὴ μετὰ δᾳδῶν ἐπετελοῦντο αὐτῇ τὰ μυστήρια. ἢ ὅτι δαΐδα φορεῖ. Politus.

6. Δαῖρα ὀνομάζεται) Heſychius: Δαῖρα, ἡ αὐτὴ τῇ Δαείρᾳ. Polit.

7. ἣν δέ, φησι, μήτηρ Ἐλευσῖνος) Pauſanias Atticis: Ἐλευσῖνα δὲ ἥρωα, ἀφ᾽ οὗ τὴν πόλιν ὀνομάζουσιν, οἱ μὲν Ἑρμοῦ παῖδα εἶναι, καὶ Δαείρας Ὠκεανοῦ θυγατρὸς λέγουσιν. Politus.

XLVII. Παρήϊον ἵππων, *maxillare ornamentum equorum*, ornamentum eſt freni ad maxillas. Quamquam ſic etiam ipſa aliquando appelletur ἡ παρειά, *maxilla*. Atque hinc vide, ut vel de brutis animantibus apertè uſurpatur παρειά, *maxilla, ſeu gena*. Id, quod dicit, κεῖται ἐν θαλάμῳ, *collocatum eſt in thalamo*, ſicuti & illud, κεῖται ἄγαλμα, *collocatum eſt ornamentum, atque oblectamentum*, hoc de ebore diſertè oſtendit, id eſſe κειμήλιον, *rem pretioſam, & dignam, quæ magnâ curâ aſſervetur*. quod idem eſt, ac ſi diceres ἀπόθετον κτῆμα, *rem, ſeu ſupellectilem repoſitam*: quoniam idem eſt κεῖσθαι, *ſitum, collocatumque eſſe*, atque ἀποτεθεῖσθαι, *repoſitum, ac reconditum eſſe*. Quod item dicit, πολέες ἠρήσαντο, *multi amarunt, atque optarunt*, ſignificat, hoc ipſum ebur peroptabile eſſe, valdèque expetendum. τὸ φορέειν, *geſtare*, translatum eſt per metaphoram ab equo ad ipſum equitem. Equus namque maxillare ex ebore ornamentum geſtat; non verò eques. Ἄγαλμα, *ornamentum, ſeu oblectamentum*, ubique apud Poëtam eſt omne id, ἐφ' ᾧ τις ἀγάλλεται, *quo quis gloriatur, atque exſultat*, ut patet ex Odyſſeâ: tametſi poſteriorum temporum ſcriptores hanc vocem de ſimulacro uſurpaverint. Quidam etiam veterum ita ſcribit: Ἄγαλμα non pro more intelligitur deorum, aut heroum ſtatua, ſed communiori ſignificatione accipitur. ut, βασιλῆϊ δὲ κεῖται ἄγαλμα. *regi verò repoſitum eſt ornamentum*. &, Ἄλλα ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε, χρυσόν τε. *Alia ornamenta, ſeu donaria, ſuſpendit, veſteſque, aurumque*. &, ἵν' ἄγαλμα κεχάροιτο ἰδοῦσα. *ut viſo gaudeat ornamento*. Ad hæc ſciendum, τὸ ἄγαλμα, ſive ἀγαλλίαμα, *oblectamentum*, quod minimè omnium ſplendidum ſit, aut illuſtre; vocari etiam aliquando poſſe ἄθυρμα, *ludicrum, ſeu joculare oblectamentum*, cum nimirum tenue quid, ac ſimplex quibuſdam ſuppeditatur, ut clarè apparet ex his verbis Odyſſeæ: ἐδίδου ἀθύρματα. *ludicra præbebat oblectamenta, ſeu joculares delicias*. Quod item ſcire oportet, quamquam ſenſu inter ſeſe conveniunt τὸ χαίρειν, *gaudere, ſeu lætitiâ affici*, & τὸ ἀγάλλεσθαι, *oblectari, ſibi in re aliquâ placere, ſuas in re aliquâ delicias ponere*; tamen inter ſeſe differunt nomina, quæ ex iis verbis fiunt, τὸ ἄγαλμα, *oblectamentum*, & τὸ χάρμα, *gaudium*. Vox namque oneroſa, atque acerba eſt τὸ χάρμα, *gaudium*: quippe quum ludibrium etiam, & irriſionem notet, ut palam facit illud: Δυσμενέσι μὲν χάρμα. *Inimicis quidem gaudium*. & illud: σὸν ἅρμα, χάρμα καὶ γέλως. *currus tuus, gaudium, & riſus*. At verò alterius generis voluptatis, ac lætitiæ eſt τὸ ἄγαλμα, *oblectamentum*, ſicuti etiam τὸ ἀγαλλίαμα, *exſultatio, ſeu geſtientis animi præ voluptate elatio*. Quin etiam differentiam aliquando habere inter ſeſe videntur τὸ χαίρειν, *gaudere*, & τὸ ἀγάλλεσθαι, *oblectari*. Dicitur enim quis χαίρειν, *gaudere, & lætari*, de inimico, videlicet adverſus inimicum, ideſt, malis inimici, ejuſque infortuniis gaudere, ſive ex ejus calami-

tate

μζ'. Παρήϊον δὲ ἵππων, τὸ τοῦ χαλινοῦ παραγναθίδιον. λέγεται δέ ποτε οὕτω καὶ αὐτὴ ἡ παρειά. Ὅρα δ' ἐντεῦθεν καὶ, ὅτι [1] παρειὰ καὶ ἐπὶ ἀλόγων ζώων φαίνεται λέγεσθαι. Τὸ δὲ, κεῖται ἐν θαλάμῳ, καθὰ καὶ τὸ, κεῖται ἄγαλμα, [2] κειμήλιον εἶναι δηλοῖ καὶ τὸν τοιοῦτον ἐλέφαντα. ταυτὸν δὲ εἰπεῖν ἀπόθετον κτῆμα· ἐπεὶ καὶ ταυτὸν κεῖσθαι, καὶ ἀποτεθεῖσθαι. [3] Τὸ δὲ, πολέες ἠρήσαντο, πολυέραστον εἶναι δηλοῖ τὸν ῥηθέντα ἐλέφαντα. Τὸ δὲ φορέειν, ἀπὸ τοῦ ἵππου μετήνεκται εἰς τὸν ἱππότην. ἵππος γὰρ φορεῖ παρήϊον ἐξ ἐλέφαντος, οὐ μὴν ὁ ἱππεύς. Ἄγαλμα δὲ πανταχοῦ παρὰ τῷ Ποιητῇ, [4] πᾶν, ἐφ' ᾧ τις ἀγάλλεται, ὡς δηλοῖ καὶ ἡ Ὀδύσσεια· εἰ καὶ οἱ μεταγενέστεροι ἐπὶ ξοάνου τὴν λέξιν τεθείκασι. Παλαιὸς δέ τις γράφει οὕτως· ἄγαλμα οὐ συνήθως τὸ θεῶν, ἢ ἡρώων, ἀλλὰ κοινῶς. οἷον, βασιλῆϊ δὲ κεῖται ἄγαλμα, καὶ, [5] Ἄλλα ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε, χρυσόν τε. καὶ, [6] ἵν' ἄγαλμα κεχάροιτο ἰδοῦσα. Ἰστέον δὲ καὶ, ὅτι τὸ μὴ λαμπρὸν ἄγαλμα, εἴτ' οὖν ἀγαλλίαμα, εἴη ἂν ποτε καὶ ἄθυρμα, ὅτε δηλαδὴ ἀφελὲς προσώποις χορηγεῖται, ὡς ἡ Ὀδύσσεια δηλοῖ ἐν τῷ, [7] ἐδίδου ἀθύρματα. Ἰστέον δὲ, ὡς εἰ καὶ ταυτὰ νοεῖ, τὸ χαίρειν, καὶ τὸ ἀγάλλεσθαι, ἀλλὰ τὰ ἐξ αὐτῶν τὸ ἄγαλμα, καὶ τὸ χάρμα, διαφέρουσι. [8] Βαρύτητος μὲν γὰρ, τὸ χάρμα· ἐπεὶ καὶ μυκτῆρα δηλοῖ, καὶ κατάγελων, ὡς δηλοῖ τὸ, δυσμενέσι μὲν χάρμα. καὶ τὸ, σὸν ἅρμα, χάρμα, καὶ γέλως. Ἑτεροίας δὲ ἡδονῆς τὸ ἄγαλμα, ὡς καὶ τὸ ἀγαλλίαμα. Καὶ τὸ χαίρειν δέ γε, καὶ τὸ ἀγάλλεσθαι, δοκεῖ ποτε διαφορὰν ἔχειν. [9] Χαίρει μὲν γάρ τις ἐπὶ

ἐχθρῷ.

1. παρειὰ καὶ ἐπὶ ἀλόγων ζώων φαίνεται λέγεσθαι) Naves etiam rubricâ tinctæ, quod majus eſt, ab Homero dicuntur *miniatis genis*, μιλτοπάρῃοι. Salvinus.

2. κειμήλιον εἶναι δηλοῖ καὶ τὸν τοιοῦτον ἐλέφαντα) Etymon τοῦ κειμήλιον, eſt ἀπὸ τοῦ κεῖσθαι. Cimelium ab eo, quòd reconditum aſſervetur. *Salvinus*.

3. Τὸ δὲ, πολέες ἠρήσαντο) Catull. *Ut flos in ſeptis ſecretus naſcitur hortis &c. Multi illum pueri, multæ optavere puellæ*. πολλοί τε μιν ἠρήσαντο. Salvinus.

4. πᾶν, ἐφ' ᾧ τις ἀγάλλεται) Vetus Scholiaſtes Homericus, ἄγαλμα, καλλώπισμα πᾶν, ἐφ' ᾧ τις ἀγάλλεται, καὶ χαίρει. Οἱ μεθ' Ὅμηρον Ποιηταὶ ἄγαλμα εἶπον τὸ ξόανον. Etymologici Magni Auctor: ἄγαλμα, ἀγαλλίαμα, καλλώπισμα, πᾶν, ἐφ' ᾧ ἀγάλλεταί τις, ἢ χαίρει, εἴτε ἱμάτιον ᾖ, εἴτε ἄλλο τι. οἱ δὲ μεθ' Ὅμηρον Ποιηταὶ, ἄγαλμα εἶπον τὸ ξόανον. τὸ δὲ ἄγαλμα παρὰ τὸ ἀγάλλω. Politus.

5. Ἄλλα ἀγάλματ' ἀνῆψε) Od. γ'. v. 274. Πολλὰ δ' ἀγάλματ' ἀνῆψεν. Polit.

6. ἵν' ἄγαλμα κεχάροιτο ἰδοῦσα) ἵν' ἄγαλμα θεὰ κεχάροιτο ἰδοῦσα. Polit.

7. ἐδίδου ἀθύρματα) Homerus Od. σ'. v. 322. Παῖδα δ' ὣς ἀτίταλλε· δίδου δ' ἄρ' ἀθύρματα θυμῷ. Pro ἀτίταλλε· δίδου, videtur Euſtathius legiſſe: ἀτίταλλ', ἐδίδου. Politus.

ΑΤΙΤΑΛΛΕΔΙΔΟΥ ſine ullis ſpatiis, ut antiqui ſcribebant, poteſt utroque modo legi. *Salvinus*.

8. Βαρύτητος μὲν γὰρ, τὸ χάρμα) ἡ ἐπιχαιρεκακία ἡ ἐφ' ἀλλοτρίοις κακοῖς. Politus.

9. Χαίρει μὲν γάρ τις ἐπὶ ἐχθρῷ) Id Stoicis eſt ἐπιχαιρεκακία. Salvinus.

ἐχθρῷ, ἤγουν κατὰ ἐχθροῦ· ἀγάλλεται δὲ ἄλλως [1] ἐπὶ μόνοις, ὡς εἰ καὶ φιλόκαλος ἐπί τινι καλλωπισμῷ.

μή. Τὸ δὲ ἀμφότεροι, σχῆμα καὶ νῦν ἐπιῤῥηματικὸν Ὁμηρικὸν, ὡς καὶ πρὸ τούτων ἐφάνη. Κόσμος δὲ κύδους διαφέρει, καθότι ὁ μὲν, εἰς κάλλος τῷ ἵππῳ συμβάλλεται· [2] τὸ δὲ κῦδος, ἐκεῖθεν παρέπεται τῷ κειμηλιοῦντι τὸν ἐλέφαντα. Τὸ δὲ μιάνθην μηροὶ, δυϊκόν ἐστι ῥῆμα, ἀπὸ τοῦ μιανθήτην γεγονὸς κατὰ συγκοπήν. Εἰ δέ τις ὑπολάβῃ, χρῆναι γράφεσθαι, μίανθεν αἵματι μηροὶ, τουτέστιν, ἐμιάνθησαν, ἔχοι ἂν ἴσως προσιστάμενον τῇ τοιαύτῃ ἐννοίᾳ τὸν μετρικὸν ποδισμόν. Ὅρα δὲ καὶ τὴν ἀπόδοσιν τῆς παραβολῆς. Οὐ γὰρ κατέληξε συνήθως εἰς τὸ ὥς· ἀλλὰ εἰς τὸ, τοῖοι, διὰ ποικιλίαν ῥητορικήν. Ἐξευτελίζει δὲ καὶ τὴν τοῦ Πανδάρου βολὴν ἡ παραβολή. Ὡς γὰρ ἐλέφας τέχνῃ βάπτεται ὑπὸ γυναικῶν, οὕτως οἱ τοῦ Μενελάου μηροὶ ἐκ τῆς τοῦ Πανδάρου βολῆς. Εὐφυεῖς δὲ μηροὶ, οἱ εὖ πεφυκότες, καὶ τῷ ὅλῳ σύμμετροι. Ὅτε μέντοι [3] εὐφυέα που πτελέην ἐν τοῖς ἑξῆς ἐρεῖ ὁ Ποιητὴς, τότε μάλιστα κυριολεκτεῖ. Οἱ δέ γε παρὰ τοῖς ὕστερον εὐφυεῖς, ψυχικοὶ ἐπαινοῦνται, ὡς εὖ πεφυκότες εἰς τὸ μαθεῖν. Τὸ δὲ παρ' Εὐριπίδῃ [4] εὐφυὲς πρόσωπον, κατὰ τοὺς
Rom. p.457 εὐφυεῖς ἐῤῥέθη μηροὺς ἐκ τῆς καθ' Ὅμηρον φυῆς. Σφυρὰ δὲ καλὰ τῷ Μενελάῳ, πρὸς ἀναλογίαν καὶ αὐτὰ τοῦ ὅλου σώματος. Καὶ σημείωσαι, ὅτι, κατὰ τοῦτον τὸν λόγον, οὐδ' ἂν Ἀλεξάνδρου ψόγος εἴη τὸ, ἀργύρεα, ἤτοι λευκὰ, καὶ καλὰ ἔχειν τὰ ἐπισφύρια. Ὅρα δὲ καὶ, ὅτι ἄλλο μὲν τὸ καλὰ σφυρὰ ἔχειν, ἄλλο δὲ τὸ, καλλίσφυρος. Τὸ μὲν γὰρ σύνθετον, γυναικὸς ἐπίθετον· καλὰ δὲ σφυρὰ, ἰδοὺ καὶ ἐπὶ ἥρωος εἴρηται. Σφυρὰ δὲ, λέγεται τὰ ἀπολήγοντα πρὸς τῷ ἀστραγάλῳ, καὶ ἐκ πλαγίου ἐξέχοντα, καθ' ὁμοιότητα, ὡς οἱ παλαιοί φασι, τῶν χαλκευτικῶν σφυρῶν. Ἰστέον δὲ καὶ, ὅτι ἐνταῦθα σαφῶς, καὶ εὐτάκτως Ὅμηρος τὴν τῶν σφυρῶν τάξιν δηλοῖ, εἰπών· μηροὶ, κνῆμαί τε, καὶ σφυρὰ ὑπένερθεν, οἷς ὑπόκεινται πόδες, τὸ ἔσχατον, κατ' Ἀριστοτέλην εἰπεῖν· ὧν, φησι, τὸ μὲν ἐσχισμένον, κατὰ τὸ ἐμπρόσθιον, δάκτυλοι· τὸ

tate voluptatem capere; ſecùs verò ἀγάλλεσθαι, *oblectari, lætitiâque exſultare*, tantummodò in bonis: ut ſiquis elegantiæ, cultûſque mundioris ſtudioſior in aliquo ornamenti genere exſultet.

XLVIII. Τὸ ἀμφότεροι, *utrumque*, etiam nunc in modum adverbii more Homerico dictum eſt, ut vidimus etiam paullò ante. Differunt autem inter ſeſe κόσμος, *ornatus*, & κῦδος, *decus*, *ſeu gloria*, quatenus ὁ κόσμος, *ornatus*, confert equo ad pulchritudinem, & elegantiam; at verò τὸ κῦδος, *decus*, inde conſequitur, comitaturque illum, apud quem, pretioſæ cujuſdam ſupellectilis loco, ebur eſt repoſitum. Quod dicit, μιάνθην μηροὶ, *fœdata ſunt*, *ſeu cruentata ambo ſemora*, verbum eſt duale, factum per ſyncopen ex μιανθήτην. Quòd ſiquis ſcribendum eſſe ſuſpicetur, μίανθεν αἵματι μηροὶ, hoc eſt, ἐμιάνθησαν, *tincta*, *ſeu fœdata ſunt ſanguine femora*; huic iſti ejus conjecturæ adverſari fortaſſe poterit, atque obſiſtere, metrica carminis dimenſio. Ad hæc, redditionem vide, quæ eſt altera pars hujus comparationis. Non enim pro more deſinit in particulam ὥς, *ſic*, *vel ita*; ſed in τὸ, τοῖοι, *tales*, *ſeu talia*, ad varietatem orationis. Quin & hæc comparatio Pandari ictum extenuat, atque imminuit. Sicuti enim ebur artificioſè tingitur a mulieribus; ita ex Paodari ictu tincta ſunt ſemora Menelai. Femora ipſa εὐφυεῖ, ideſt, εὖ πεφυκότα, *benè conſtituta a naturâ*, *ſeu ad bonam conſtitutionem naturâ ipſâ comparata*, totique corpori, pro commenſûs ratione, congruentia. Quando tameo alicubi poſtea ulmum Poëta vocat εὐφυέα, *bene copioſèque ſuccreſcentem*, *proceram*, tunc maximè propriè loquitur. At verò apud poſteriores ſcriptores ab animi bono laudantur ii, qui vocantur εὐφυεῖς, *bene a naturâ comparati*, *bonâ indole præditi*, tamquam εὖ πεφυκότες εἰς τὸ μαθεῖν, *bene a naturâ comparati ad diſcendum*, *nati ad diſciplinas*, *ingenia præditi facili ad acquirendas doctrinas*, *ingenioſi*, *ingenio ſatis valentes*. Quod autem eſt apud Euripidem, εὐφυὲς πρόσωπον, *bene a naturâ conſtitutus vultus*, *vultus pulcher*, *venuſto vultus ore*, dictum eſt ad exemplar τῶν εὐφυῶν μηρῶν, *bene conſtitutorum*, *pulchrorumque femorum*, a voce φυή, *ideſt*, *natura*, *ſeu ſpecies*, *atque oris habitus*, prout hanc vocem accipit Homerus. Σφυρὰ καλὰ, *malleoli pedum pulchri*, *ſeu pulchri pedes*, erant Menelao, proportione & ipſi, ſeu comparatione totius corporis. Et obſerva, hac ratione, ne Alexandro quidem vitio dandum eſſe, quòd argentea, candida videlicet, & pulchra, habeat τὰ ἐπισφύρια, *malleolorum pedis integumenta*, *ſeu talaria*. Vide præterea, ut aliud eſt τὸ καλὰ σφυρὰ ἔχειν, *pulchros pedum malleolos*, *ſeu pulchros pedes*, *habere*; aliud τὸ, καλλίσφυρος, *pulchris pedum malleolis prædita*, *ſeu decoris*, *& elegantibus pedibus*. Id enim nominis compoſiti, epitheton eſt mulieris: quum tameo καλὰ σφυρὰ, *pulchros pedum malleolos*, *ſeu pulchros pedes*, ecce tibi de heroë etiam dixerit. Pedum autem malleoli dicuntur ii, qui ad talum deſinunt, extraque ad latus prominent, ad ſimilitudinem, ut veteres ajunt, malleorum fabrilium. Sciendum etiam eſt, perſpicuè hoc loci, atque ex ordine exponi ab Homero locum, ac ſitum malleolorum pedis, illis verbis: μηροὶ, κνῆμαί τε, καὶ σφυρὰ ὑπένερθεν. *femora*, *tibiaque*, *& pedum malleoli inferiùs*. quibus ſubjecti ſunt pedes, pars extrema, ut cum Ariſtotele loquar: quorum, ioquit, pars anterior, quæ fiſſa eſt, digiti;

1 ἐπὶ μόνοις) Videtur deeſſe ἀγαθοῖς, aut quidpiam ſimile. Politus.

2 τὸ δὲ κῦδος, ἐκεῖθεν παρέπεται) Tiball. *ſubſequiturque decor*. Salvinus.

3 Εὐφυέα που πτελέην) εὖ πεφυκυῖαν, μεγάλην. Vetus Scholiaſta. *Polit.*

4 Εὐφυὲς πρόσωπον) Terentius Andriâ: *liberali facie*. Salvinus.

Digitized by Google

ti; pars verò inferior carnoſa, planta. Quod igitur ſcire oportet, quum hæ partes ita diſtribuantur, ut ſint femora, deinde tibiæ, poſtea malleoli, poſtremo pedes, is, qui totum, pedes dicit, ex parte totum nominat, ut in aliis etiam multis contingit.

[1] τὸ δὲ σαρκῶδες κάτωθεν, στῆθος. Ἰστέον οὖν, ὅτι, μηρῶν ὄντων, εἶτα κνημῶν, ἀπὸ δὲ ταύταις, σφυρῶν, καὶ τελευταίων ποδῶν, ὁ εἰπὼν τὸ ὅλον πόδας, ἐκ μέρους τὸ ὅλον ὀνομάζει, [2] ὡς καὶ ἐπὶ ἄλλων πολλῶν γίνεται.

Tum ſanè cohorruit rex virorum Agamemnon,
Ut vidit atrum ſanguinem ex vulnere defluentem;
Ipſeque etiam cohorruit bellicoſus Menelaus.
Sed, poſteaquam vidit nervumque & cuſpides exſtantes,
Iterum ei animus in pectus eſt revocatus.
Eum igitur, graviter ſuſpirans, allocutus eſt rex Agamemnon,
Manu tenens Menelaum: ingemiſcebantque ſocii:
Frater mi, certè tibi in mortem fœdus percuſſi,
Cum te ſolum objeci pro Achivis ad pugnandum cum Trojanis.
Sic te vulnerarunt Trojani, & fœdera fida conculcarunt.
At nullo modo irritum erit fœdus, ſanguiſque agnorum,
Libationesque meri factæ, & dextræ, quibus fiſi eramus.
Etſi enim non protinus Olympius perfecit;
Vel ſerò tamen perficiet, magnoque luent
Suis ipſorum capitibus, uxoribuſque, & liberis.

Ῥίγησεν δ' ἄρ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Ὡς εἶδεν μέλαν αἷμα καταρρέον ἐξ ὠτειλῆς·
Ῥίγησεν δὲ καὶ αὐτὸς ἀρηΐφιλος Μενέλαος.
Ὡς δ' εἶδεν νεῦρόν τε, καὶ ὄγκους ἐκτὸς ἐόντας,
Ἀψορρόν οἱ θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη.
[3] Τοὺς δὲ βαρυστενάχων μετέφη κρείων Ἀγαμέμνων,
Χειρὸς ἔχων Μενέλαον· ἐπεστενάχοντο δ' ἑταῖροι·
Φίλε κασίγνητε, θάνατόν νύ τοι ὅρκι' ἔταμνον,
Οἶον προστήσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι.
Ὥς σ' ἔβαλον Τρῶες, κατὰ δ' ὅρκια πιστὰ πάτησαν.
Οὐ μέν πως ἅλιον πέλει ὅρκιον, αἷμά τε ἀρνῶν,
Σπονδαί τ' ἄκρητοι, καὶ δεξιαὶ, ᾗς ἐπέπιθμεν.
Εἴπερ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσεν,
Ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ [4] ἀπέτισαν
Σὺν σφῇσιν κεφαλῇσι, γυναιξί τε, καὶ τεκέεσσιν.

Baſ. p. 348.

XLIX. Ὄγκους, *uncos*, nominat Poeta cuſpides, quibus jaculum angulatum efficitur, in his verbis: Ὡς δ' ἴδε νεῦρόν τε, καὶ ὄγκους ἐκτὸς ἐόντας, Ἄψορρόν οἱ θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη. *Poſtea verò, quum vidit nervumque, & uncos extantes; iterum ei animus in pectus eſt revocatus.* Quin etiam poſtea dicit, ὀξέες ὄγκοι, *unci, ſeu acutæ cuſpides.* Ac rurſus in Odyſſeâ ὄγκιον appellat vas quoddam, ferreis cuſpidibus, ſeu jaculis reponendis deſtinatum. Veteres autem Grammatici vocem hanc ſic explicant: Ὄγκοι, anguli; & ὄγκαιον, vas, quod etiam dicitur ὄγκιον, in quo jaculorum cuſpides repoſitæ. Ex hoc genere ὄγκου, *unci, ſeu cuſpidis*, metaphora quoque oritur de faſtu, quo quis arroganter veluti in acumen intumeſcit. Νεῦρον, *nervum*, eum dicit, qui, ubi ſagittæ ferrum inſeritur, illud in orbem ſtringit. Et nunc quidem ea vox naturali planoque ſenſu accipitur. Ubi verò quiſpiam, vetuſta exempla ſecutus, νεῦρα πραγμάτων, *nervos reipublicæ*, pecuniam vocaverit, per metaphoram illa erit locutio. quemadmodum etiam locutus eſt is, qui dixit, ἐκνενευρίσθαι, *enervatos eſſe*, eos, qui languidè, aut negligenter in rebus agendis verſarentur. Nec diſſimiliter fecit is, qui ab animalium ſimulacris, quæ νευροσπαστοῦνται, *nervorum tractu huc, & illuc moventur*, per metaphoram dixit τοὺς νευροσπάστας, *eos, qui imagunculas tractis nervis huc illuc moveri faciunt.* Ab his denominata ars νευροσπαστική, *movendarum per nervorum tractum imagunculaṛum.* Qua quidem in arte magnam ſibi famam peperiſſe dicitur Pothinus Athenienſis. Minimè verò omnium ingenua prorſus eſt, aut liberali homine

μθ'. [5] Ὄγκους ὁ Ποιητὴς ὀνομάζει, τὰς ἀκίδας, αἷ γωνιοῦσι τὸ βέλος, εἰπών· [6] Ὡς δ' ἴδε νεῦρόν τε, καὶ ὄγκους ἐκτὸς ἐόντας, ἄψορρόν οἱ θυμὸς ἐνὶ στήθεσιν ἀγέρθη. καὶ προϊὼν δὲ, ὀξέες ὄγκοι, φησί. [7] Καὶ ἐν Ὀδυσσείᾳ δὲ σιδηροθήκην τινὰ, ἢ βελοθήκην, ὄγκιον καλεῖ. Οἱ δὲ παλαιοί φασι καὶ οὕτως· [8] ὄγκοι, γωνίαι, καὶ ὄγκαιον, ἀγγεῖον, τὸ καὶ ὄγκιον, ἐν ᾧ ἀκίδες βελῶν. Ἐκ δὲ τοῦ τοιούτου ὄγκου, καὶ [9] ἐπὶ ἀλαζονικοῦ ὀξύτητος, ἡ μεταφορὰ γίνεται. [10] Νεῦρον δὲ λέγει, τὸ κύκλῳ σφίγγον τὴν τοῦ σιδήρου τοῦ βέλους ἐμβολήν. Καὶ νῦν μὲν φυσικῶς ἡ λέξις ἔχει. ὅτε δέ τις, ἀκολουθῶν παλαιᾷ χρήσει, [11] νεῦρα πραγμάτων ἐρεῖ τὰ χρήματα, τροπικῶς ἔφρασεν. ὥσπερ καὶ [12] ὁ εἰπὼν, ἐκνενευρίσθαι τοὺς ἀσθενῶς, ἢ ἀμελῶς περὶ τὰ πρακτέα ἔχοντας. καὶ ὁ μετενεγκὼν δὲ, ἀπὸ τῶν νευροσπαστουμένων ζώων τοὺς νευροσπάστας, ὁμοίως ἐποίησεν· ὧν παρώνυμος [13] ἡ νευροσπαστικὴ τέχνη. ἐφ' ᾗ περίπυστος ἦν, φασι, Ποθεινὸς ὁ ἐξ Ἀθηνῶν. Τέχνη δὲ πάντως, οὐ σπουδαία ἡ νευροσπα-

στι-

1. τὸ δὲ σαρκῶδες κάτωθεν, στῆθος) Ariſtoteles De Hiſt. Animal. lib. 1. c. 15. Τὸ δὲ ἔσχατον ἀντικνήμιον, πτέρνα, ὀστοῦν ἐν ὄπισθεν τοῦ σκέλους. Τὸ ἀπολελυμένον τοῦ σκέλους, πούς. Τούτου δὲ τὸ μὲν ὄπισθεν μέρος, πτέρνα· τὸ δ' ἔμπροσθεν τοῦ ποδὸς, τὸ μὲν ἐσχισμένον, δάκτυλοι πέντε· τὸ δὲ σαρκῶδες κάτωθεν. τὸ δ' ἄνωθεν ἐν τοῖς πρανέσι, ταρσὸς, καὶ ἀνώνυμον. Mutilus eſt locus hic Ariſtotelis in libris editis. Deeſt namque nomen, quo in pede vocetur τὸ σαρκῶδες κάτωθεν. Nam τὸ ἄνωθεν quidem ἐν τοῖς πρανέσι, ταρσὸς, Ariſtoteles dicit eſſe ἀνώνυμον. Theodorus Gaza conatus eſt interpretatione ſuâ Latinâ utrumque ſupplere, parùm ſanè feliciter. J. Cæſar Scaliger partem iſtam inferiorem carnoſam ex Polluce vocat ταρσόν. Sed ex Euſtathio ſupplendum videtur in Ariſtotele στῆθος. itaque legendum: τὸ δὲ σαρκῶδες κάτωθεν, στῆθος. Quippe ſic legit Euſtathius. *Politus.*

2. ὡς καὶ ἐπὶ ἄλλων πολλῶν γίνεται) Sic apud Latinos pedes pro cruribus, manus pro brachiis, uſitatâ ſynecdoche, accipiuntur. Ovid. *An neſcis longas Principibus eſſe manus?* Salvinus.

3. Τοὺς δὲ βαρυστενάχων) Euſtathius legit, Τοῖς. Polit.

4. ἀπέτισαν) Nihil opus eſt geminare τὸ σ', cum τὸ ι primum producit. *Salvinus.*

5. Ὄγκους) Ὄγκος, uncus. ſic ab ὄνυξ, ὄνυχος unguis. ὄγχος. γλωχῖνες. Salvinus.

Etymologici Magni Auctor: ὄγκους τὰς ἀκίδας λέγουσι, καὶ ἐξοχὰς τῶν βελῶν, ἀπὸ τοῦ ἐξέχειν. Polit.

6. Ὡς δ' ἴδε) l. Ὡς δ' εἶδεν. Salvinus.

7. Καὶ ἐν Ὀδυσσείᾳ δὲ σιδηροθήκην τινὰ, ἢ βελοθήκην, ὄγκιον καλεῖ) Odyſſ. lib. φ.

Τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι φέρον ὄγκιον· ἔνθα σίδηρος
Κεῖτο πολὺς, καὶ χαλκὸς, ἄεθλια τοῖο ἄνακτος.

Vetera Scholia: ὄγκιον ἡ θήκη τῶν ἀκίδων. ὄγκους δὲ παρὰ τὸ ὀγκώδεις εἶναι. Politus.

8. ὄγκοι, γωνίαι) Anguli etymon forte ab ὄγκος. Sed rectiùs Feſtus ἀπὸ τοῦ ἀγκύλου. Salvinus.

9. ἐπὶ ἀλαζονικοῦ ὀξύτητος) f. ἐπὶ ἀλαζονικῶς ὀξύνοντος. Polit. Ἀλαζονικῶς, *arrogantia vitio laborans.* Salvin.

10 Νεῦρον δὲ λέγει, τὸ κύκλῳ σφίγγον τὴν τοῦ σιδήρου τοῦ βέλους ἐμβολήν) Etymologici Magni Auctor: νεῦρον δὲ, ἐν ᾧ δέδεται καὶ σφίγγεται τὸ βέλος πρὸς τὸν καλαμον. Politus.

11. νεῦρα πραγμάτων ἐρεῖ τὰ χρήματα) ut & ille apud Xiphilinum in Veſpaſiano. qui νεῦρα τῆς ἡγεμονίας τὰ χρήματα εἶναι ἔλεγε. Politus.

12 ὁ εἰπὼν, ἐκνενευρίσθαι) Demoſthenes. *Salvinus.*

13. ἡ νευροσπαστικὴ τέχνη) *Ductus ut nervis alienis mobile lignum.* νευροσπαστεῖται. Horat. *Salvin.*

Digitized by Google

στική· ¹ἀλλὰ τῶν κατ' εἶδος παιδιᾶς. Δῆλον δ', ὅτι ἀλλοπαθοῦς ῥήματος ὄντος τοῦ ἐκνευρίζειν, προϋπόκειται τὸ νευρῶ, τουτέστιν, ἐνδυναμῶ. Ἰστέον δὲ καὶ, ὅτι τὸ, θυμὸς ἀγέρθη, ὅ ἐστι συνήχθη, συντίθησι παρ' Ὁμήρῳ τὸ θυμηγερέειν. Δῆλον δὲ, ὡς ὁ συναγερθεὶς θυμὸς, φθάσας ἐξέλιπε. Τοῦτο δὴ τὸ παρ' Ὁμήρῳ μὲν, ὀλιγηπελέειν, παρὰ δὲ τοῖς ὕστερον, ὀλιγοθυμεῖν, καὶ λιποψυχεῖν. ὃ καὶ ὁ βασιλεὺς παθὼν διὰ τὸν ἀδελφὸν, εἶτα συνήγαγε θυμόν. Ἐνέφηνε δὲ ὁ Ποιητὴς τὸ ῥηθὲν λιποψύχημα, διὰ τοῦ περὶ τὸν βασιλέα φόβου, εἰπών· Ῥίγησε δ' ἄρ' ἔπειτα ἄναξ ἀνδρῶν.

ν'. Πένθους δηλωτικὸν τὸ, Τόνδε, βαρυστενάχων, μετέφη ὁ δεῖνα, χειρὸς ἔχων· ἐπεστενάχοντο δ' ἑταῖροι. Τὸ εἰς ἐπικίνδυνον μονομαχίαν ἐναγαγεῖν, οἷον, ἤγουν μόνον, προ-

Rom. p. 458. στῆσαι φησὶν, ἐν τῷ, Φίλε κασίγνητε, θάνατόν νύ τοι ὅρκι' ἔταμνον, οἷον προστήσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι. Ἐκ δὲ τούτου καὶ προστατεῖν ῥῆμα, τὸ πρὸ τῶν ἄλλων ἵστασθαι, εἰ καὶ μὴ εἰς μονομαχίαν, ἀλλ' οὖν εἰς τινα βοήθειαν. Ἰστέον δὲ, ὅτι τὸ, φίλε, ἐκτείνει ἐνταῦθα τὴν παραλήγουσαν, ²οὐχ ὥστε μὴν καὶ περισπασθῆναι αὐτὴν, ἀλλὰ κατὰ λόγον κοινῆς συλλαβῆς, διὰ τὴν ὀξεῖαν, ὡς καὶ ἐν ἄλλοις γίνεται. Τὸ δὲ ἔταμνον, πρώτου προσώπου ἐστὶ, λέγοντος τοῦ βασιλέως, ὅτι θανατόν σοι ἔθυσα τοὺς γενομένους ὅρκους. Καὶ ἄρα τὸ καίριον ³τοῦ ὅρκια τάμνειν, περὶ οὗ προείρηται. Δυνάμενος γὰρ εἰπεῖν, ὅτι ὅρκι' ἔτευξα, ὁ δ' οὐχ οὕτως ἔφη, ἀλλὰ τὴν τοῦ τάμνειν λέξιν προέκρινε. Τὸ δὲ οἶον μάχεσθαι, προϋπάρχει ⁴τοῦ μονομαχεῖν. Τὸ δὲ προστήσας, ἔοικεν ἀπὸ ἱερείου ἐνταῦθα ληφθῆναι, ὃ πρὸ ἑτέρων ζώων ἵσταται, ἀγόμενον ἐπὶ σφαγήν. Ὅπερ ἔφη πρὸ τούτου, πημῆναι ὅρκια, καὶ δηλήσασθαι, ἐνταῦθα ὅρκια πιστὰ πατῆσαί φησι. δριμύτερον δὲ τοῦτο ἐκείνων. ⁵Πολλὴν γὰρ δηλοῖ καταφρόνησιν τὸ πατῆσαι, ταυτὸν ὂν τῷ ῥίψαι οἷον εἰς πάτον, ἤγουν εἰς τρίβον, καὶ ἐπεμβῆναι ὑβριστικῶς.

να'. Ἀγαθὴ ἔννοια εἰς φυλακὴν ὅρκου τὸ, Οὐ μέν πως ἅλιον πέλει ὅρκιον, ⁶καὶ δεξιαὶ, ᾗς ἐπέπιθμεν. ἤγουν αἷς ἐπείσθημεν. Ἔστι δὲ

ne digna, ars hæc Neuroſpaſtice; ſed de genere ea eſt artium ludicrarum. Conſtat autem, verbi ἐκνευρίζειν, *enervare, ſeu nervos incidere*, quod verbum actionem in alium ſignificat, primitivum eſſe τὸ νευρῶ, *nervos addo*, hoc eſt, addo vires, ac robur, roboro confirmo. Præterea ſciendum eſt, ex his vocibus, θυμὸς ἀγέρθη, *animus collectus eſt*, hoc eſt, revocatus, compoſitum eſſe apud Homerum τὸ θυμηγερέειν, *animum colligere, recolligere, recipere, revocare*. Conſtat etiam, animum, qui colligitur, ac revocatur, jam antea defeciſſe. Hoc verò eſt, quod dicitur apud Homerum, ὀλιγηπελέειν, *viribus deficere, animam agere*; apud poſteriores verò ſcriptores ὀλιγοθυμεῖν, *anima concidere, animum deſpondere*, & λιποψυχεῖν, *anima deficere, animo collabi*. Quod quum & regi propter fratrem contigiſſet, animum poſtea collegit, ac recepit. Eum autem, quem diximus, defectum animi intelligendum dat Poëta ex metu ipſo regis, de quo ſic ait: Ῥίγησε δ' ἄρ' ἔπειτα ἄναξ ἀνδρῶν. *Cohorruit deinde rex virorum Agamemnon*.

L. Ad luctum, ac mœrorem declarandum facit illud: Τόνδε, βαρυστενάχων, μετέφη ὁ δεῖνα, χειρὸς ἔχων· ἐπεστενάχοντο δ' ἑταῖροι, *Hunc, graviter ſuſpirans, allocutus eſt unus aliquis, quicunque ille ſit, manu eum tenens: ingemiſcebantque ſocii*. Ad periculoſum ſingulare certamen producere, dicit οἷον, videlicet μόνον, προστῆσαι, *ſolum objicere, objectare, committere, opponere*, in his verbis: Φίλε κασίγνητε, θάνατόν νύ τοι ὅρκι' ἔταμνον, Οἷον προστήσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι. *Frater mi, certe tibi in mortem fœdus percuſſi, cum ſolum te objecit ad pugnandum pro Trojanis cum Achivis*. Atque inde etiam verbum eſt προστατεῖν, *præſto eſſe*, ideſt, πρὸ τῶν ἄλλων ἵστασθαι, *ante alios ſtare*, ſi non ad ſingulare certamen; at certè ad auxilium ferendum. Quod autem ſciendum eſt, τὸ φίλε, *chare*, producit hic penultimam, non ita tamen, ut ea ipſa ſyllaba circumflectatur; ſed more ſyllabæ communis, propter accentum acutum, ut aliis etiam fit in locis. Primæ perſonæ eſt τὸ ἔταμνον, *percutiebam, feriebam, cæſis victimis ſanciebam*, quippe quum rex dicat, ſeſe ad mortem Menelai ictum fœdus atque jusjurandum ſacrificio confirmaſſe. Ac vide, quàm appoſita, & accommodata ea eſt locutio, ὅρκια τάμνειν, *fœdera icere, ſeu percutere*. quo de locutionis genere notatum eſt ſupra. Dicere enim poterat, ὅρκι' ἔτευξα, *fœdera feci*. Non ita ille tamen eſt locutus; ſed longè prætulit vocem hanc τάμνειν, *cædere, icere, percutere*. Quod ait, οἶον μάχεσθαι, *ſolum pugnare*, initium dedit verbo μονομαχεῖν, *ſingulari certamine congredi, ſeu ſingularem pugnam inire*. Τὸ προστήσας, *objiciens*, ſumptum hoc loci videtur a victimâ, quæ ante alia ſtat animalia, cum ad cædem ducitur. Quod antea dixerat, πημῆναι ὅρκια, *fœdera rumpere, ſeu frangere*, & δηλήσασθαι, *violare*; hoc loci dicit ὅρκια πιστὰ πατῆσαι, *fœdera fida conculcare*. quod quidem præ illis loquendi generibus acrius eſt, atque acerbius. Permagnum namque contemptum præ ſe fert τὸ πατῆσαι, *calcare, ſeu conculcare*: quippe quum idem hoc ſit, atque projicere veluti εἰς πάτον, videlicet εἰς τρίβον, *in viam publicam, ac militarem*, & per contumeliam inſcendere, ac proterere.

LI. Ad jurisjurandi firmam integramque cuſtodiam bona, & percommoda ſententia illa: Οὐ μέν πως ἅλιον πέλει ὅρκιον, καὶ δεξιαὶ, ᾗς ἐπέπιθμεν, vide-

1. ἀλλὰ τῶν κατ' εἶδος παιδιᾶς) A. Gellius lib. 14. c. 1. *ludicra, & ridenda quædam* παίγνια. Politus.
2. οὐχ ὥστε μὴν καὶ περισπασθῆναι αὐτήν) Canon: Quæ perpetuò ſunt longæ, eæ circumflectuntur, non ancipites ſyllabæ. *Salvin.*
3. τὸ ὅρκια τάμνειν) ὅρκια τάμνειν. Latinè *fœdus icere, percutere*, a cæſis ob eam rem victimis. *Salvinus.*
4. τοῦ μονομαχεῖν) Hinc gladiatores Græcis dicti μονόμαχοι a gladiatorum paribus, quæ inter ſe committebantur. *Salvinus.*
5. Πολλὴν γὰρ δηλοῖ καταφρόνησιν τὸ πατῆσαι) Anacreon: Πατεῖ δ' ἅπαντα θυμῷ. *Animo univerſa calco*. Salvin.
6. καὶ δεξιαὶ, ᾗς ἐπέπιθμεν) Livius: *juncta dextera*. Virgilius: *firmant in fœdera dextra*. Salvin.

videlicet ὡς ἐπέπιθμεν. *Nullo ſanè modo irritum erit fœdus, & dextræ, quibus fidebamus, ſeu freti eramus.* Eſt autem, ſicuti etiam antea dictum eſt, τῦ ἐπέπιθμεν, *confiſi eramus*, prima ſingularis perſona, Aoriſtus ſecundus Jonicus ἐπέπιθον, *confiſus eram*: ex cujus plurali per ſyncopen Æolicè factum eſt τὸ ἐπέπιθμεν, *confiſi, ſeu freti eramus*. quod quidem nemo quiſquam proſæ ſcriptor orationis protulerit. Quid ſibi apud priſcos homines dextrarum junctio, & contrectatio voluerit, patet etiam ex Odyſſeâ. Hinc autem obſerva, ut in fœderibus jurejurando firmandis dextras quoque tangere, atque jungere conſueverant, tametſi id antea Homerus, more ſuo, ſilentio ſuppreſſerit, ut multis aliis in locis facit per figuram reticentiæ. Ceterùm in τῶν δεξιῶν, *a dextris*, quas nominavimus, ſatis conſtat dictum eſſe τὸ φιλικῶς δεξιῶσθαι, *amicè dextram jungere, ſeu in amoris benevolentiæque argumentum dextrâ aliquem prehendere, amicè aliquem ſuſcipere, & complecti*; dictamque etiam eſſe τὴν κατὰ φιλίαν δεξίωσιν, *amicam junctionem dextrarum, prehenſationem dextræ ad amorem ſignificandum, ſalutationem, quæ fit inter amicos, prehenſione dextrarum*. Non vanum, neque irritum ait eſſe fœdus, quod jurejurando ſancitum eſt, quia inſpicit, atque obſervat deus fœdera jurejurando firmata, ſicuti & omne aliud jungendarum dextrarum genus ad amicitiam conciliandam. Qua de cauſſâ, ſicuti Juppiter appellatus Ὅρκιος, *præſes jurisjurandi*; ſic & idem etiam φίλιος, *præſes amicitiæ*, & ἑταιρεῖος, *præſes ſodalitatis*; nec non ſimili ratione ὁμόγνιος, *Gentilitius*, ut & Πατρῷος, *Patrius*: ac præterea Ἑρκεῖος, *Herceus, ſeu Penetralis*; & Ἐφέστιος, qui etiam Jonicè Ἐπίστιος, *Domeſticus, qui apud larem colitur*: præter alia hujuſcemodi, quæcumque illa ſunt, ſocialia nomina: in quibus etiam ὁ Ξένιος, *Hoſpitalis*, & ὁ Φράτριος, *Curialis, ſeu Tribulis*.

LII. Boni, ac generoſi ducis eſt, non, inclinatâ fortunâ, ſeu ſtatim ac quid adverſi acciderit, animo ſimul concidere; ſed ſperare ſemper meliora. Sic Agamemnon, tametſi lethali fratrem vulnere affectum exiſtimet, eumque tamquam mox moriturum lugeat; tamen confidit, ruinam, cladeṁque hoſtium, ut non ea ſtatim ad exitum perducta fuerit; tamen vel ſerò eſſe ad finem tandem perducendam. Verba igitur, quæ facit, propria ſunt hominis benè animati, bonâque ſpe innixi, eaque ſunt hujuſcemodi: Etſi enim Olympius non protinus perfecit; tamen vel ſerò perficiet, & magno luent. Tum explicat, quid ſibi velit illud, σὺν μεγάλῳ, *magno*, ſubjunctis aliis his verbis: σὺν σφῇσι κεφαλῇσι, γυναιξί τε, καὶ τεκέεσσι. *ſuis capitibus, uxoribuſque, & filiis*. Neque verò quidquam novi eſt, quòd ſpem alat bonam ille ipſe Menelaus, qui injuriam acceperat: quandoquidem etiam Paris, peſtis illa & pernicies generis humani, quamquam, ut dictum eſt, inferior in certamine evaſit, rurſus tamen confidit, ſicuti etiam ſupra ſcriptum eſt, de bellicoſo Menelao ſeſe victoriam eſſe relaturum. Sciendum autem eſt, τὸ σφίσι, *ſibi*, ſive feminini, ſive alterius ſit generis, ita ut ſignificet τὸ αὐταῖς, *ſibi ipſis, genere feminino*, ſeve τὸ αὐτοῖς, *ſibi ipſis*, gene-

δὲ, ὡς καὶ προείρηται, τῦ ἐπέπιθμεν πρῶτον ἑνικὸν πρόσωπον, [1] ὁ ἐπέπιθον δεύτερος Ἰωνικὸς ἀόριστος· οὗ τὸ πληθυντικὸν συγκοπὲν Αἰολικῶς, πεποίηκε [2] τὸ ἐπέπιθμεν. ὅπερ οὐκ ἂν προφέροι τις πεζολογῶν. Οἷον δέ τι παρὰ τοῖς παλαιοῖς ἡ τῶν δεξιῶν ἅψις, [3] δηλοῖ καὶ ἡ Ὀδύσσεια. Σημείωσαι δ' ἐντεῦθεν, ὅτι ἐν τοῖς ὅρκοις καὶ δεξιῶν ἥπτοντο, εἰ καὶ Ὅμηρος, οἰκείῳ νόμῳ, τῦτο ἐσίγησεν ἐν τοῖς φθάσασιν, ὡς καὶ ἐπὶ ἄλλων πολλῶν ποιεῖ, κατὰ σχῆμα ἀποσιωπήσεως. Ὅτι δὲ ἐκ τῶν ῥηθεισῶν δεξιῶν, καὶ τὸ φιλικῶς δεξιοῦσθαι εἴρηται, καὶ ἡ κατὰ φιλίαν δεξίωσις, δῆλόν ἐστιν. Οὐκ εἶναι δὲ ἄλιον τὸ ὅρκιον λέγει, διὰ τὸ ὑπὸ θεῦ ἐφορᾶσθαι καὶ τοὺς ὅρκους, ὡς καὶ πᾶσαν ἄλλην φιλοτήσιον δεξίωσιν. Διὸ, καθὰ ὅρκιος Ζεὺς, οὕτω καὶ φίλιος ὁ αὐτὸς, καὶ ἑταιρεῖος, καθ' ὅμοιον δὲ λόγον, καὶ ὁμόγνιος, ὡς καὶ πατρῷος· πρὸς τούτοις δὲ καὶ ἑρκεῖος, καὶ ἐφέστιος ὁ καὶ ἐπίστιος Ἰωνικῶς· καὶ ὅσα δὲ ἄλλα τοιαῦτα κοινωνικὰ ὀνόματα· ἐν οἷς καὶ ὁ ξένιος, καὶ ὁ φράτριος.

νβ'. Γενναίου στρατηγοῦ ἴδιον, τὸ μὴ συμπεπτωκέναι τοῖς καιροῖς, ἀλλ' ἐλπίζειν ἀεὶ τὰ χρηστότερα. Οὕτως Ἀγαμέμνων, εἰ καὶ βεβλῆσθαι καιρίως οἴεται τὸν ἀδελφὸν, καὶ ὡς τεθνηξόμενον πενθεῖ, ὅμως πέποιθεν, ὡς, εἰ καὶ μὴ αὐτίκα τετέλεσται κακὰ τοῖς ἐχθροῖς, ἀλλ' ὀψὲ γοῦν τελεσθήσεται. Λαλεῖ οὖν εὐέλπιδος *Baſ. p. 394.* ἀνδρὸς λόγους, εἰπών· Εἴπερ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσεν, ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτισαν. Εἶτα ἑρμηνεύων, τί δηλοῖ τὸ, σὺν μεγάλῳ, φησί· σύν σφῇσι κεφαλῇσι, γυναιξί τε, καὶ τεκέεσσιν. Οὐ καινὸν δὲ, τὸν ἠδικημένον [4] Μενέλαον εὔελπιν εἶναι· εἴγε καὶ ὁ ἀλάστωρ Πάρις ἡττηθεὶς, ὡς εἴρηται, θαῤῥεῖ αὖθις νικῆσαι, καθὰ προεγράφη, τὸν ἀρηΐφιλον Μενέλαον. Ἰστέον δὲ, ὅτι τὸ σφίσιν, εἴτε θηλυκοῦ γένους εἴη, εἴτε καὶ μὴ, ὥστε σημαίνειν τὸ, αὐταῖς, ἢ τὸ, αὐ-

1. ὁ ἐπέπιθον δεύτερος Ἰωνικὸς ἀόριστος) Etymologici Magni Auctor: ἐκ τῦ πείθω ὁ δεύτερος ἀόριστος, ἔπιθον, καὶ κατὰ ἀναδιπλασιασμὸν, πέπιθον. τὸ πρῶτον τῶν πληθυντικῶν, πεπίθομεν· καὶ κατὰ συγκοπὴν, Ἰλιάδος δ', καὶ δεξιαὶ, ᾗς ἐπέπιθμεν, ἀντὶ τῦ, αἷς ἐπεποιθήκαμεν. Politus.

2. τὸ ἐπέπιθμεν) Regula hæc eſt apud Etymologum: τὰ εἰς μεν πληθυντικὰ, καθαρὰ θέλει εἶναι. ἐὰν δὲ ἓν σύμφωνον γένηται, κατὰ πάθος λέγεται εἶναι· φέρομεν, φέρμεν· ἴσαμεν, ἴσμεν· ἐπεπίθομεν, ἐπέπιθμεν. Politus.

3. δηλοῖ καὶ ἡ Ὀδύσσεια) Euſtathius ad Odyſſeam: τὸ τὰς δεξιὰς χερὶς ἐντιθέναι, ὅπερ καὶ νῦν πολλοῖς τῶν ἐθνῶν ἐπιχωριάζει, δόγμα φιλοφροσύνης ἦν ἀσφαλέστατον. ὅθεν καὶ δεξιοὶ λέγονται οἱ ἀγαθοί. καὶ δεξιοῦσθαι μέχρι νῦν, τὸ φιλοφρονεῖσθαι λέγεται. Politus.

4. Μενέλαον εὔελπιν εἶναι) Atqui εὔελπις hoc loci Agamemnon, non Menelaus. *Polit.*

Attamen κοινοτέρως Menelaus εὔελπις dici poteſt, quoniam illi ſpem facit Agamemnon, & Menelaus victos, ab Euſtathio cum Alexandro victo comparatur; & juniorum proprium eſt, eſſe εὐέλπιδας, ut Ariſtoteles in Ethicis obſervat. *Salvinus*.

Digitized by Google

αὐτοῖς, διὰ τοῦ ι γράφεται παρὰ τῇ ποιητικῇ ἀκριβείᾳ· εἰ μή που, ὡς καὶ νῦν, ἀντὶ τοῦ ἰδίαις λαμβάνεται. αὐτὸ γὰρ ἀπὸ τοῦ, ὁ σφὸς, ἡ σφὴ, ταῖς σφαῖς, ἔχει τὸ ι ἐν τῇ παραληγούσῃ, ὁμοίως τῷ, ᾗσι φρεσί. καὶ σῇσι.[1] καὶ ὅσα τοιαῦτα. Τὸ δὲ ἀπέτισαν σὺν σφῇσι κεφαλαῖς, ἐν Ὀδυσσείᾳ ἐλλειπτικῶς παραφράζων, φασί· σῷ κράατι τίσεις. Ὅρα δὲ καὶ, ὅτι ἐν τῷ, Ἔκ τε καὶ ὀψὲ τελεῖ, καὶ ἐν τῷ, σύν τε μεγάλῳ ἀπέτισαν, χρόνοι ἀντὶ χρόνων συνήθως λαμβάνονται, ἤγουν ἐνεστὼς,[2] καὶ παρῳχημένος, ἀντὶ ἀληθοῦς μέλλοντος. Τὸ γὰρ ἐκτελεῖ, ἀντὶ τοῦ, πάντως ἐκτελέσει. καὶ τὸ ἀπέτισαν ὁμοίως, ἀντὶ τοῦ, ἐξ ἅπαντος ἀποτίσουσιν. Ἰστέον δὲ, ὅτι τὸ, σύν τε μεγάλῳ ἀπέτισαν σὺν σφῇσι κεφαλῇσι, καὶ ἑξῆς, παροιμιακή τις τροπικὴ ἔννοιά ἐστι, μετενηνεγμένη ἀπὸ ἀκολουθίας χρέους, δηλοῦσα, ὅτι τὸ χρέος, ὃ λαβόντες οἱ Τρῶες ἔχουσι πολλοὺς ἤδη ἐνιαυτοὺς, ὅπερ ἐστὶν ἡ ἡρπασμένη Ἑλένη, ὀψέ ποτε ἀποτίσουσιν, ὡς οἷά τι ἀρχαῖον, ἤγουν κεφάλαιον ὀφειλῆς· καὶ οὐχ ἁπλῶς, ἀλλὰ σὺν μεγάλῳ καὶ τόκῳ, καὶ ποινῇ, τουτέστι, προστίμῳ. Τάδε εἰσὶν αἱ κεφαλαὶ τῶν ἁρπασάντων, καὶ ἡ τῶν αὐτοῖς φιλτάτων αἰχμαλωσία. Ὁμοιοῦται δέ πως τῇ τοιαύτῃ Ὁμηρικῇ ἐννοίᾳ ἐν
Rom. p. 459. τοῖς μετὰ ταῦτα τὸ, μὴ τὸ χθιζὸν Ἀχαιοὶ [3] ἀποστήσωνται χρέος.

μαγμα λέγει ὁ Κωμικός. καὶ ὅτι διασαφῶν ὁ Ποιητὴς τό, ἕλκος ἰητὴρ ἐπιμάσσεται, ἐπάγει· [1] ἠδ' ἐπιθήσει φάρμακα, ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων, ὁ παραφράζων ἐν τοῖς ἑξῆς, λέγει· Αἷμ' ἐκμυζήσας, ἐπ' ἄρ' [2] ἤπια φάρμακα [3] πάσσε, τὰ παύοντα δηλαδὴ μελαινάων ὀδυνάων. Ἕλκος δέ, οὐ, κατὰ τοὺς ὕστερον ἰδιωτικούς, τὸ πύον, ὃ οὐδὲ ὁ Ποιητὴς οἶδεν· ἀλλὰ τὴν κατὰ τραῦμα λύσιν τῆς συνεχείας. Ἅμα γὰρ βάλλεταί τις, ἢ τιτρώσκεται, καὶ εὐθὺς ἕλκος γενέσθαι τῷ τοιούτῳ φησί· [4] λεγόμενον οὕτω διὰ τὸ παρηλκύσθαι τοῦ συνεχοῦς. διὸ καὶ [5] ἄπελος αὐτὸ εἶπε Καλλίμαχος, διὰ τὸ μὴ πελάζειν ἀλλή-
Rom. p. 363. λοις τὰ παρηλκυσμένα χείλη τοῦ διαιρέματος. [6] Τὸ φάρμακον δέ, μέση λέξις, ἐστί τε μὴ ἀγαθοῦ λαμβανομένη παρὰ τὸ φέρειν ἄχος, καὶ ἐπὶ ἀγαθοῦ, παρὰ τὸ φέρειν ἄκος. διὸ φάρμακα ἐν τοῖς ῥηθεῖσιν εἰπών, προσέθετο, χάριν σαφηνείας, τό, ἃ παύσει ὀδυνάων. καὶ δηλονότι, ἀκέσεται. καὶ τό, ἤπια, ὧν παρώνυμός ἐστιν, ὡς ῥηθήσεται, καὶ ὁ Ἀσκληπιός. Μέλαιναι δὲ ὀδύναι, αἱ θανατηραί, ὡς εἰς ᾅδην μέλανα, ταυτὸν δὲ εἰπεῖν, εἰς σκότον, κατάγουσαι. Τὸν Ταλθύβιον, θεῖον κήρυκα λέγει, καθότι καὶ φθάσας ἐν τῇ α΄ τοὺς κήρυκας τοῦ Διὸς ἀγγέλους ἔφη.

mulacrum, atque imaginem, ſive effigiem, Comicus vocat ἔμμαγμα. Poëta denique id, quod dixerat, ἕλκος ἰητὴρ ἐπιμάσσεται, vulnus medicus abſterget; magis poſtea explicat, ſubjunctis aliis his verbis: ἠδ' ἐπιθήσει φάρμακα, ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων. & adhibebit medicamenta, quæ ſedent tetros dolores. quod quidem infra per paraphraſin ita interpretatur: Αἷμ' ἐκμυζήσας, ἐπ' ἄρ' ἤπια φάρμακα πάσσε. ſanguine exſucto, lenia medicamenta inſperſit. quæ ceſſare nimirum faciebant tetros dolores. Ἕλκος, non, ex more ſequioris ætatis, vulgariſque linguæ uſu, pus, ſeu purulentum ulcus ſignificat, quam vocis ſignificationem ne novit quidem Poëta; ſed partium continuarum ſolutionem ex vulnere. Simul enim atque ictum quis accipit, ſeu vulneratur; ſtatim ei ἕλκος, vulnus, inflictum dicit: quum id ita appelletur διὰ τὸ παρηλκύσθαι τοῦ συνεχοῦς, eo quòd partes continuæ diremptæ ſint, ac protractæ. Ideoque ἄπελος dixit ipſum Callimachus, eo quòd labra partis diviſæ diſcerpta, atque divulſa, minimè inter ſeſe πελάζουσι, accedunt, neque ſibi appropinquant. Τὸ φάρμακον, medicamentum, vox eſt media, utpote quæ tum in malam partem ſumitur, παρὰ τὸ φέρειν ἄχος, ex eo, quòd triſtitiam, ac dolorem afferat; tum in bonam, παρὰ τὸ φέρειν ἄκος, ex eo, quòd afferat medelam. Qua de cauſsâ quum hoc loci φάρμακα, pharmaca, ſeu medicamenta, dixiſſet; perſpicuitatis gratiâ, adjecit hæc verba: ἃ παύσει ὀδυνάων. quæ ſedeat dolores. nimirum ſanent, ſeu doloribus medeantur. itemque appoſuit τὸ ἤπια, mitia, ſeu lenia. unde etiam nomen habet, ut dicturi ſumus, ὁ Ἀσκληπιός, Aſclepius, ſeu Æſculapius. Μέλαιναι ὀδύναι, atri dolores, dicuntur lethales, ac mortiferi, quippe qui ad orcum atrum, quod idem eſt ac ſi dicas, ad tenebras, deducant. Talthybium, divinum præconem vocat, quatenus ſupra etiam in libro α΄ præcones, ſeu caduceatores, Jovis nuntios appellaverat.

Ὣς ἔφατ'· οὐδ' ἄρα οἱ κῆρυξ ἀπίθησεν ἀκούσας,
Βῆ δ' ἰέναι κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων,
Παπταίνων ἥρωα Μαχάονα· τὸν δ' ἐνόησεν
Ἑσταότ'· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
[7] Λαῶν, οἵ οἱ ἕποντο Τρίκης ἐξ ἱπποβότοιο.
Ἀγχοῦ δ' ἱστάμενος, ἔπεα πτερόεντα προσηύδα·
Ὄρσ', Ἀσκληπιάδη, καλέει κρείων Ἀγαμέμνων,
Ὄφρα ἴδῃς Μενέλαον ἀρήϊον Ἀτρέος υἱόν,
Ὅν τις ὀϊστεύσας ἔβαλεν, τόξων ἐῢ εἰδὼς,
Τρώων, ἢ Λυκίων· τῷ μὲν κλέος, ἄμμι δὲ πένθος.
Ὣς φάτο· τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε.
Βὰν δ' ἰέναι καθ' ὅμιλον ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν.
Ἀλλ' ὅτε δή ῥ' ἵκανον, ὅθι ξανθὸς Μενέλαος
Βλήμενος ἦν· περὶ δ' αὐτὸν ἀγηγέραθ' ὅσσοι ἄριστοι
Κυκλόσ', ὁ δ' ἐν μέσσοισι παρίστατο ἰσόθεος φώς.
Αὐτίκα δ' ἐκ ζωστῆρος ἀρηρότος ἕλκεν ὀϊστόν·
Τοῦ δ' ἐξελκομένοιο, πάλιν ἄγεν ὀξέες ὄγκοι.
Λῦσε δέ οἱ ζωστῆρα παναίολον, ἠδ' ὑπένερθε
Ζῶμά τε, καὶ μίτρην, τὴν χαλκῆες κάμον ἄνδρες.

Sic dixit: neque ei præco minùs audiens fuit dicto,
Perrexitque ire per medias copias Achivorum loricatorum,
Luſtrans oculis heroem Machaonem: illumque advertit
Stantem. Circa ipſum validi ordines ſcutatorum
Militum, qui eum a Triccâ ſecuti erant altrice equorum.
Propè igitur ſtans, volucria hæc verba protulit:
Huc age, Aſclepiade, vocat rex Agamemnon,
Ut videas Menelaum martium, Atrei filium,
Quem aliquis miſsâ ſagittâ vulneravit, ſagittandi peritus,
Trojanorum, vel Lyciorum: ei quidem gloria, nobis vero luctus.
Sic dixit: atque animum in pectore commovit:
Perrexeruntque ire inter turbas per ampla caſtra Achivorum.
Sed, quum jam eò perveniſſent, ubi flavus Menelaus
Vulneratus erat, circaque eum congregati fortiſſimi quique,
Coronâ factâ, ille inter medios ſtabat, vir Deo æqualis.
At protinus e baltheo benè aptato ſagittam extrahit;
Quumque ea extraheretur, retro fracti ſunt acuti unci:
Solvitque ei baltheum varium, & ſubter
Cingulumque, & laminam, quam fabri fecerant ærarii.

ξα΄. Δύο ὄντων ἐπιφανῶν Ἕλλησιν ἰατρῶν, Ποδαλείριος μέν, οὗ ἡ ἐτυμολογία προ-
Baſ. p. 353. γέγραπται, περὶ δίαιταν ἐπονεῖτο· Μαχάων δὲ περὶ τραύματα εἶχε, Τρίκκης καὶ αὐτὸς ἄρχων, πόλεως Θετταλικῆς, ἣν, ὡς καὶ ἐν Βοιωτίᾳ ἐγράφη, ἄρτι Τρίκκαλα φαμὲν καλου-

LXI. Duo apud Græcos erant medici periluſtres, Podalirius, cujus nominis etymologia ſupra allata eſt, & Machaon. Podalirius eam medicinæ partem ſectabatur, quæ victûs rationem præſcribit: Machaon vulneribus curandis operam dabat, Triccæ & ipſe dux, atque moderator, urbis Theſſalicæ, quam, ut in Bœotiâ ſcriptum eſt, Triccala recens diximus appellatam, ipſam quoque

1. ἠδ' ἐπιθήσει) ἀντὶ τοῦ ἐπιτίθεσθαι, propterea quòd affectæ parti imponantur, dicuntur ἐπιθέματα. Italicè pittime. Salvinus.

2. ἤπια φάρμακα) Ideſt, ἀνώδυνα, lenia medicamenta, ad leniendos dolores. Salvinus.

3. πάσσε) Inde cataplaſmata. Salvinus.

4. λεγόμενον οὕτω διὰ τὸ παρηλκύσθαι) Etymologici Magni Auctor: παρὰ τὸ ἕλκω ἕλκος, ἡ διελκομένη σάρξ, ἡ μὴ συμμένουσα. Politus.

5. ἄπελος αὐτὸ εἶπε Καλλίμαχος) Euſtathius ad Odyſſeam, ὅθεν καὶ ἕλκος γίνεται, ἀντίξ, λύσις συνεχείας, κατὰ τοὺς σοφούς. ὅθεν παραλαβὼν Καλλίμαχος, ἄπελος τὸ ἕλκος φησὶ παρὰ τὸ μὴ πελάζειν. Politus.

6. Τὸ φάρμακον δέ, μέση λέξις) Homerus: φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά. Citatur hic locus in L. Venenum. Digeſtorum, titulo de verborum ſignificatione. Salvinus.

7. Λαῶν, οἵ οἱ ἕποντο Τρίκης) Vulgo: Λαοί, οἵ οἱ ἕποντο Τρίκης. Barneſius autem legebat: Λαῶν, οἵ οἱ ἕποντο Τρίκκης. Politus.

Digitized by Google

que ἱππόβοτον, *equis paſcendis aptam*, ut vocat quidam Poëta: quoniam Argos ἱππόβοτον, *a paſcendis equis celebratum*, novimus, non Peloponneſum modò; ſed etiam Theſſaliam. Erat autem Machaon rei militaris peritus, ut ipſum ejus nomen ſubdocet. Erant ambo Ἀσκληπιάδαι, *Aſclepiadæ*, filii videlicet Aſclepii, hoc eſt, Æſculapii, Medici ſanè præſtantiſſimi, ut eum laudat Poëta. Chironis auditor Æſculapius. Chiron autem, inventor medicinæ, ac Lyricæ, Philyræ, & Saturni filius, unus Centaurorum: a quo appellata ſunt vulnera Chironia, ideſt, ægrè ſanabilia, ſeu quibus remedium vix ſuppetat: quæ nimirum demonſtravit Chiron, qua ratione curarentur. Vocatus fertur Ἀσκληπιός, *Aſclepius, hoc eſt, Æſculapius*, aut quia ſemet ἤπιον, *benignum, ac lenem*, exhibuit atque præſtitit Aſcleto Epidaurio, quem oculis laborantem ſanavit, aut, pleonaſmo τοῦ λ', παρὰ τὸ ἀσκεῖν ἠπίως τοὺς νοσοῦντας, hoc eſt, ἐπιμελείας ἀξιοῦν, *ex eo, quòd ægrotis leniter, ac benignè operam daret, hoc eſt, diligenter, ac ſollicitè eos curaret*; aut ex eo quòd minimè eos fineret σκελετεύεσθαι, *morbo exareſcere*, quippe qui ἠπίως, *benignè, ac placide*, cum iis ageret, eoſque perhumaniter tractaret. Sed difficultas eſt in accentu acuto hujus nominis: ſiquidem alioquin compoſitio retrahere ſolet accentus. Itaque Demoſthenes benè feciſſe perhibetur, ut vocem hanc in antepenultimâ acueret, legeretque, Ἀσκλήπιος, *Aſclepius*. Eadem eſt etiam difficultas in τῷ ἔμπορος, *mercator, ſeu negotiator*, & λογέμπορος, *verborum negotiator, ſeu mercaturam verborum exercens*, ut patet ex Commentariis in Odyſſeam. immo etiam fortaſſe in μύδρος, *maſſa ignita, ſeu ferrum ignitum*, & ἀμυδρός, *obſcurus, vix apparens, exilis*; nec non in quibuſdam aliis vocibus.

LXII. His in verbis: τόξων εὖ εἰδώς, *arcuum, ſeu artis ſagittariæ benè gnarus, ſagittandi peritus*, τὸ εὖ εἰδώς, *benè gnarus*, ſumit Poëta pro ἐπιστήμων ὤν, *qui eſt benè ſciens, peritus, ſcientiâ præditus*, ut & in aliis ſexcentis locis: quum alioquin ſoleat ipſum per ſeſe dumtaxat τὸ εἰδώς, *gnarus, ſeu ſciens*, conſtruere cum genitivo. Porrò autem τόξα, *arcus cum ſagittis*, ſcientiam intelligit emittendarum arcu ſagittarum, ſive artem ſagittariam, dum narrat, ut Menelaum vulneraverit unus aliquis Trojanorum, aut Lyciorum, τόξων εὖ εἰδώς, *bene ſciens, ac peritus artis ſagittariæ, bonus ſagittarius*. Ubi τὸ Λυκίων, *Lyciorum*, a parte omnes ſignificat ſocios, atque auxiliarios Trojanorum. Digni autem, qui memorarentur, Lycii, utpote multi, valdèque acres, ac vehementes in bello, ut alicubi poſtea dicit ipſe idem Poëta. Ceterùm Lycios, non eos rex intelligit, qui ſubjecti erant, atque obedientes Pandaro, qui & ipſi, ut ſupra explicatum eſt, erant Trojani; ſed alios ex magnâ Lyciâ, qui ſub imperio erant Sarpedonis. Sic etiam Argivi, & Achivi a parte, omnes Græci. Præſtantiſſimo, fortiſſimoque viro, qui vulnus acceperit, celebrando appoſitum eſt illud: Ὅν τις ὀϊστεύσας ἔβαλε· τῷ μὲν κλέος, ἄμμι δὲ πένθος. *Quem neſcio*

Tom. III. *quis*

λιμένην, καὶ αὐτὴν ἱππόβοτον, ὡς ὁ Ποιητὴς λέγει· ἐπεὶ καὶ Ἄργος ἱππόβοτον ἔγνωμεν, οὐ μόνον τὴν Πελοπόννησον, ἀλλὰ καὶ τὰ κατὰ Θετταλίαν. Ἦν δὲ στρατιωτικώτερος ὁ Μαχάων, [1] ὡς καὶ ἡ κλῆσις ὑποδηλοῖ. Ἄμφω δὲ Ἀσκληπιάδαι ἦσαν, ἤτοι παῖδες Ἀσκληπιοῦ, ἀμύμονος ἰητῆρος, ὥς φησιν ὁ Ποιητής. Ἀσκληπιὸς δὲ Χείρωνος μαθητής. Χείρων δὲ εὑρετὴς ἰατρικῆς, καὶ λυρικῆς, υἱὸς Φιλύρας, καὶ Κρόνου, εἷς τῶν κενταύρων· ἐξ οὗ Χειρώνεια ἕλκη τὰ δυσαλθῆ. ἃ δηλαδὴ Χείρων κατέδειξε θεραπεύεσθαι. Ἐκλήθη δέ, φησιν, Ἀσκληπιός, ἢ διότι [2] Ἄσκλητον Ἐπιδαύριον ὀφθαλμιῶντα ἰάσατο, ἤπιος ἐκείνῳ φανείς, ἢ, πλεονασμῷ τοῦ λ', παρὰ τὸ ἀσκεῖν ἠπίως τοὺς νοσοῦντας, ὅ ἐστιν, ἐπιμελείας ἀξιοῦν, ἢ παρὰ τὸ μὴ σκελετεύεσθαι αὐτοὺς ἐᾶν, ἠπίως προσφερόμενον. [3] Ἡ δὲ ὀξυτόνησις τοῦ ὀνόματος, ἀπορίαν ἔχει· ὥσπερ καὶ ἄλλως αἱ συνθέσεις τοὺς τόνους ἀναβιβάζουσι. Καλῶς οὖν ἐποίει Δημοσθένης, ὡς ἱστορεῖται, προπαροξύνων τὴν λέξιν, καὶ ἀναγινώσκων, Ἀσκλήπιος. Ἡ δ' αὐτὴ ἀπορία καὶ ἐπὶ τοῦ ἔμπορος, καὶ [4] λογέμπορος, ὡς δηλοῦται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Ἴσως δὲ καὶ ἐπὶ τοῦ, μύδρος, καὶ [5] ἀμυδρός· καὶ ἐπὶ ἑτέρων δέ τινων.

ξβ'. Ἐν τῷ, τόξων εὖ εἰδώς, τὸ μὲν εὖ εἰδώς, ἀντὶ τοῦ, ἐπιστάμενος ὤν, λαμβάνει ὁ Ποιητής, καθὰ καὶ ἐν ἄλλοις μυρίοις· εἰωθὼς καὶ ἄλλως, τὸ εἰδὼς μόνον αὐτὸ γενικῇ συντάσσειν. Τόξα δὲ τὴν τοῦ τοξεύειν ἐπιστήμην νοεῖ, λέγων, ὅτι τὸν Μενέλαον ἔβαλέ τις Τρώων, ἢ Λυκίων, τόξων εὖ εἰδώς. Τὸ δὲ Λυκίων, ἀπὸ μέρους πάντας δηλοῖ τοὺς ἐπικούρους τῶν Τρώων· Ἄξιοι δὲ λόγου οἱ Λύκιοι, ὡς πολλοί, καὶ ζαχρηεῖς ἐν πολέμῳ ὄντες, καθά που αὐτὸς ἐρεῖ ὁ *Rom. p.464.* Ποιητής. Λυκίους δέ, οὐ τοὺς ὑπὸ τῷ Πανδάρῳ λέγει ὁ βασιλεύς, οἳ καὶ αὐτοί, ὡς προείρηται, Τρῶες ἦσαν· ἀλλὰ τοὺς ἐκ τῆς μεγάλης Λυκίας, οἵπερ ἦσαν ὑπὸ τῷ Σαρπηδόνι. Οὕτω δὲ καὶ Ἀργεῖοι, καὶ Ἀχαιοὶ ἀπὸ μέρους, [6] πάντες οἱ Ἕλληνες. Σεμνύνει ἀριστέα βληθέντα τό, Ὅν τις ὀϊστεύσας ἔβαλε. τῷ μὲν κλέος, ἄμμι δὲ πένθος.

H 2 Οὐ-

1. ὡς καὶ ἡ κλῆσις ὑποδηλοῖ) Μαχάων ἀπὸ τοῦ μάχεσθαι, *pugnax*. Salvinus.

2. Ἄσκλητον Ἐπιδαύριον) An legendum Ἀσκλῆ τὸν Ἐπιδαύριον, ut meliùs hoc etymon conveniat τῷ Ἀσκληπιῷ; Salvinus.

Aſcletum hunc Epidaurium, ſeu Aſclem, minimè nominat Etymologici Magni Auctor. Scribit, Epidauri tyrannum, oculis laborantem, curatum fuiſſe ab Aſclepio; indeque Aſcleptum fuiſſe appellatum, quum prius Epius vocaretur, quòd non ſineret τὰ σκέλη ἐγκλείεσθαι. hinc autem, tamquam a parte, totum corpus ſignificari. Etymologus: Ἀσκληπιός, ὁ μὴ ἐῶν τὰ σκέλη ἐγκλείεσθαι, καὶ ξηραίνεσθαι. ἀπὸ μέρους δὲ τὸ ὅλον σῶμα δηλοῖ. ἢ γ' τὸν Ἐπιδαύριον τύραννον ὀφθαλμιῶντα θεραπεύσας, ἐκλήθη Ἀσκληπιός. πρότερον γὰρ Ἤπιος ἐκαλεῖτο. Politus.

3. Ἡ δὲ ὀξυτόνησις τοῦ ὀνόματος, ἀπορίαν ἔχει) Quaſi ſcribatur Ἀσκληπιός. Salvinus.

4. λογέμπορος) vox aliis proparoxytona. *Polit.*

5. ἀμυδρός) Quaſi deberet eſſe ἄμυδρος, cum accentu in antepenultimam retracto, ob compoſitionem nominis. *Salvin.*

6. πάντες οἱ Ἕλληνες) Euſtathius habet, *omnes Hellenes*. quo nomine communiter apud Græcos indigitantur Græci. Verùm Hellenes propriè ſunt populi Theſſaliæ. Γραικοί. hæc appellatio reperitur apud Herodotum Græcæ hiſtoriæ patrem, & hoc vetus nomen retinuerunt Latini: apud quos Græci non Hellenes, ſed Græci dicuntur. *Salvinus.*

Οὕτω δὲ καὶ τό, Βλήμενος ἦν· περὶ δ' αὐτὸν ἀγηγέραθ' ὅσσοι ἄριστοι, κυκλόσε. ὁ δ' ἐν μέσσοισι παρίστατο ἰσόθεος φώς. Τοιοῦτος δὲ παρὰ τῷ Ποιητῇ ὁ Μενέλαος, ὃν οὐ καινοπραγεῖ ὀνομάσας ἰσόθεον· ὅγε καὶ [1] τὸν Ἀλέξανδρον θεοειδέα ἐκάλεσε, καὶ τὸν Πάνδαρον ἀντίθεον. Ἐγκωμιαστικὸς γὰρ τὰ πολλὰ ὁ Ποιητής, ὡς προεῤῥέθη, καὶ τοὺς ἥρωας, ἀφ' ὧν ἂν ἔχοιεν, ἀγαθῶν χαρακτηρίζει· ἐπικρύπτων, εἴτι που καὶ φαῦλον ἔχουσι, καὶ οὐ βλασφημῶν εἰς οὐδὲν δέον, [2] κατὰ τὸν ἐπίτριπτον Ἀρχίλοχον, ἢ τὸν ἀργαλέον Ἱππώνακτα, ἢ εἴτις ἄλλος ἐπεσβόλος ἦν, κατ' αὐτούς.

quis miſſâ ſagittâ vulneravit. illi quidem gloria; nobis verò luctus. Sic & illud: Βλήμενος ἦν· περὶ δ' αὐτὸν ἀγηγέραθ' ὅσσοι ἄριστοι, κυκλόσε. ὁ δ' ἐν μέσσοισι παρίστατο ἰσόθεος φώς. Vulneratus erat; circaque eum congregati erant fortiſſimi quique, facta coronâ. Ille verò inter alios ſtabat, vir planè deo æqualis. Talis autem apud Poëtam Menelaus: quem cum ἰσόθεον, æqualem deo, nominat, nihil ſanè facit novi: quippe quum & Alexandrum θεοειδέα, ſimilem deo, vocet, & Pandarum ἀντίθεον, diis æquiparandum. Facilis namque, effuſuſque ut plurimùm in laudes eſt Poëta, ut ſupra monitum eſt, heroaſque ab iis bonis, quibus præditi umquam eſſe poſſint, exprimit, atque informat: quum interea celet, ſiquid etiam habeant mali, nec præter cauſſam in hominem quemquam maledicus eſſe velit, aut contumelioſus, ut perditus ille improbuſque Archilochus, aut durus Hipponax, aut ſiquis eſt alius, qui, eorum Poëtarum more, conviciis, ac maledicentiæ ſtuduerit.

Αὐτὰρ ἐπεὶ ἴδεν ἕλκος, ὅθ' ἔμπεσε πικρὸς ὀϊστός,
Αἷμ' ἐκμυζήσας, ἐπ' ἄρ' ἤπια φάρμακα εἰδὼς
Πάσσε, τά οἵ ποτε πατρὶ φίλα φρονέων πόρε Χείρων.
Ὄφρα τοὶ ἀμφεπένοντο βοὴν ἀγαθὸν Μενέλαον,
Τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων.
Οἳ δ' αὖτις κατὰ τεύχε' ἔδυν, μνήσαντο δὲ χάρμης.
Ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα δῖον,
Οὐδὲ καταπτώσσοντ', οὐδ' οὐκ ἐθέλοντα μάχεσθαι·
Ἀλλὰ μάλα σπεύδοντα μάχην ἐς κυδιάνειραν.
Ἵππους μὲν γὰρ ἔασε, καὶ ἅρματα ποικίλα χαλκῷ·
Καὶ τοὺς μὲν θεράπων ἀπάνευθ' ἔχε φυσιόωντας
Εὐρυμέδων, υἱὸς Πτολεμαίου Πειραΐδαο.
Τῷ μάλα πόλλ' ἐπέτελλε παρισχέμεν, ὁππότε κέν μιν
[3] Γυῖα λάβῃ κάματος πολέας διακοιρανέοντα.

Poſtea verò quàm vidit vulnus, quà inciderat amara ſagitta,
Sanguine exſucto, lenia medicamenta ſciens
Inſperſit, quæ ejus quondam patri amicus præbuerat Chiron.
Dum hi occupati erant in bellicoſo Menelao,
Interea Trojanorum ordines ſupervenerunt ſcutatorum.
Hi verò rurſus arma induerunt, & recordati ſunt pugnæ.
Tunc non dormitantem vidiſſes divum Agamemnonem,
Neque trepidantem, neque detrectantem prælium;
Sed valde properantem in glorioſam pugnam.
Equos enim dimiſit, curruſque ære varios:
Et hos quidem famulus ſeorſum tenebat anhelantes
Eurymedon, filius Ptolemæi Piraidæ.
Huic etiam atque etiam mandavit, ut prope teneret, ſiquando ipſum
Per membra cepiſſet defatigatio per multos imperitantem.

ξγ'. Τὸ ἐκπιέσαι τὸ τοῦ ῥηθέντος ἕλκους αἷμα, ἐκμυζῆσαι λέγει. ἐγίνετο δέ, φασι, τοῦτο, ἵνα μὴ πυώσῃ σαπέν, καὶ βλάψῃ τὴν ἀπούλωσιν. Τοῦτο δὲ ἀνωτέρω ἐπιμάσσεσθαι εἶπεν. Ἀλλ' οἷον μὲν τὸ Ὁμηρικὸν τοῦτο ἐκμυζῆσαι, ᾔδεισαν οἱ τότε τὰ τοιαῦτα ἕλκη μεταχειριζόμενοι· εἰ δὲ νῦν βλέπουσι πολλούς, καὶ μάλιστα τῶν βαρβαρικωτέρων, ὁπηνίκα τραῦμά τινι ἐντριβῇ, τῷ στόματι ἐκμυζῶντας τὸ αἷμα τοῦ ἕλκους, θεραπείαν καὶ οὕτω τεχνωμένους τινά. Μυζᾷ δέ τις οὕτω καὶ γάλα ἐκ θηλῆς, ὡς καὶ δοκεῖν ἐκ τούτου γίνεσθαι τὸν μαζόν, ἐτυμολογούμενον καὶ ἄλλως, ὡς ἀλλαχοῦ δηλοῦται. Μυζᾷ δὲ καὶ μυελόν τις, καὶ ἄλλα τινα τοιαῦτα. Δῆλον δ', ὅτι καὶ [4] βδάλλειν τὸ τοιοῦτον λέγεται, ὡς ἐκ μεταφορᾶς φλεβῶν. Εἰ δέ τι τοιοῦτο δηλοῖ καὶ τὸ βύζην ἐπίῤῥημα, χρὴ ζητῆσαι. [5] Ὠνοματοπεποίηται δὲ καὶ τὸ μυζᾶν ἐκ τοῦ μ' στοιχείου, ἄλλως ἤπερ τὸ μύζειν. [6] Τρεῖς φαρ-

LXIII. Τοῦ ἕλκους, vulneris, quod diximus, ſanguinem exprimere, dicit ἐκμυζῆσαι, exſugere, quod fieri ſolitum tradunt, ne putrefactus ſuppuraret, atque obducendæ cicatrici officeret. Id autem ſupra dixerat ἐπιμάσσεσθαι, abſtergere. At cujuſmodi eſſet Homericum hoc ἐκμυζῆσαι, exſugere, noverant quidem ii, qui talia tunc vulnera tractabant. Noſtrorum verò horum temporum homines pleroſque vident, & maximè barbarorum, cum uni alicui vulnus inflictum fuerit, admoto ore ſanguinem vulneris exſugere, itaque genus quoddam curationis, atque remedii adinvenire. Sic etiam lac quis μυζᾷ, ſugit, ex ubere: adeò ut derivari hinc videatur ὁ μαζός, mamma, ſeu mamilla: cujus tamen vocis alia quoque etymologia affertur, ut alibi declaratur. Quin & medullam, aliaque hujuſcemodi quis dicitur μυζᾶν, ſugere. Manifeſtum autem eſt, dici id etiam βδάλλειν, quaſi ductâ metaphorâ a venis. An verò hujuſcemodi quoque ſignificationem habeat adverbium βύζην, confertim, dense, cumulatè, id planè inquirere oportet. Denique ad imitationem ſoni ex litterâ μ' factum eſt per onomatopœiam τὸ μυζᾶν, muſſare, ſeu muſſitare, quod alioquin ſcilicet dicitur μύζειν, mutire. Tria phar-

1. τὸν Ἀλέξανδρον θεοειδέα ἐκάλεσε) Alexandrum θεοειδέα appellat Homerus, deo ſimilem, hoc eſt, pulchrum. Radiat enim divinitate eſt pulchritudo. Virg. Os humeroſque deo ſimilis. θεοειδὴς κεφαλήν τε, καὶ ὤμους. Heraclitus formoſos aiebat eſſe θνητοὺς θεούς, mortales Deos. Laertius in ejus vitâ. Salvin.

2. κατὰ τὸν ἐπίτριπτον Ἀρχίλοχον] Archilochum proprio rabies armavit Jambo. Horatius. Dicebat ſe ille in maledicentiâ pingueſcere. Hipponax eos, quos conviciis ſuis proſcindebat, ad mortem oppetendam amarulentiâ ſuâ coëgit. Salvinus.

3. Γυῖα λάβῃ κάματος πολέας διακοιρανέοντα) Euſtathius legit: Γυῖα λάβοι κάματος πολέας κατακοιρανέοντα, Politus.

4. βδάλλειν τὸ τοιοῦτον λέγεται) Hinc βδέλλα, ſanguiſuga, Horatius: Non miſſura cutem, niſi plena cruoris hirudo. Salvinus.

Eſt βδέλλα Etymologiarum Græcarum ſcriptori παρὰ τὸ βδάλλω τὸ ἀμέλγω. Βδάλλειν γάρ, inquit, λέγουσιν οἱ Ἀττικοὶ τὸ ἀμέλγειν. καὶ γὰρ ἡ βδέλλα ἀμέλγουσιν ἔοικεν ἐν τῷ αἷμα ἐκσπᾶν. γράφεται βδέλλα, τοῦ α τρεπομένου εἰς ε. Politus.

5. Ὠνοματοπεποίηται δὲ καὶ τὸ μυζᾶν) Vir. muſſat Rex ipſe Latinus. Ipſum exſugere, muſſitare eſt. neque enim ſine ſtrepitu fit. Salvinus.

6. Τρεῖς φαρμάκων ἰδέας παρ' Ὁμήρῳ) Tria hæc pharmacorum genera diſtincta etiam a Scholiaſtâ Theocriti ad Cyclopem: Ἰστέον, ὅτι τῶν φαρμάκων τὰ μέν εἰσι χριστά, ἤγουν, ἅπερ χριόμεθα εἰς θεραπείαν· τὰ δὲ ποτά, ἤγουν, ἅπερ πίνομεν· τὰ δὲ ἐπίπαστα, ἤγουν, ἅπερ ἐπιπάττομεν. Sunt hæc quidem Homerica: quorum duo tantum memorat Theocritus, ἔγχριστα, & ἐπίπαστα. Euripides etiam duo in Hippolyto, χριστά, & ποτά. Sed & alia ſunt pharmaca καταπλαστά, ſeu κατάπλασμα. Pollux lib. 4. c. 25. καὶ φάρμακον καταπλαστόν, κατὰ Ἀριστοφάνην. Ariſtophanes Pluto: Πρῶτον δὲ πάντων τῷ Νεοκλείδῃ φάρμακον καταπλαστὸν ἐνεχείρησε τρίβειν. Alia hæc ſine dubio, atque τὰ ποτά, ſeu πότιμα.

pharmacorum, ſeu medicamentorum, genera apud Homerum. Alia ἐπίπαςα, *quæ inſpergerentur, ſeu inſpergendo adhiberentur*, ut nunc in Menelao, cui lenia medicamenta peritus ille Machaon inſpergebat. Alia χριςά, *unctoria, quibus membra inungerentur, vel quibus jacula, aut ſagittæ perlinerentur*. ut, ἰοὺς χρίεσθαι. *ſagittas perlinere, ſeu ungere*. Alia denique πιςά, ut vocat ea Æſchylus, hoc eſt, ποτά, ſeu πότιμα, *poculenta, ſeu potabilia, quæ per potum darentur*, ut de Helenâ in Odyſſeâ, ubi eam pharmaca, ſeu medicamenta, crateri infundentem inducit. Ex hac iſtâ autem voce non modò eſt vox medica, τὸ φαρμακεύειν, *parare, ſeu conficere medicamenta, medicamentis uti, venenum parare*; ſed etiam τὸ φαρμάσσειν, quod eſt ferri aciem tincturâ temperare, ſeu ferrum intingere, atque immergere, ad ejus aciem indurandam, & generatim tingere, itemque φαρμακῶνες apud veteres, ideſt, tinctorum officinæ.

LXIV. Novit etiam Homerus tres modos, quibus infixa tela, ſagittæque extraherentur, unum ſecando, atque incidendo, in Eurypylo; alterum expellendo, atque extrudendo, infra in Diomede; tertium extrahendo, ut nunc in Menelao. Sic enim narrat: Τοῦ δ' ἐξελκομένοιο, πάλιν ἄγεν ὀξέες ὄγκοι. *Quumque ſagitta extraheretur, retrorſum fracti ſunt acuti unci, ſeu acuti anguli ſunt refracti*. quos ſupra nimirum dixerat. Eſt autem τὸ πάλιν ἄγεν, *retro fracti ſunt*, perinde ac ſi dixiſſet, εἰς τὸ ἔμπαλιν ἐκλάσθησαν. *in contrariam partem fracti, ſeu refracti ſunt*. Idque dictum eſt ad differentiam eorumdem uncorum, ſive hamorum, cum primùm circumaguntur, atque flectuntur, quod in iis fit fabricandis, ut in anguli cuſpidiſque modum conformentur. Quum enim ii, qui tunc conficiuntur, anguli ſurſum reſpiciant; nunc, dum franguntur, retrorſum aguntur, ſeu in partem vertuntur contrariam. Poëtica vox illa ἄγεν, *fracti ſunt*. Sicuti enim dicitur τραφείς, τραφέντος, τράφεν, hoc eſt, ἐτράφησαν, *nutritus, nutriti, nutriti ſunt*; ſic etiam ἀγείς, ἀγέντος, ἄγεν, *fractus, fracti, fracti ſunt*. Τὸ φιλεῖν, *amare*, circumloquendo dicit per periphraſin φίλα φρονεῖν, *bene alicui velle, aut cupere, bono eſſe animo erga aliquem, benevolum eſſe alicui, amore, ac benevolentiâ unum aliquem proſequi*. ut, τά οἱ ποτὲ πατρὶ φίλα φρονέων πόρε Χείρων. *quæ ejus quondam patri benevolus præbuerat Chiron*. is, de quo ſupra dictum eſt. Ad ſollicitam diligentemque operam declarandam, quam quis rei alicui impendat, apposita ſanè vox τὸ ἀμφιπένεσθαι, *de re aliquâ ſatagere, anxiè ac laborioſè in re aliquâ eſſe occupatum, operam in re aliquâ, ac laborem ponere*. Quippe ſic ait: Ὄφρα τοί, videlicet οὗτοι, ἀμφιπένοντο Μενέλαον. *Dum hi de Menelao ſatagebant, circaque eum erant occupati*. Idemque etiam eſt ἀμφιπονεῖσθαι: quippe quum ὁ πόνος,

φαρμάκων ἰδέαι παρ' Ὁμήρῳ. ἐπίπαςα, ὡς νῦν ἐπὶ Μενελάου, ᾧπερ ἤπια φάρμακα εἰδὼς πάσσεν ὁ Μαχάων.[1] καὶ χριςά.[2] οἷον; Ἰοὺς χρίεσθαι. καὶ [3] πιςά, κατὰ τὸν Αἰσχύλον, τουτέςι, ποτά, ἢ πότιμα,[4] ὡς ἐπὶ Ἑλένης ἐν Baſ. p. 354.
Ὀδυσσείᾳ, τῷ κρατῆρι ἀναμιγνυούσης φάρμακα. Ἐκ δὲ τῆς τοιαύτης λέξεως, οὐ μόνον τὸ φαρμακεύειν, ἰατρικὴ λέξις, ἀλλὰ καὶ φαρμάσσειν, τὸ ςομοῦν σίδηρον ἐκ βαφῆς, καὶ τὸ ἁπλῶς βάπτειν, καὶ τὰ βαφεῖα, φαρμακῶνες παρὰ τοῖς παλαιοῖς.

ξδ'. Οἶδε δὲ καὶ τρεῖς βελουλκίας Ὅμηρος, ἐκτομὴν ἐπὶ Εὐρυπύλου, καὶ διωσμὸν ἐν τοῖς ἑξῆς ἐπὶ Διομήδους, καὶ ἐξολκὴν, ὡς νῦν ἐπὶ Μενελάου. Φησὶ γάρ· Τοῦ δ' ἐξελκομένοιο, πάλιν ἄγεν ὀξέες ὄγκοι. οἱ προῤῥηθέντες δηλαδή. Ἔςι δὲ τὸ πάλιν ἄγεν, ἀντὶ τοῦ εἰς τὸ ἔμπαλιν ἐκλάσθησαν. Τοῦτο δὲ εἴρηται πρὸς διαςολὴν τῆς πρώτης περιαγωγῆς, καὶ κλάσεως, ἣν οἱ ὄγκοι πάσχουσι, γλωχινούμενοι ἐν τῷ χαλκεύεσθαι. Τότε μὲν γὰρ ἐπὶ τὸ ἄνω ἀφορῶντες γωνιοῦνται· νῦν δὲ θραυόμενοι, ἔμπαλιν ἄγονται. Ποιητικὴ δὲ λέξις καὶ τὸ ἄ- Rom. p. 465.
γεν. καὶ ἔςιν ὥσπερ τραφεὶς τραφέντος τράφεν, ὅ ἐςιν, ἐτράφησαν, οὕτω καὶ ἀγεὶς ἀγέντος ἄγεν. Τὸ φιλεῖν, φίλα φρονεῖν λέγει περιφραςικῶς. οἷον, τά οἱ ποτὲ πατρὶ φίλα φρονέων πόρε Χείρων ὁ προῤῥηθείς. Καιρία λέξις ἐπὶ σπουδαίας ἐνεργείας, τὸ ἀμφιπένεσθαι. Φησὶ γοῦν· Ὄφρα τοί, ἤγουν οὗτοι, ἀμφεπένοντο Μενέλαον. τὸ δ' αὐτὸ καὶ ἀμφι-

ἐπίπαςα, & ἐμπάςα. Et rectè ſecernit Scholiaſta Ariſtophanis: Τῶν φαρμάκων τὰ μὲν ἐςι καταπλαςά· τὰ δὲ, χριςά· τὰ δὲ, ποτά. τινὰς δὴ φρονταρχοῦντας, καταπλαςα λέγοντες. ἐςὶ ὧν πηςίν, τὸ ἐπιτιθέμενον πλαςτόν, τὸ πλαττόμενον. ὃ καὶ καταπλαςὸν λέγεται. καὶ πιςόν, τὸ πινόμενον. Ruſus alia pharmaca, βρωτά. Æſchylus Prometheo: Οὐκ ἦν ἀλέξημ' οὐδέν, οὐδὲ βρώσιμον, Οὐ χριςόν, οὐδὲ πιςόν. Scholiaſta: οὐκ ἦν οὐδὲν βοήθημα θεραπείας, ὅτι διὰ βρώσεως προσφερόμενον, ὅτι δι' ἐπιχρίσεως ἔξωθεν, ὅτι διὰ πόσεως. Alia denique ἐπαοιδά. qualia dicit alicubi Porphyrius. Unde colligitur, generalem pharmacorum diviſionem fieri poſſe in ἐπίπαςα, χριςά, ποτά, βρωτά, & ἐπαοιδά. Nam quæ alia pharmaca ab aliis adnumerantur, ea ad unum aliquod ex iſtis quinque generibus facilè reducuntur. *Politus*.

1. καὶ χριςά) Hæc duo genera pharmacorum conjunxit Theocritus in Cyclope: Οὐδὲν ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο, Νικία, οὔτ' ἔγχριςον, ἐμὶν δοκεῖ, οὔτ' ἐπίπαςον, Ἢ ταὶ Πιερίδες. Salvinus.

2. οἷον, Ἰοὺς χρίεσθαι) In Odyſſeâ: Φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη ἰοὺς χρίεσθαι. Sed hoc genus erat mali pharmaci, & ἀνδροφόνου. quale etiam illud οὐλόμενον Circes. Boni pharmaci χριςοῦ alibi apud Homerum mentio, ut Il. lib. ξ. de Junone: ἀλείψατο δὲ λίπ' ἐλαίῳ, Ἀμβροσίῳ, ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν. Et lib. ψ' de Venere: ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ, Ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυςάζων. Et Odyſſ. lib. κ' de Circe:

Ἐρχομένη προσέλεκτο ἐκάςῳ φάρμακον ἄλλο.
Τὸν δ' ἔτι μᾶλλον τρίχες ἔῤῥεον, ἃς πρὶν ἔφυσε
Φάρμακον οὐλόμενον, τό σφιν πόρε πότνια Κίρκη.

Politus.

3. πιςά) potabilia, ἀπὸ τοῦ πιεῖν. Salvinus.

πιςά, τὰ διὰ πόσεως, ἀπὸ τοῦ πιω πίσω φάρμακον. Polit.

4. ὡς ἐπὶ Ἑλένης ἐν Ὀδυσσείᾳ, τῷ κρατῆρι ἀναμιγνυούσης φάρμακα) Odyſſ. lib. δ'.

Αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον, ἔνθεν ἔπινον,
Νηπενθές τ', ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων·
Ὃς τὸ καταβρόξειεν, ἐπὴν κρητῆρι μιγείη. Politus.

φιλοπονεῖσθαί ἐστιν,[1] ὡς τοῦ πόνου, καὶ τοῦ πονεῖν, γινομένων ἐκ τοῦ πένεσθαι.

ξε΄. Πάνδαρος μὲν κατὰ Μενελάου οἰστεύσας, κατῆρξε κακοῦ· ἐπηκολούθησαν δὲ Τρώων στίχες ἀσπιστάων, οἳ πρῶτοι ἐπιδραμόντες, ἐπῆλθον αὐτοὶ τοῖς Ἕλλησι, διὰ τὸ ἴσως νομίσαι, θελήσει τῶν Τρωϊκῶν βασιλέων, παρασπονδῆσαι τὸν Πάνδαρον. Πάντες οὖν ἰδοὺ τοὺς ὅρκους ἐπάτησαν. Δεόντως ἄρα καὶ ἀπολοῦνται πάντες, κατὰ τὸ, Ζεὺς ἐπισσείῃ ἐρεμνὴν αἰγίδα πᾶσι. Τοὺς δὲ ἀσπιστάς,[2] ἀσπιδοφέρμονα θίασον ἡ Τραγῳδία εἶπεν. Τὸ ἐνδύσασθαι τὰ ὅπλα, καταδῦναι τεύχεα λέγει. Φησὶ γοῦν· Οἱ δὲ κατὰ τεύχε᾽ ἔδυν, μνήσαντο δὲ χάρμης.[3] Μετῆκται δὲ ἡ λέξις ἀπὸ τῶν εἰς βάθος δυνόντων. Δύναται δὲ ταυτὸν τῷ ἀμφιέσασθαι, καὶ ἀμφιβαλέσθαι, καὶ περιβαλέσθαι. Λέγεται δέ τις καὶ πόλιν δύνειν, καὶ πόλεμον. Ἰστέον δὲ, ὅτι, ὥσπερ ἐκ τῆς γενικῆς μετοχῆς τοῦ λέγοντος, ἀποκοπῇ τοῦ τέλους, γίνεται τρίτον πληθυντικὸν παρῳχημένου χρόνου, μετὰ αὐξήσεως, ἔλεγον ἐκεῖνοι· ὁμοίως καὶ τύπτοντος, ἔτυπτον, καὶ τρέχοντος, ἔτρεχον, καὶ ὅσα τοιαῦτα· οὕτω καὶ ἐκ τοῦ φὺς ὀξυτόνου, φύντος, ἔφυν· καὶ φὰς φάντος, ἔφαν· καὶ βὰς βάντος, ἔβαν·[4] καὶ στάντος, ἔσταν· μιχθεὶς μιχθέντος, ἔμιχθεν· καὶ δύντος, ἔδυν. Καθ᾽ ὅμοιον δὲ λόγον καὶ φαανθέντος, ἐφάανθεν Αἰολικόν· καὶ πληγέντος, ἔπληγεν· καὶ κοσμηθέντος, ἐκόσμηθεν· καὶ τὰ τοιαῦτα, περὶ ὧν καὶ προγέγραπται.[5] Πολλαχοῦ δὲ καὶ ἀναύξητα τὰ τοιαῦτα. ὁποῖον τὸ τραφέντος τράφεν· ἀγέντος ἄγεν, ὡς ἀνωτέρω κεῖται. ἀγερθέντος ἄγερθεν. βλαβέντος βλάβεν, καὶ ἄλλα.

ξστ΄. Σπουδὴν πολλὴν τοῦ βασιλέως ἐνδείξασθαι θέλων, διὰ συνεχῶν ἥκει συντόμως καὶ ἐνταῦθα μετοχῶν, κατὰ σχῆμα ἄρσεως, καὶ θέσεως, πλεοναζούσης διὰ κάλλος τῆς ἄρσεως. Εὐειδὲς γὰρ σχῆμα καὶ αἱ ἀποφάσεις. καί φησιν· Ἔνθ᾽ οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα δῖον, οὐδὲ καταπτώσσοντα, οὐδ᾽ οὐκ ἐθέλοντα μάχεσθαι, ἀλλὰ μάλα σπεύδοντα

τα

πόνος, labor, ſeu opera rei alicui impenſa, & τὸ πονεῖν, laborare, ſeu operam in re aliquâ ponere, deriventur ex πένεσθαι, laborioſè aliquid facere, ſeu in re aliquâ eſſe cum labore occupatum.

LXV. Pandarus ut ſceleris initium fecerat, miſsâ in Menelaum ſagittâ; ſic eum ſubſecuti ſunt ordines Trojanorum ſcutatorum, qui primi incurrentes, irruerunt ipſi in Græcos, eo quòd fortaſſe exiſtimabant, Trojanorum regum voluntate factum eſſe, ut fœdus Pandarus violaret, atque rumperet. Ecce igitur tibi ſtant omnes adversùs fœdus, & jusjurandum conculcant. Ergo etiam meritò atque jure omnes ſunt perituri, prout dixerat, Jovem omnibus ægidem tenebroſam incutere. Ἀσπιστὰς autem, *i. e. ſcutatos*, quos vocat, eos Poëta Tragicus dicit ἀσπιδοφέρμονα θίασον, *turbam, ac multitudinem ſcutiferorum*. Induere arma, dicit καταδῦναι τεύχεα, *arma ſubire*. Hæc enim ejus verba: Οἱ δὲ κατὰ τεύχε᾽ ἔδυν, μνήσαντο δὲ χάρμης. *Hi verò arma ſubierunt, & recordati ſunt pugnæ*. Ducta autem ea vox eſt per metaphoram ἀπὸ τῶν εἰς βάθος δυνόντων, *ab iis, qui profundum ſubeunt, ſeu in profundum ſeſe demergunt*: idemque valet, atque τὸ ἀμφιέσασθαι, *induere*, & ἀμφιβαλέσθαι, ſeu περιβαλέσθαι, *amicire, veſte contegere, ſeu cooperire, veſtem, ſeu arma circumiicere, armis munire*. Immo & quis dicitur πόλιν δύνειν, καὶ πόλεμον, *urbem ingredi, atque pugnam*. Quod autem ſcire oportet, ſicuti ex genitivo participii λέγοντος, *dicentis*, reciſâ in fine per apocopen ſyllabâ, fit tertia numero multitudinis perſona Præteriti temporis cum incremento, ἔλεγον ἐκεῖνοι, *dicebant illi*; ſimilique modo ex τύπτοντος, *verberantis*, fit ἔτυπτον, *verberabant*; itemque ex τρέχοντος, *currentis*, ἔτρεχον, *currebant*, & quæcumque alia ſunt hujuſcemodi, ſic etiam ex φὺς, *natus*, quæ vox eſt oxytona, φύντος, *nati*, ἔφυν, *nati ſunt*; ex φὰς, φάντος, *fatus, fati*, ἔφαν, *fati ſunt*; ex βὰς, βάντος, *incedens, incedentis*, ἔβαν, *inceſſerunt*; ex στὰς, στάντος, *ſtans, ſtantis*, ἔσταν, *ſteterunt*; ex μιχθεὶς, μιχθέντος, *mixtus, mixti*, ἔμιχθεν, *mixti ſunt*; ex δὺς, δύντος, *induens, induentis*, ἔδυν, *induerunt*. Ac præterea ſimili ratione ex φαανθέντος, *apparentis, viſi, oſtenſi*, Æolicum verbum ἐφάανθεν, *apparuerunt, viſi ſunt, atque oſtenſi*; ex πληγέντος, *percuſſi*, ἔπληγεν, *percuſſi ſunt*, ex κοσμηθέντος, *ornati*, ἐκόσμηθεν, *ornati ſunt*; aliaque hujus generis, de quibus ſupra etiam ſcriptum eſt. Quin & hujuſcemodi verba ſæpe carent incremento. cujuſmodi eſt τὸ τραφέντος, τράφεν, *nutriti, nutriti ſunt*. ἀγέντος, ἄγεν, *fracti, fracti ſunt*, ut habetur ſupra. ἀγερθέντος, ἄγερθεν, *congregati, congregati ſunt*. βλαβέντος, βλάβεν, *læſi, læſi ſunt*, aliaque id genus.

LXVI. Quum oſtendere velit & tamquam ob oculos ponere magnam feſtinationem, & celeritatem regis; hoc etiam loci conciſè atque expeditè continuis participiis graditur per figuram negationis, atque affirmationis; ita tamen, ut propter ornatum, & elegantiam ſit aliquantò frequentior, atque copioſior negatio. Nam & perpulchra orationis figura ſunt negationes. Itaque in hunc modum loquitur: Tunc non dormitantem vidiſſes Divum Agamemnonem, neque trepidantem, neque recuſantem pugnare; ſed valde properantem in glorio-

ſam

1. ὡς τοῦ πόνου, καὶ τοῦ πονεῖν, γινομένων ἐκ τοῦ πένεσθαι) Labor dicitur improbus, quaſi πόνος πονηρός. Nemo pauper bonus. πενιχρὸς δ᾽ οὐδεὶς πέλετ᾽ ἐσθλός. A verbo πένεσθαι πόνος, *labor*, & πενία, *paupertas*. Salvinus.

2. ἀσπιδοφέρμονα θίασον) γέννας ἀσπιδοφέρμονα, θίασον ἔνοπλον. Euripides in Phœniſſis v. 802.

Σπαρτῶν γέννα ἀσπιδοφέρμονα,
Θίασον ἔνοπλον.

Politus.

Ἀσπιδοφέρμων. *armiger, ſcutifer*. ὁπλοφόρος. Salvinus.

ἀσπιδοφέρμων quibuſdam ἀσπιδοφόρος. Alii ἀσπιδοθρέμμων. Scholiaſta Euripidis: Ἀσπιδοφέρμονα, τουτέστιν, ἀσπιδοθρέμματα, φέρμα γὰρ, τὸ θρέψαι. τὸν ὑπὸ ἀσπίδι τραφέντα, πολεμιστὴν, ἢ στρατιώτην, ἢ πολεμικόν. Politus.

3. Μετῆκται δὲ ἡ λέξις ἀπὸ τῶν εἰς βάθος δυνόντων) Induere ἀπὸ τοῦ ἐνδύειν. Περιβάλλεσθαι, *quaſi veſte circumſepiri*. Hinc περιβόλαιον, *pallium*; & cataphracti equites, *quaſi armis in totum ſepti*. Salvinus.

4. καὶ στάντος) Ad ſervandam analogiam aliorum exemplorum, velim, legas: καὶ στὰς, στάντος. Sicuti & paullò poſt, καὶ δὺς, δύντος. Politus.

5. Πολλαχοῦ δὲ καὶ ἀναύξητα τὰ τοιαῦτα) Hæc verba carent auctione, ſeu additamento, tam ſyllabico, quàm temporali, apud poëtas tantummodò, quum hoc iis opus eſt. *Salvinus*.

Digitized by Google

ſam pugnam. Quippe quum ex equis deſiluiſſet, has & illas muneris ſui partes exſequebatur, pedibuſque circumibat: ut voluntario nimirum hoc labore pudorem Græcis incuteret, neque ſibi ipſe invidiam conflaret, ſi de curru colloqueretur. Eſt autem βρίζειν, idem atque τὸ ἀπονυστάζειν, obdormiſcere, ſeu dormitare: propriè verò τὸ βαρέως, aut μετὰ τὴν βορὰν, ἵζειν, gravato capite, aut poſt cibum, ceſidere. Atque hæc etiam vox uſurpata eſt in Odyſſeâ. Ex iis porro vocibus, quæ ſunt hoc loci allatæ, τὸ βρίζειν, dormitare, omnem prorſus negat removetque a rege negligentiam atque incuriam, ut τὸ πτώσσειν, trepidare, timorem, & τὸ οὐκ ἐθέλειν, nolle, deſidiam, languoremque in agendo, atque tarditatem. Sciendum autem eſt, illud, οὐκ ἂν ἴδοις, non vidiſſes, dictum eſſe figuratè per apoſtrophen, quaſi ſcilicet aut Muſa ſermonem ſuum ad Poëtam, ſuum contubernalem, aut ipſe etiam Poëta ad auditorem averterit. Atticum porrò eſt illud, οὐκ ἂν ἴδοις. Non vidiſſes. pro eo, ac ſi diceret, οὐκ ἂν εἶδες. Anhelantes, ſeu anhelitum ducentes, equos, dicit φυσιόωντας, ubi ſcilicet narrat, ut eos quidem famulus ſeorſum tenebat φυσιόωντας, anhelantes. quod ſanè ſignificare etiam poteſt τὸ φρυαττομένους, frementes, aut τὸ ἀσθμαίνοντας, ſpiritum cum difficultate trahentes, ut explicant veteres Grammatici, & πνεῦμα ἠρεθισμένους, crebra anhelitu ſtimulatos, ſeu irritatione anhelitûs laborantes. Erat autem famulus iſte, Eurymedon, aptè atque appoſitè regi illi εὐρυκρείοντι, longè lateque imperanti, attributus auriga. Sed & Neſtori alter eſt Eurymedon auriga. Hujus autem Eurymedontis, famuli regii, patrem commemorat Ptolemæum Πειραΐδην, Peiraidam, hoc eſt, Πειραίου, Peiræi, filium: cujus penultima ſyllaba quum conſtet diphthongo, exploſa inde neceſſario eſt in nomine patronymico littera i, ad commodum uſum metri, ſimiliter atque ex Ἀλκαῖος, Alcæus, fit Ἀλκαΐδης, Alcaida. Exemplum Πειραίου, Peiræi, extat etiam in Odyſſeâ. Prope tenere, ſeu juxta habere equos, dicit παρέχειν, hoc eſt, παρέχειν· quippe quum etiam nunc ea præpoſitio propinquitatem, ſeu vicinitatem, ſignificet. Quamquam qui poſt Homerum ſcripſerunt, ii vocem hanc ex ſimilitudine uſurpent, quatenus ſignificat donare: quoniam is, qui donat, habet, tenetque donum prope eum qui accipit, ſeu prope donatarium. Siquidem παρέχει, præbet, non verò ἀπέχει, recipit. Laborem imperatoris in bello, atque in acie inſtruendâ exprimunt illa verba: ὁππότε μιν γυῖα λάβοι κάματος πολέας κατακοιρανέοντα. quando ipſum per membra cepiſſet defatigatio per multos imperitantem.

τα μάχην ἐς κυδιάνειραν. Τῶν μὲν ἵππων καταπηδήσας, ἐποίει τὰ καὶ τά· πεζὸς περιιών· ἵνα δηλαδὴ τῇ φιλοπονίᾳ δυσωπήσῃ τοὺς Ἕλληνας, καὶ μηδὲ ἐπαχθὴς ᾖ, ἀπὸ τοῦ ἅρματος διαλεγόμενος. Ἔστι δὲ βρίζειν τὸ ἀπονυστάζειν·[1] κυρίως δὲ τὸ βαρέως, ἢ μετὰ τὴν βορὰν, ἵζειν. ἡ δὲ λέξις καὶ ἐν Ὀδυσσείᾳ. Τῶν δὲ ῥηθέντων, τὸ μὲν βρίζειν, τὴν παντελῆ ἀμέλειαν ἀποφάσκει τοῦ βασιλέως· τὸ δὲ πτώσσειν, τὴν δειλίαν· τὸ δὲ οὐκ ἐθέλειν, τὴν ὀκνηρίαν, καὶ τὸ ἀπρόθυμον. Ἰστέον δὲ, ὅτι τὸ, οὐκ ἂν ἴδοις, ἀποστροφῆς ἐστι σχῆμα, ὡς ἢ τῆς Μούσης ἀποστρεψάσης τὸν αὐτῆς λόγον πρὸς τὸν αὐτῆς ὁμιλητὴν Ποιητὴν, ἢ καὶ τοῦ Ποιητοῦ πρὸς τὸν ἀκροατήν. Ἔστι δὲ τὸ, οὐκ ἂν ἴδοις, Ἀττικῶς, ἀντὶ τοῦ, οὐκ ἂν εἶδες. Τοὺς πνευστιῶντας ἵππους, φυσιόωντας λέγει, εἰπών· καὶ τοὺς μὲν θεράπων ἀπάνευθ' ἔχε φυσιόωντας. ὅπερ σημαίνοι ἂν καὶ τὸ φρυαττομένους, ἢ καὶ τὸ ἀσθμαίνοντας, ὥς φασιν οἱ παλαιοὶ, καὶ πνεῦμα ἠρεθισμένους. Ἦν δὲ ὁ τοιοῦτος θεράπων, Εὐρυμέδων, προσφυῶς[2] τῷ εὐρυκρείοντι βασιλεῖ δοθεὶς εἰς ἡνίοχον. Ἔστι δὲ καὶ τῷ Νέστορι Εὐρυμέδων ἕτερος. Ἱστορεῖ δὲ[3] τῷ βασιλικῷ Εὐρυμέδοντι πατέρα Πτολεμαῖον Πειραΐδην, τουτέστι, Πειραίου υἱόν· οὗ τῆς παραληγούσης διφθογγιζομένης, ἐξεβλήθη τὸ ἰῶτα ἐν τῷ πατρωνυμικῷ ἀναγκαίως πρὸς εὐχρηστίαν μέτρου, ὁμοίως τῷ, Ἀλκαῖος Ἀλκαΐδης. Χρῆσις δὲ Πειραίου καὶ ἐν Ὀδυσσείᾳ. Τὸ πλησίον ἔχειν τοὺς ἵππους, παρέχειν, ὅ ἐστι παρέχειν, λέγει, ἐγγύτητα καὶ νῦν δηλούσης τῆς προθέσεως.[4] Οἱ δέ γε μεθ' Ὅμηρον, ἐπὶ τῷ δοῦναι τὴν λέξιν τίθενται ἐξ ὁμοιότητος· ἐπεὶ καὶ ὁ δωρούμενος ἐγγὺς τοῦ λαμβάνοντος ἔχει τὸ διδόμενον· παρέχων, οὐ μὴν ἀπέχων. Στρατηγικὸν μόχθον ἐν πολέμῳ δηλοῖ τὸ, ὁππότε μιν γυῖα λάβοι κάματος πολέας κατακοιρανέοντα.

Ipſe porrò pedes obibat ordines virorum,
Et quos properantes vidiſſet Danaorum cum pernicibus equis,
Hos valde confirmabat propior factus his verbis:
Argivi, nequid ante de fortitudine remittatis.
Non enim mendacibus pater Juppiter adjutor erit.
Sed qui priores fœdera violaverunt,
Eorumdem certè tenerum corpus vultures vorabunt.
Nos verò contra uxoreſque dilectas, & infantes filios
Abducemus in navibus, poſtquam urbem ceperimus.
Quos verò detrectantes vidiſſet triſtem pugnam,
Eos valde objurgabat iracundis verbis:
Argivi, ſagittis addicti, probroſi, non vos pudet?

Αὐτὰρ ὁ πεζὸς ἐὼν ἐπεπωλεῖτο στίχας ἀνδρῶν,
Καί ῥ' οὓς μὲν σπεύδοντας ἴδοι Δαναῶν ταχυπώλων, Rom. p. 466.
Τοὺς μάλα θαρσύνεσκε παριστάμενος ἐπέεσσιν·
Ἀργεῖοι, μή πώ τι μεθίετε θούριδος ἀλκῆς.
Οὐ γὰρ ἐπὶ ψευδέσσι πατὴρ Ζεὺς ἔσσετ' ἀρωγός.
Ἀλλ' οἵπερ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο,
Τῶν ἦτοι αὐτῶν τέρενα χρόα γῦπες ἔδονται. Baſ. p. 355.
Ἡμεῖς αὖτ' ἀλόχους τε φίλας, καὶ νήπια τέκνα
Ἄξομεν ἐν νήεσσιν, ἐπὴν πτολίεθρον ἕλωμεν.
Οὕς τινας αὖ μεθιέντας ἴδοι στυγεροῦ πολέμοιο,
Τοὺς μάλα νεικείεσκε χολωτοῖσιν ἐπέεσσιν·
Ἀργεῖοι ἰόμωροι, ἐλεγχέες, οὔ νυ σέβεσθε;

LXVII. Quum

ξζ'. Ὁμη-

1. κυρίως δὲ τὸ βαρέως, ἢ μετὰ τὴν βορὰν, ἵζειν) Scriptor Græcarum Etymologicum: παρὰ τὴν βρέμω, ἢ τὸ ἵζειν, ὅ ἐστι καθεύδειν, βρίζω· Ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις. ὅθεν κυρίως τὸ ἀπὸ βορᾶς, ἢ μετὰ βορὰν ὑπνάζειν, ἢ καθεύδειν, βορίζειν τι ὄν. Politus.

2. Τῷ εὐρυκρείοντι) l. τῷ εὐρυκρείοντι. Politus.

3. τῷ βασιλικῷ Εὐρυμέδοντα) l. τῷ βασιλικῷ Εὐρυμέδοντι. Politus.

4. Οἱ δέ γε μεθ' Ὅμηρον, ἐπὶ τῷ δοῦναι τὴν λέξιν τίθενται) Miratur Henricus Stephanus, Euſtathium hic dicere, poſteros Homeri ita hoc verbo uſos eſſe, quaſi ipſe Homerus non utatur: quum aliunde manifeſtum ſit, ita accipi ab eo, Il. τ'. Δῶρα μὲν ὥς κ' ἐθέλῃσθα παρασχέμεν, ὡς ἐπιεικὲς, Ἤτ' ἐχέμεν, παρὰ σοί. At enim non negat Euſtathius, ἐπὶ τῷ δοῦναι accipi aliquando ab Homero τὸ παρέχειν, ſeu παρασχεῖν, ſed tantùm docet, τὸ παρέχειν idem eſſe hoc loco, atque τὸ πλησίον ἔχειν: quum tamen ſcriptores poſteriores Homero non hoc ſenſu vocem hanc uſurpare ſoleant, ſed ἐπὶ τῷ δοῦναι. quod veriſſimum eſt, ut allata a Grammaticis exempla teſtantur. Politus.

ξζ'. Ὁμήρου εἰπόντος ἐνταῦθα, ὡς πεζὸς ὁ βασιλεὺς ἐπεπωλεῖτο στίχας ἀνδρῶν, καὶ μετ' ὀλίγον δὲ, κοιρανέων ἐπεπωλεῖτο στίχας ἀνδρῶν. Ἐπιπώλησιν ἐντεῦθεν, ὡς καὶ προερρέθη, τὴν ῥαψῳδίαν ταύτην τινὲς ὠνόμασαν. Ὥσπερ ἐν τῇ βῆτα τὸν Ὀδυσσέα, ποικίλον τὴν ὁμιλίαν ἐποίει, ἄλλως ἄλλοις ἐντυγχάνοντα, οὕτω καὶ νῦν τὸν βασιλέα, καὶ μάλιστα ὧδε, ἀναγκαίως, ποικιλώτερον, ὡς καὶ ἐπεξιόντα τοῖς καθ' ἕκαστον. Καὶ τοιοῦτός ἐστιν, ὃν ἐν Ὀδυσσείᾳ λέγει πολύτροπον, ὃ μὴ, καθάπερ εἰκόνα γεγραμμένην, ἑστῶτα ἐπὶ σχήματος ἑνός· ἀλλ' εἰς πολλὰ τρεπόμενον, καὶ πολυκίνητον τῇ διανοίᾳ, καὶ ἀληθῶς πολυμήχανον. Ἄλλως γὰρ, ὡς καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν διείληπται, [1] ποικιλίαν ἤθους ἔχειν, οὐκ ἂν εἰς ἐγκώμιον ἥρωος θείη τις. Σημείωσαι δὲ, ὅτι πρῶτον μὲν κοινῶς τὴν βασιλικὴν δημηγορίαν ὁ Ποιητὴς μελετᾷ· εἶτα καὶ ἰδικῶς. οἷον πρῶτον μὲν ἀορίστως, οὕτως· Οὓς μὲν σπεύδοντας ἴδοι Δαναῶν ταχυπώλων, τοὺς μάλα θαρσύνεσκε παριστάμενος ἐπέεσσιν· Ἀργεῖοι, μή πω τι μεθίετε θούριδος ἀλκῆς. Οὐ γὰρ ἐπὶ ψευδέσσι πατὴρ Ζεὺς ἔσσετ' ἀρωγός. Ἀλλ' οἵπερ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο, τῶν, ἤτοι αὐτῶν, τέρενα χρόα γῦπες ἔδονται. Ἡμεῖς δ' αὖτ' ἀλόχους τε φίλας, καὶ νήπια τέκνα ἄξομεν ἐν νήεσσιν, ἐπὴν πτολίεθρον ἕλωμεν. Οὕς τινας αὖ μεθιέντας ἴδοι στυγεροῦ πολέμοιο, τοὺς μάλιστα νεικείεσκε χολωτοῖσιν ἐπέεσσιν· Ἀργεῖοι ἰόμωροι, ἐλεγχέες, οὔ νυ σέβεσθε; καὶ τὰ ἑξῆς. ἐν οἷς καὶ [2] νεβροῖς εἰκάζει τοὺς τοιούτους ὁ βασιλεὺς, ὡς μετ' ὀλίγα εἰρήσεται. Καὶ οὕτω μὲν στρατηγικῶς, κατὰ τὸ ἀόριστον· εἶτα καταβὰς εἰς ὡρισμένα πρόσωπα, λέγει, ὅπως ἦλθεν εἰς τοὺς Κρῆτας ὁ βασιλεὺς, καὶ τί εἶπε, καὶ τί ἐκεῖθεν ἤκουσεν. εἶτα ἐπὶ τοὺς Αἴαντας· μεθ' οὓς εἰς τὸν Νέστορα. καὶ ἑξῆς. ἔνθα συχνὴν συνήθη ποικιλίαν ὁ Ποιητὴς ἐπιδείκνυται, ἄλλα περὶ ἄλλων ἱστορῶν. οἷον τοὺς μὲν περὶ Ἰδομενέα, θωρήσσεσθαι λέγων· τοὺς δὲ περὶ τοὺς Αἴαντας, καὶ κορύσσεσθαι, καὶ κινεῖσθαι εἰς μάχην· τὸν δὲ Νέστορα ἤδη τάσσειν εἰς πόλεμον τοὺς περὶ αὐτόν· Μενεσθέα δὲ, τὸν βασιλέα τῶν Ἀθηναίων, καὶ τὸν Ὀδυσσέα, ἑστάναι διὰ τὸ μὴ θέλειν προϋπάρξαι μάχης· Διομήδην δὲ, καὶ Σθένελον, ἑστάναι μὲν καὶ αὐτοὺς, ἐν ἵπποις δὲ καὶ ἅρμασιν, ἤτοι ἄνω ἵππων, καὶ ἁρμάτων.

ξη'. Οὕτω πολυειδῶς σχηματίζειν οἶδε τὰ πράγματα ὁ Ποιητὴς, ἄλλους ἄλλως καθιστῶν

LXVII. Quum Homerus hoc loci de rege narret, ut ipſe pedes ἐπεπωλεῖτο στίχας ἀνδρῶν, *militum ordines luſtrabat, atque obibat*; itemque paullò poſt, ut κοιρανέων ἐπεπωλεῖτο στίχας ἀνδρῶν, *imperitans militum ordines luſtrabat*; hinc nonnulli hunc librum, ut ſupra notatum eſt, Ἐπιπώλησιν, *Luſtrationem*, appellarunt. Sicuti in libro β' Ulyſſem, varium colloquio, ac multiformem faciebat, quippe qui alios aliter conveniret, atque alloqueretur; ſic etiam nunc ipſum regem, maximèque hoc loci, varium varioque artificio utentem neceſſariò repræſentat, utpote quem ad ſingulos quoſque euntem, & cum ſingulis agentem inducit. Et talis ſanè eſt, quem in Odyſſeâ vocat πολύτροπον, *multimodum, atque multiformem*, qui ſcilicet, non ſicuti in tabulâ pictâ, uno ſtat geſtu habituque oris; ſed in formas multas vertitur, multaſque perſonas ſuſcipit, ingenioque eſt verſatili, verèque plenus ſolertiæ, atque artificiorum. Namque alioquin, ut commentariis in Odyſſeam explicatum eſt, nemo quiſquam in herois laude poſuerit, quòd variis ſit ille moribus præditus, alioſque atque alios mores induat. Velim autem, obſerves, ut concionem regis Poëta primùm communiter pertractat; deinde etiam ſeorſum, atque privatim. exempli cauſsâ, primùm quidem promiſcuè, atque indefinitè, ad hunc modum: Quos quidem Danaorum cum pernicibus equis properantes vidiſſet, propior ad eos factus, eos valde confirmabat his verbis: Argivi, nequid acri de fortitudine remittatis. Non enim mendacium, ac perjurorum pater Juppiter adjutor erit. Sed qui priores fœdera violaverunt, τῶν, videlicet αὐτῶν, *eorum*, tenerum corpus vultures vorabunt. Nos verò contra uxoreſque dilectas, & infantes filios in navibus abducemus, poſteaquam oppidum ceperimus. Quos contra triſtem pugnam detrectantes vidiſſet, eos maximè objurgabat iracundis his verbis: Argivi, ſagittis deſtinati, probroſi, non veremini? &c. Ubi hos iſtos rex hinnuleis aſſimilat, ut paullò poſt dicetur. Atque ita quidem, pro imperatoris officio, generatim, atque indefinitè. Tum ad certas ſingulareſque perſonas deſcendens, narrare pergit, ut ad Cretenſes rex venerit, quid ipſe dixerit, quid ſibi ab illorum duce dictum audierit. deinde ut venerit ad Ajaces, poſtea ad Neſtorem, &c. Ubi pro more multam Poëta varietatem oſtentat, quippe qui alia de aliis commemoret. Exempli cauſsâ, Idomenei milites dicit armari; copias verò Ajacis galeaſque induere, atque ad pugnam progredi: milites ſuos Neſtorem jam ad certamen inſtruere: ſtare Meneſtheum, Athenienſium regem, itemque Ulyſſem, eo quòd nolint priores in pugnam deſcendere: Diomedem denique, & Sthenelum, ipſos quoque ſtare; ſed ἐν ἵπποις, καὶ ἅρμασιν, *in equis, & curribus*, videlicet ἄνω ἵππων, καὶ ἁρμάτων, *ſupra equos, & currus*.

LXVIII. Sic multâ cum varietate ſolet Poëta res componere, atque effingere, dum alios alis

1. ποικιλίαν ἤθους ἔχειν, οὐκ ἂν εἰς ἐγκώμιον ἥρωος θείη τις) Horatius: *Et curſum duplicis per mare Ulyſſei*. hoc eſt, minimè ſimplicis, vafri, verſuti. *Salvinus*.

2. νεβροῖς εἰκάζει τοὺς τοιούτους) Horatius: *Vitas hinnuleo me ſimilis, Chloë*. Salvinus.

alia facere ſtatuit, aliiſque ſtudiis, ac rebus detineri. Quin etiam regis cum ſingulis quibuſque colloquia, ipſa quoque varia admodum, ac multiplicis generis, finguntur. Nam Idomeneum quidem laudat, atque commendat: quum tamen ejus ſocium, atque adjutorem Merionem ne uno quidem verbo dignetur. Ita verò Idomeneum laudat, ut ſua in eum beneficia proferat, quibus, tamquam ære alieno, Idomeneus ipſe obſtringitur, ut totum ſcilicet animi ſui ſtudium, atque omnes vires in auxilium regis impendat. At verò ad Ajaces orationem ſuam in modum optantis conformat: quum illud precetur, ut omnes omnino Græci tales fiant. Neſtorem porrò ſenem, ipſum quoque cum precatione, ac votis alloquitur, nullâque habitâ ratione ejus militum, ea nuncupat vota, ut ejus animi alacritatem pares vires ſequantur. Meneſtheum contra, atque Ulyſſem probroſis verbis exagitat, & maximè Ulyſſem, ut ſic etiam novitatem varietatemque aliquam oratio ejus habeat: quumque eos, veluti beneficiorum immemores, atque ingratos, coarguiſſet, Ulyſſemque ipſum animo graviter turbatum agnoviſſet, ſuſceptâ iterum oratione, blandis eum mellitiſque verbis compellat. Diomedi denique tum timorem, atque ignaviam exprobrat, quum tamen ne minimum quidem verbum ad Sthenelum, ejus commilitonem, faciat; tum eumdem ipſum Diomedem diſſimilem eſſe dicit Tydei, ejus patris. Ubi Thebani etiam belli hiſtoriam adnectit, in quo celebre ſibi nomen Tydeus comparavit. Atque ita quidem perquam variè artificioſa, multiplicique figurarum genere exculta, oratio eſt regis ad heroas. Neque verò minùs varia, minùſque figurata, quàm ſit hæc oratio, Heroum ipſorum eſt ad eum reſponſio. Namque & ea reſponſio eſt multiformis, &, quoad ejus fieri poteſt, diverſa, ſuique diſſimilis. Idomeneus enim, ut a primo promiſerat, atque affirmaverat, ſeſe bonum, ac fidum ſocium fore pollicetur: itemque Trojanos violati fœderis accuſat. Ajaces verò ne unum quidem verbum proferunt. At enim Neſtor vota eadem, quæ rex, ipſe etiam concipit, remque olim geſtam commemorat, & quoad vires permiſerint, ſe nulli labori defuturum promittit. Ulyſſes contra, ipſe quoque viciſſim in regem paullulùm exaſperatur, Attico illo Meneſtheo prorſus tacente. Denique, dum Diomedes reverentiâ adversùs regem utitur, ideoque altum ſilentium tenet, interea Sthenelus, quem nullo rex ſermone dignatus fuerat, reſpondet ſanè acerbiùs: ſed os illi obſtruitur a Diomede. Sic Poëſis Homerica, opus eſt multo artificio diſtinctum, & decantato illo ceſto multò ſanè pulchrius, atque elegantius.

LXIX. Sciendum autem eſt, τὸ, *θαρσύνεσκεν ἐπέεσσι*, *confirmabat, atque hortabatur verbis*, poſitum eſſe ad differentiam alterius modi, cum quis alium confirmat, atque hortatur donis. Τὸ *μήπωτι*, *nequid*, ſuperfluam atque otioſam habet particulam expletivam. Eſt enim pro eo, ac ſi diceret, *μήτι*, *nequid*, vacante particulâ *πώ*, *dum*. Quamquam apud poſteriores ſcriptores ſignificationem temporis habeat τὸ *μήπω*, ſicuti etiam τὸ *οὔπω*, *nondum*. Ac ſimiliter etiam vacat τὸ *τί*, *quid*; ſicuti etiam fit in *οὔτι*, *nequid*, *ſeu nihil*. Totum namque illud, *μήπωτι μεθίετε*, *nequid* um-

στῶν ἔχοντας. Καὶ αἱ τοῦ βασιλέως δὲ πρὸς ἕκαστον ὁμιλίαι, πολυειδεῖς πλάττονται καὶ αὐταί. Ἰδομενέα μὲν γὰρ ἀποδεξάμενος, τὸν ὑπασπιστὴν δὲ αὐτοῦ Μηριόνην οὐδενὸς ἀξιώσας λόγου, προφέρει χάριτας οἰκείας, αἷς ὡς ὁ Ἰδομενεὺς ὀφειλέτης ἐστὶν ὁλοψύχου συμμαχίας τῷ βασιλεῖ. Ἐπὶ δὲ τοῖς Αἴασιν, εὐκτικῶς σχηματίζει τὸν λόγον, εὐχόμενος, πάντας τοιούτους γενέσθαι τοὺς Ἕλληνας. Τῷ δὲ γέροντι Νέστορι, εὐκτικῶς καὶ αὐτῷ προσενεχθεὶς, τοὺς δὲ ὑπ' αὐτὸν ἐν οὐδενὶ λόγῳ θέμενος, ἐπεύχεται, κατὰ τὴν προθυμίας αὐτοῦ γενέσθαι καὶ τὴν δύναμιν. Τὸν δὲ Μενεσθέα, καὶ Ὀδυσσέα, λόγοις ὀνειδιστικοῖς βάλλει, καὶ μάλιστα τὸν Ὀδυσσέα, ἵνα καὶ οὕτω καινότητα, καὶ ποικιλίας τινὰ ὁ λόγος αὐτῷ ἔχῃ· καὶ ὡς ἀμνήμονας χαρίτων αὐτοὺς ἐλέγξας, καὶ γνοὺς τὸν Ὀδυσσέα λυπούμενος, ἐπαναλαβὼν τὸν λόγον, μειλίχια προσφωνεῖ. Τὸν δὲ Διομήδην, εἰς δειλίαν τε ὀνειδί- Rom.p.467. ζει, οὐδὲν εἰπὼν πρὸς τὸν ὑπασπίζοντα Σθένελον, καὶ ἀνομοίως αὐτὸν ἔχειν τῷ πατρὶ Τυδεῖ λέγει· παρεμπλέξας καὶ ἱστορίας τοῦ Θηβαϊκοῦ πολέμου, ἔνθα ὁ Τυδεὺς εὐδοκίμησε. Καὶ οὕτω μὲν ἡ πρὸς τοὺς ἥρωας δημηγορία τοῦ βασιλέως, πολυσχημάτιστος. Οὐχ ἧττον δὲ ταύτης πολυσχήμως καὶ ἡ τῶν ἡρώων πρὸς αὐτὸν ἀμοιβή. Καὶ αὐτὴ γὰρ πολυειδὴς, καὶ ὡς δυνατὸν ἀσυνέμπτωτος. Ἰδομενεὺς μὲν γὰρ ἀγαθὸς ἑταῖρος ἔσεσθαι ὑπισχνεῖται, ὡς τὸ πρῶτον ὑπέστη, καὶ κατένευσε· κατηγορεῖ δὲ καὶ τῶν Τρώων, ὡς συγχεάντων τὰ ὅρκια. Οἱ δὲ Αἴαντες, οὐδέν τι ὅλως λαλοῦσι. Νέστωρ δὲ εὔχεται καὶ αὐτὸς, ὅσα καὶ ὁ βασιλεὺς, καί τινα ἱστορίαν λαλεῖ, καὶ ὑπισχνεῖται ποιήσειν τὰ δυνατά. Ὀδυσσεὺς δὲ ἀντιτραχύνεται αὐτὸς ἠρέμα πρὸς τὸν βασιλέα, τοῦ Ἀττικοῦ Μενεσθέως εἰς τὸ πᾶν σιωπήσαντος. Διομήδης δὲ αἰδεσθέντος τὸν βασιλέα, καὶ διὰ τοῦτο σιγήσαντος, ὁ μηδενὸς λόγου ἀξιωθεὶς Σθένελος, ἀμείβεται μὲν αὐστηρότερον· ἐπιστομίζεται δὲ ὑπὸ τοῦ Διομήδους. Οὕτω πολυδαίδαλος καλὸς ἡ Ὁμηρικὴ ποίησις καὶ ὑπὲρ τὸν ὑμνούμενον κεστόν.

ξθ'. Ἰστέον δὲ, ὅτι τὸ, θαρσύνεσκεν ἐπέεσσι, πρὸς διαστολὴν κεῖται [1] τοῦ δώροις θαρσύνειν. Τὸ δὲ μήπωτι, ἀργὴν ἔχει τὴν παραπλήρωσιν. ἔστι γὰρ ἀντὶ τοῦ μήτι, περιττοῦ κειμένου τοῦ πώ. Παρὰ δέ γε τοῖς ὕστερον, χρονικὴν σημασίαν ἔχει τὸ μήπω, καθὰ καὶ τὸ οὔπω. Παρέλκει δὲ ὁμοίως καὶ τὸ, τί, καθὰ καὶ ἐν τῷ, οὔτι. Ὅλον γὰρ τὸ, μήπωτι με-

1. τὸ δώροις θαρσύνων) Homerus: Δῶρα θεοὺς πείθει, καὶ αἰδοίους βασιλῆας. Salvinus.

μεθίετε, ἴσον τῷ ἐστὶ τῷ, μὴ ἀμελεῖτε. Τὸ δὲ, οὐκ ἐπιψευδέσσι πατὴρ ἔσσεται ἀρωγὸς, οἱ μὲν παροξύνουσιν, ἵνα λέγῃ, ὅτι οὐκ ἔσται βοηθὸς ὁ πατὴρ τοῖς ψεύσταις Τρωσίν·[1] οἱ δὲ, προπαροξύνουσι κατὰ γένος οὐδέτερον, νοοῦντες, ὅτι οὐ ψεύσεται τὴν βοήθειαν.[2] Πατὴρ δὲ καὶ νῦν κατ' ἐξοχὴν ὁ Ζεύς, τὸ δὲ πληρέστερον,
Baſ. p. 356. πατὴρ ἀνδρῶν τε, θεῶν τε, ὡς καὶ τοῦτο προείρηται. Τέρενα δὲ χρόα, τὴν ὅλην σάρκα λέγει, ὡς ἐκ μέρους τοῦ προφαινομένου ἐξ ἐπιπολῆς, πρὸς διαστολὴν τῶν ὀστῶν. ἐκεῖνα γὰρ οὐ τέρενα, ἤτοι ἁπαλά. Ὥσπερ δὲ ὁ χροῦς, οὕτω καὶ ὁ χρώς, τὸ προφαινόμενον δηλοῖ τῆς κατ' ἄνθρωπον σαρκός. ἤγουν τὴν χροιάν.[3] κατὰ τὸ, παραδραθέειν ἧ χροιῇ. Διὸ καὶ[4] πρὸς τὸ, ἐν χρῷ, ὁμοιότητα ἔχει τὸ χρώζειν. οἷον,[5] γόνατα μὴ χρώζειν ἐμά. ἤγουν χρωτίζειν, καὶ ἐν χρῷ ἔχειν. Ὅμοιον δὲ καὶ τὸ,[6] μάτην κεχρώσμεθα. ἤγουν ἱκετεύθημεν κατὰ δεξιὰν, καὶ γόνατα. Τοιοῦτον δὲ καὶ[7] τὸ χραίνειν, κατὰ παραγωγὴν· οὗ πρῶτος μετέχει ὁ χροῦς. ἐξ οὗ τέτρασται Τραγικῶς καὶ τὸ, ἀγορᾶς χραίνων κύκλον. Συγγενὲς δὲ τοῖς τοιούτοις καὶ τὸ χρίμπτειν, ὅ ἐστιν ἐν χρῷ πελάζειν, καὶ τὸ χρίειν· ἔτι δὲ καὶ τὸ χραύειν, ὅ ἐστιν, ἐπιπίπτειν. Ὥσπερ δὲ ὁ τέρην χροῦς ἐκ μέρους τὴν ὅλην ἐδήλωσεν ἐνταῦθα σάρκα, οὕτω καὶ τὸ, γῦπες ἔδονται, τῷ μέρει τοῖς γυψὶ, καὶ λοιπὸν σαρκοβόρα συνεισάγει ὄρνεα· ὧν γένος ὁ οἰωνός, κατὰ τὸ, οἰωνοῖσί τε πᾶσιν.

ό. Ἀλόχων δὲ Τρωικῶν ὁ βασιλεὺς ἄρτι μέμνηται, καθὰ καὶ ὁ ῥήτωρ Νέστωρ πρὸ τούτων, καθ' ὁμοίαν μέθοδον, ὡς ἐξ ἐκείνου κερδάνας τὸ νόημα. Τὸ δὲ, χολωτοῖς ἐπέεσσιν, ἐπενεχθὲν μετὰ τὸ νικιέσκεν, δοκεῖ ὁρισμὸς

4. Ὠνοματοπεποίηται) Onomatopœiæ frequens uſus apud Homerum, ut illud de armorum ſonitu: Δούπησεν δὲ πεσών· ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. Salvinus.
5. ἔβραχεν) Heſychius: ἔβραχεν, ἤχησε, ἐβόησεν. Polit.
6. ὡς καὶ τὸ βρέχω) Etymologus: βρέχω. ἀπὸ τοῦ ἦχον τῶν ὑδάτων ἔδειξε καὶ Ὅμηρος· βράχεν ὕδατι. ὀνοματοποιΐα ἐστί. Polit.
7. ἀλλ' ἐκεῖνος ἐπὶ ὑετοῦ μόνου λαμβάνεται) ex uſu jam ſacrorum litterarum. Matthæi c. 45. καὶ βρέχει ἐπὶ δικαίους, καὶ ἀδίκους. Apocalypſ. cap. 11. ἵνα μὴ βρέχῃ ὑετὸς ἐν ἡμέραις αὐτῶν τῆς προφητείας. Politus.
8. ἐπὶ στήθεσιν) *Illi robur & æs triplex circa pectus erat.* Hor. Salvinus.
9. Τοῦ δὲ ταλασίφρονος προϋπόκειται τὸ ταλάσω) Etymologus: ταλασίφρων, ὁ καρτερόφρων, καὶ γενναῖος, παρὰ τὸ τλῶ. Polit.

ριη΄. Μιμούμενος ὁ Ποιητὴς ἐν παραβολῇ θαλασσίᾳ τραχύτητα κυμάτων ἤχου, ὁμοίαις πως λέξεσι φράζει τὸ ὑποκείμενον, συνεκτραχύνων δι' ὅλου τοῦ λεγομένου καὶ τὴν φωνήν. Λέγει γάρ· Ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης ὄρνυτ' ἐπασσύτερον, [1] ζεφύρου ὑποκινήσαντος, ἤγουν ἠρέμα τὸ πρῶτον εἰς φρίκα διασαλεύσαντος, πόντῳ μέν τε πρῶτα κορύσσεται· αὐτὰρ ἔπειτα χέρσῳ ῥηγνύμενον, μεγάλα βρέμει, ἀμφὶ δέ τ' ἄκρας κυρτὸν ἐὸν κορυφοῦται, [2] ἀποπτύει δ' [3] ἁλὸς ἄχνην, ἤγουν ἀφρὸν, ἢ φυκίον, ἃ πτύελον ὥσπερ, ἤτοι ἀπόπτυσμα θαλάσσης εἰσὶν ἐρευγομένης ἔξω, ὡς ἐν ἄλλοις φησίν· ὡς τότ' ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες νωλεμέως πόλεμόνδε. Καὶ ἔστιν ἡ ῥηθεῖσα παραβολὴ πρὸς τὴν πυκνότητα τῶν κατὰ φάλαγγας κινουμένων, καὶ τὸν ἐκεῖθεν πολὺν ἦχον. Αἰολικὴ δὲ λέξις, Ποιηταῖς φίλη, τὸ ἐπασσύτερον, [4] ἐκ τοῦ ἄσ-

Rom.p.492. σον γινομένη, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. Δηλοῖ δὲ καὶ ἐνταῦθα τὸ ἐγγὺς, καὶ διὰ τοῦτο τῇ ἐπαλληλίᾳ πυκνόν. Συγγενὲς δὲ καὶ τὸ νωλεμὲς τῇ τοιαύτῃ λέξει· ἐπεὶ καὶ ταυτόσημα τὸ ἐγγὺς, καὶ τὸ πυκνὸς, καὶ τὸ ἐπασσυτέρως, καὶ [5] τὸ ἀδιαλείπτως, ὅ ἐστι νωλεμές. Ἰστέον δὲ, ὅτι, ἄχνην Ὁμήρου εἰπόντος, τὸ λεπτότατον τοῦ κύματος, ὅπερ ἐν ταῖς ἔξω προσρήξεσιν ἀπαφρίζεται, Σοφοκλῆς ἄλλως τὴν λέξιν ἐκλαβόμενος, ἄχνην τὴν δρόσον ἔφη ἐν τῷ, [6] Θάλλει δ' οὐρανίας ὑπ' ἄχνης ὁ καλλίβοτρυς νάρκισσος, οὐδ' αὐτὸς ἀπροσφυῶς γράψας, διὰ τὸ μηδὲ τὰς τοῦ ὑετοῦ σταγόνας συνεχεῖς εἶναι, ἀλλὰ διεχεῖς. ὅθεν καὶ ἡ ἄχνη ὠνόμασται, ἀέχη τις οὖσα, καὶ κατὰ κρᾶσιν, καὶ πλεονασμῷ τοῦ ν, ἄχνη, ὡς καὶ ἑτέρωθι δηλοῦται σαφέστερον. Εὐριπίδης δὲ καὶ αὐτὸς μιμησάμενος τὸ, ἁλὸς ἄχνη, οἰνωπὸν ἄχνην λέγει τὴν ἐν λοιβαῖς καταχεομένην τῆς γῆς. Τοῦ δὲ ἀέχη ἄχνη, ταυτότης μὲν ἐν τῷ, [7] ἀέχων ἄχων ὁ πτωχός· ὁμοιότης δέ τις ἐν τῷ, ἃ ἔχω, ἄχω, παρὰ Σοφοκλεῖ.

ριθ΄. Ὅρα

CXVIII. Imitatur Poëta in comparatione ſumptâ a mari aſperitatem ſoni, atque fragoris, quem fluctus marini edunt: quum ſimilibus quodammodo vocibus rem ipſam explicet, & cum re, quam explicat, atque exponit, vocem quoque ipſam per totum ſimul exaſperet. Sic enim loquitur: Ac veluti quando in littore multiſono fluctus maris crebri conciantur, zephyro eos ſubmovente, videlicet quietè primùm, ac molliter eos ad fremitum movente, in ponto quidem attolluntur; ſed poſtea ad terram fracti, vehementer fremunt, & circum promontoria curvati eriguntur, exſpuuntque maris ἄχνην, glumam, ſpumam videlicet, aut algam, quæ ſunt veluti ſputum, ſeu excrementum maris extra eructantis, ut alibi loquitur: ſic tunc conſertæ Danaorum phalanges ſine ullâ intermiſſione ad pugnam movebantur. Atque hæc iſta comparatio eſt ad denſitatem, & conſtipationem eorum, qui per phalanges movebantur, itemque ad ſtrepitum illum ingentem, qui inde conſequebatur. Æolica porrò vox, Poëtis familiaris, τὸ ἐπασσύτερον, *crebrum, unum continenter poſt aliud accumulatum*: fitque hæc vox ex ἄσσον, *prope*, ut alibi quoque declaratur. Atque hîc etiam ſignificat id, quòd prope eſt, ideoque continuâ unius poſt alium ſucceſſione denſum, atque confertum. Huic iſti vocabulo affine quoque eſt τὸ νωλεμὲς, *aſſiduum, continuum, quod non deſinit, neque intermittitur*: quoniam ejusdem ſignificationis ſunt τὸ ἐγγὺς, *prope*, & τὸ πυκνῶς, *confertim, atque frequenter*, & τὸ ἐπασσυτέρως, *crebro, ſeu jugiter*, & τὸ ἀδιαλείπτως, hoc eſt, νωλεμὲς, *indeſinenter, aſſiduè, ſine intermiſſione*. Quum autem Homerus ἄχνην, *glumam, lanuginem, florem*, vocaverit id, quod in fluctu tenuiſſimum, atque minutiſſimum eſt, quod quidem exteriùs alliſum, deſpumat; ſciendum, hanc vocem aliter accipi a Sophocle, cum ἄχνην dicit rorem in illis verbis: Θάλλει δ' οὐρανίας ὑπ' ἄχνης ὁ καλλίβοτρυς νάρκισσος. *Vireſcit autem cœleſti a ſpumâ pulchris ille racemis narciſſus.* Neque verò ineptè, aut parùm congruenter ipſe ſic ſcripſit, eo quòd ne inter pluendum quidem aquarum guttæ ſunt inter ſeſe continuæ, ſed διαχεῖς, *diſcretæ, atque diviſæ*. unde appellata eſt ἡ ἄχνη, *ſpuma*, perinde quaſi ἀέχη, *non continua*, & per craſin, atque pleonaſmum τοῦ ν, ἄχνη, ut alibi quoque magis perſpicuè, atque clarè oſtenditur. Immo & quod dicitur, ἁλὸς ἄχνη, *maris ſpuma*, in exemplo ipſi eſt Euripidi, cum οἰνωπὸν ἄχνην, *ſpumam ex vino, ſeu vinum ſpumans*, vocat per imitationem id, quod inter libandum in terram effunditur. Porrò autem iiſdem omnino litteris, quibus ἀέχη, ἄχνη, dicitur ἀέχων ἄχων, ideſt, mendicus, ſeu nihil habens. Simile verò quodammodo eſt illud apud Sophoclem: ἃ ἔχω, ἄχω. *Quæ habeo, doleo.*

CXIX. Vi-

1. ζεφύρου ὑποκινήσαντος) Catull. in nuptiis Pelei, & Thetidos: *Hic qualis flatu placidum mare matutino Horrificans Zephyrus, proclivas incitat undas, &c. Quæ tardè primùm clementi flamine pulsæ Procedunt leni reſonant clangore cachinnum: Poſt vento creſcente magis magis increbreſcunt.* Salvinus.

2. ἀποπτύει δ' ἁλὸς ἄχνην) Idem Catull. ibid. *Quod mare conceptum ſpumantibus exſpuit undis?* Salvin.

3. ἁλὸς ἄχνην, ἤγουν ἀφρὸν, ἢ φυκίον) Heſychius: ἄχνη δὲ καὶ ὁ ἐπιπολάζων ἀφρὸς τῷ κύματι τῆς θαλάσσης. Etymologici Magni Auctor: ἁλὸς ἄχνη, τὸ χερσαῖον τῆς θαλάσσης ἀπόβλημα, τὸν ἀφρόν· ὅπερ καὶ φυκίον λέγει. Pro τὸν ἀφρὸν, lego ὁ ἀφρός. niſi fortè mavis, quod ego puto, ſcripſiſſe paullò ante Etymologum, ἁλὸς ἄχνην. et ita ſcilicet Homericum hunc locum referret. Suidas: ἄχνη ἁλὸς, τὸ λεπτότατον τοῦ ὕδατος, ὁ ἀφρὸς τῆς θαλάσσης. Eſt etiam ἁλὸς ἄχνη ἐπάνθισμα ἁλὸς ἀφρῶδες, ἀθροιζόμενον ἐπὶ τῶν πετριδίων, quod quidem dicit Dioſcorides δύναμιν habere τὴν αὐτὴν ταῖς ἁλσί. Sed & genus quoddam halcyonei memoratur Dioſcoridi, ὃ πλεῖστον ἐν τῇ Προποντίδι κατὰ τὰς καλουμένας Βέσβικον νῆσον γεννᾶται, ὃ ἰδικῶς ἁλὸς ἄχνην καλοῦσι. Scribitur etiam unâ voce ἁλοσάχνη. Politus.

4. ἐκ τοῦ ἄσσον γινομένη) Etymologici Magni Auctor: ἄσσον ἆσσον τὸ ἐγγύς. ἐξ αὐτοῦ ἀσσότερος· καὶ ἐπασσύτερον, τὸ συνεχὲς, καὶ πυκνόν. Polit.

5. τὸ ἀδιαλείπτως, ὅ ἐστι νωλεμές) Etymologici Magni Auctor: νωλεμέως, συνεχῶς, καὶ ἀδιαλείπτως. παρὰ τὸ νὴ στερητικὸν μόριον, καὶ τὸ λείπω τὸ λιμπάνω, γέγονε νωλεμὴς καὶ ἐξ αὐτοῦ νωλεμέως, οἱονεὶ τὸ μὴ λειπόμενον, ἀλλ' ἀδιαλείπτως ὂν, καὶ μὴ παυόμενον. Heſychius: Νωλεμέως, ἀδιαλείπτως, καὶ τὰ ὅμοια. Νωλεμὲς, ἀδιαλείπτως. Suidas: Νωλεμὲς, καὶ νωλεμέως, ἀδιαλείπτως. Politus.

6. Θάλλει δ' οὐρανίας ὑπ' ἄχνης) Sophocles in Oedipo Coloneo:

Θάλλει δ' οὐρανίας ὑπ' ἄχνας
ὁ καλλίβοτρυς κατ' ἦμαρ αἰεὶ
νάρκισσος.

Dixit etiam Sophocles in Trachiniis χλωρὰν δακρύων ἄχναν τὸ νοτερὸν ἀφρὸν, περιφραστικῶς δὲ τὰ δάκρυα. Polit.

7. ἀέχων ἄχων ὁ πτωχός) ἀέχων, quaſi non habens, rerum omnium egenus. Salvinus.

Digitized by Google

CXIX. Vide præterea, Poëtem hic de induſtriâ frequenti onomatopœiâ uti. Fictæ namque per onometopœiam ſunt illæ voces, ὁ ἦχος, ſonus, τὸ ῥήγνυσθαι, frangi, τὸ βρέμειν, fremere, & τὸ ἀποπτύειν, exſpuere. Itaque etiam hoc loci crebrâ utitur litterâ ῥ, & maximè in verſibus duobus extremis. Etſi enim alioquin litteræ hujus nimius uſus reprehendendus eſt, atque vituperandus, ideoque Eretrienſes notabantur, ut ſupra alicubi ſcriptum eſt, quòd litteram ῥ frequentiſſimè in omni ſermone adhiberent; tamen io locis ejuſcemodi, in quibus videlicet vocis ipſius aſperitate imitari, atque exprimere res volumus, litteræ hujus crebritate opus eſt, ut notatum eſt ed illa verba: Τριχθά, καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός. Trifariamque, & quadrifariam diffractum excidit manu. Namque alioquin pro χέρσῳ, terræ, in promptu erat dicere γαίῃ, telluri; pro ῥηγνύμενον, fractum, ἀγνύμενον, ruptum; pro ἄκρας, promontoria, θῖνας, littora; & ſic etiam alia quoque vocabula in alia pleniora, minimèque omnium ſtridula commutare. Rurſus vide, τὸ κυρτὸν, curvum, incurvum, curvatum, dici de fluctibus, pariter atque de rebus aliis inanimis: quum, juxta veteres Grammaticos, vox hæc derivetur a verbo κύπτειν, pronum eſſe, caput inclinare, oculos demittere, aut a verbo etiam κρύπτειν, abſcondere, occulere, occultare. Dicit etiam κῦμα θαλάσσης, fluctum maris, ad differentiam non modò lacûs; ſed etiam fluvii. Nam & fluvius ipſe fluctus excitat, ex quibus κυματίας, fluctuoſus, ſeu undoſus, is appellatur, qui ita fluctus excitat. Hoc item loci mentem ipſe ſuam, ut ſolet, explicat Poëta, utpote qui, ut declaret, quid ſibi velit τὸ κορύσσεται, furit, concitatur, magno impetu fertur, ſubjicit τὸ κορυφοῦται, attollitur, aſſurgit, in faſtigium erigitur. Non igitur tantummodò de armis accipitur τὸ κορύσσεσθαι, neque tantùm ſignificat armari ad prœlium. Itaque paullò poſt, quum aquam dixiſſet συμβάλλειν εἰς μισγάγκειαν, coire, atque confluere in convallem; tum verò in modum explicationis, verba illa ſubjicit: κοίλης ἔντοσθε χαράδρης, concavum intra alveum. Eſt enim ἡ μισγάγκεια, convallis, ſeu locus in valle, in quem aquæ confluunt, κοίλη χαράδρα, concavus ſulcus, ſive alveus. Similiter etiam illud, Χέρσῳ ῥηγνύμενον, ad terram fractum, confert ad explicationem aliorum illorum verborum: ἐν αἰγιαλῷ πολυηχεῖ ὄρνυται. multiſono in littore concitatur.

CXX. Quio & infra, poſteaquam de quodam narraverat, ut ἔβαλε δουρὶ κόρσην, haſtâ tempus percuſſit; tum, claritatis cauſsâ, adjicit: αἰχμὴ δὲ διὰ κροτάφοιο πέρησεν. cuſpis autem per tempus penetravit. Nec quomodocumque, aut ſimpliciter; ſed διὰ κροτάφου ἑτέρου, per alterum tempus: perinde quaſi idem ſit dicere κόρσην, atque κρόταφον, tempus. Namque τὸ ἕτερος, alter, unum ſignificat de duobus, inter ſeſe diſcretis, atque oppoſitis. Ergo, quum dixiſſet, ἔβαλε δουρὶ κόρσην, haſtâ κόρσην percuſſit, tum verò dicendum ei erat: αἰχμὴ δὲ δι' ἑτέρας κόρσης πέρησεν. cuſpis autem per alteram κόρσην penetravit. Quoniam verò non ſic dixit; ſed, δι' ἑτέρου κροτάφου πέρησεν, per alterum tempus penetravit; idem igitur eſt κόρση, atque κρόταφος, tempus. quem quidem κρόταφον derivatum volunt nonnulli e κόρση. Tranſpoſitâ enim per metatheſin litterâ ῥ, faciunt κρό-

ρϑʹ. Ὅρα δὲ καὶ, ὅτι ἐπίτηδες ἐνταῦθα ὁ Ποιητὴς συχνῇ τῇ ὀνοματοποιΐᾳ ἐχρήσατο. Ὁ γὰρ ἦχος, καὶ τὸ ῥήγνυσθαι, καὶ τὸ βρέμειν, καὶ τὸ ἀποπτύειν, ὠνοματοπεποίηνται. Οὕτω δὲ καὶ πολλῷ τῷ ῥῶ ἐν τοῖς ῥηθεῖσι χρᾶται, καὶ μάλιστα ἐν τοῖς τελευταίοις δυσὶ στίχοις. Εἰ γὰρ καὶ ἄλλως μεμπτέος ὁ τοῦ τοιούτου στοιχείου πλεονασμὸς, διὸ καὶ οἱ Ἐρετριεῖς ἐκωμῳδοῦντο, καθά που καὶ προεγράφη, ὡς πολλῷ τῷ ῥῶ χρώμενοι, ἀλλ' ἐν τοιούτοις τόποις, ἤγουν ἐν μιμητικῇ τραχυφωνίᾳ πραγμάτων, χρεία συχνοῦ καὶ τοῦ στοιχείου τούτου, ὡς ἐρρέθη καὶ ἐν τῷ, [1] Τριχθά, καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός. Ἄλλως γὰρ ἦν καὶ τὸ, χέρσῳ, γαίῃ εἰπεῖν, καὶ τὸ ῥηγνύμενον, ἀγνύμενον, καὶ τὸ ἄκρας, θῖνας· οὕτω δὲ καὶ ἑτέρας λέξεις μεταλαβεῖν εἰς τὸ λεῖον, καὶ ἄρροιζον. Ὅρα δὲ καὶ, ὅτι [2] τὸ κυρτὸν καὶ ἐπὶ κυμάτων λέγεται, ὡς καὶ ἐπὶ ἄλλων ἀψύχων, [3] γινόμενον παρὰ τὸ κύπτειν, κατὰ τοὺς παλαιοὺς, ἢ καὶ παρὰ τὸ κρύπτειν. καὶ ὅτι κῦμα θαλάσσης ἔφη, πρὸς διαστολὴν οὐ μόνον λίμνης, ἀλλὰ καὶ ποταμοῦ. Ἐγείρει γὰρ καὶ αὐτὸς κύματα, ἐξ ὧν κυματίας ὁ τοῦτο πάσχων λέγεται. καὶ ὅτι ἑρμηνεύων καὶ ἐνταῦθα συνήθως ἑαυτὸν ὁ Ποιητὴς, ἐπήγαγεν εἰς δήλωσιν τοῦ κορύσσεται, τὸ [4] κορυφοῦται. Οὐκ ἄρα ἐπὶ μόνων ὅπλων τὸ κορύσσεσθαι. Οὕτω δὲ καὶ μετ' ὀλίγα ὕδωρ εἰπὼν συμβάλλειν εἰς μισγάγκειαν, ἐπάγει ἑρμηνευτικῶς τὸ, κοίλης ἔντοσθε χαράδρης. [5] ἔστι γὰρ ἡ μισγάγκεια, κοίλη χαράδρα. Ὁμοίως δὲ καὶ τὸ, Χέρσῳ ῥηγνύμενον, ἑρμηνευτικόν ἐστι τοῦ, ἐν αἰγιαλῷ πολυηχεῖ ὄρνυται.

ρκʹ. Καὶ ἐν τοῖς ἑξῆς δὲ εἰπὼν, ὡς ἔβαλέ τις δουρὶ κόρσην, ἐπάγει διασαφητικῶς, αἰχμὴ δὲ διὰ κροτάφοιο πέρησε. καὶ οὐχ ἁπλῶς, ἀλλὰ διὰ κροτάφου ἑτέρου, ὡς ταυτὸν ὂν, κόρσην εἰπεῖν, καὶ κρόταφον. Τὸ γὰρ ἕτερος, ὡρισμένης, καὶ ἀντιζυγούσης δυάδος δηλοῖ τὸ ἕν. Εἰπὼν οὖν, ἔβαλε δουρὶ κόρσην, ὤφειλεν εἰπεῖν, αἰχμὴ δὲ δι' ἑτέρας κόρσης ἐπέρησεν. Ἐπεὶ δὲ οὐκ εἶπεν οὕτως, ἀλλ' ὅτι δι' ἑτέρου κροτάφου ἐπέρησε, [6] ταυτὸν ἄρα κόρση, καὶ κρόταφος. [7] ὃν καὶ ἐκ τῆς κόρσης ἐτυμολογοῦσί τινες, οἱ μεταθέντες τὸ ῥ, ποιοῦσι κρόσην. εἶ-

1. Τριχθά, καὶ τετραχθά) Poëta: Τριχθά τε, καὶ τετραχθά. Polit.

2. τὸ κυρτὸν καὶ ἐπὶ κυμάτων λέγεται) Heſychius: κυρτὸν, τὸ περιφερὲς κυρτόν. καὶ τὸ ὑψηλὸν, καὶ μετέωρον κῦμα. Etymologici Magni Auctor: κυρτὸν σημαίνει καὶ τὸ μετέωρον, καὶ ὑψηλὸν, ὡς τὸ ἐπὶ τοῦ κύματος. Polit.

3. γινόμενον παρὰ τὸ κύπτειν) Etymologici Magni Auctor: κυρτὸς, ὀξυτόνως, τὸ ἐπίδοτον· ἀπὸ τοῦ κύπτω, κυπτὸς, καὶ πλεονασμῷ τοῦ ῥ, καὶ ἀποβολῇ τοῦ συμφώνου, κυρτός. Polit.

4. κορυφοῦται) ὀρθοῦται. Politus.

5. ἔστι γὰρ ἡ μισγάγκεια, κοίλη χαράδρα) Heſychius: μισγάγκεια (corruptè in libris editis μισαγγία) κοῖλος τόπος, εἰς ὃν πανταχόθεν τὰ κάτω φερόμενα ἀπὸ τῶν ὀρῶν ὕδατα μίσγεται. Paullo poſt. μισγάγκειαν, τόπος κοῖλος. ὅπου συμμίγνυνται ὕδατα πολλά. Polit.

6. ταυτὸν ἄρα κόρση, καὶ κρόταφος) Suidas: κόρσην, κρόταφον. Polit.

7. ὃν καὶ ἐκ τῆς κόρσης ἐτυμολογοῦσί τινες) Etymologici Magni Auctor: παρὰ τὴν κόρσην κόρσαφος, καὶ κόρταφος, καὶ ἐν ὑπερθέσει, κρόταφος. Polit.

τα ἐξ αὐτοῦ παράγουσι διὰ τοῦ ά, καὶ φ' διεξοδικώτερον τὸν κρόταφον. ἵνα ᾖ κρόσαφος, καὶ Ἀττικῶς κρόταφος. Ὅτι δὲ καὶ τοιαῦται γίνονται παραγωγαὶ, ἤγουν διὰ τοῦ ά, καὶ φ', δηλοῖ καὶ τὸ χρυσάφιον, ἐκ τοῦ χρυσὸς παραχθέν. ὥσπερ καὶ ἀπὸ τοῦ ξύλου τὸ ξυλάφιον, [1] καὶ ἔδος ἐδάφιον. [2] Ἀπὸ δέ γε τῆς κόρσης γίνεται καὶ ἡ κόῤῥη, τροπῇ τοῦ σ' εἰς ρ. [3] ὁμοίως τῷ πυρσὸς πυῤῥὸς· ταρσὸς ταῤῥὸς. Καὶ τὸ κατὰ κόῤῥης δὲ τύψαι τινὰ, [4] τὸ κατὰ κόρσης, ἤτοι κροτάφου, ἐστί. [5] Παρὰ Ἀττικοῖς δὲ κόῤῥη, ἡ γνάθος. [6] Ἀριστοτέλης δὲ κρόταφόν φησι, τὸ μεταξὺ ὀφθαλμοῦ, ὠτὸς, καὶ κορυφῆς. [7] Ὅτι δὲ καὶ ἀπὸ τοῦ κηρύσσειν τάφον ἐτυμολογεῖται, δηλοῦσιν οἱ παλαιοί. Συντελεῖ δὲ εἰς τοῦτο καὶ Θεόκριτος, εἰπών· [8] ἀπὸ κροτάφων πελόμεσθα πάντες γηραλέοι, καὶ ἐπισχερὼ, ἤτοι κατὰ τάξιν, καὶ ἐφεξῆς, ἐς γένυν
Baſ. p.376. ἔρπει λευκαίνων ὁ χρόνος. Ἔτι ἰστέον καὶ, ὅτι πόντον μὲν, κἀνταῦθα συνήθως ἔφη τὸ τῆς θαλάσσης πελαγίζον· οὗ καταπνεομένου ἀνέμοις [9] (ὅθεν καὶ πόντος λέγεται, ὡς διά τις πνόος) κυρτοῦνται κύματα κορυφούμενα, καὶ ἔξω ἐλαύνονται. Χέρσον δὲ, τὸν ἀνωτέρω αἰγιαλόν. καὶ ὅτι τὸ ῥηγνύμενον, τὸν ῥηγμῖνα παράγει. Δῆλον γὰρ, ὡς [10] ῥηγμὶν αἰγιαλώδης ἐστὶ, περὶ
Rom. p.493. ὃν κύματα ῥήγνυνται. καὶ ὅτι τὸ βρέμει προσαρμόττον καὶ πυρὶ, καὶ ἀνέμοις, ἰδοὺ κεῖται καὶ ἐπὶ κύματος. Τροπικῶς δέ ποτε καὶ ὁ ἀλαζὼν, καὶ ὁ ἀπειλητὴρ, [11] βαρὺ βρέμειν λέγονται. καὶ ὅτι ἄκρας, τὰ ἀκρωτήρια λέγει, ἐν οἷς μάλιστα βρέμει τὰ κύματα.

ρκά. Πλάττων ὁ Ποιητὴς ἐνταῦθα τοὺς ἡγεμόνας κελεύοντας τοῖς ἑαυτῶν (φησὶ γὰρ, κέλευε δὲ οἷσιν, ἤγουν ἰδίοις, ἕκαστος ἡγεμόνων) παρεμφαίνει χρῆναι, καὶ εὐρυβόας εἶναι τοὺς στρα-

εἶναι. Inde poſtea cum ά, & φ', fuſiùs atque pleniùs per paragogen deducunt τὸν κρόταφον, *tempus*. adeo ut ſit κρόσαφος, & Atticè κρόταφος. Ejuſcemodi autem fieri per paragogen ſolere derivationes vocabulorum, cum ά videlicet, & φ', palam etiam facit τὸ χρυσάφιον, *exiguum aurum, ſeu parum auri*, vox derivata ex χρυσὸς, *aurum*. Sicuti & τὸ ξυλάφιον, *parvum lignum*, ex ξύλον, *lignum*; & ἐδάφιον, *exiguum ſolum*, ab ἔδος, *ſolum, ſeu pavimentum*. Porro autem a κόρσῃ fit ἡ κόῤῥη, mutatione τοῦ σ' in ρ, ſimiliter atque dicitur πυρσὸς, πυῤῥὸς, *rufus*, ταρσὸς, ταῤῥὸς, *crates viminea*. Quin & unum aliquem percutere, ſeu ictum cuipiam infligere κατὰ κόῤῥης, idem eſt, atque τὸ κατὰ κόρσης, ſive κροτάφου, *in tempore*. Quamquam apud Atticos κόῤῥη ſit maxilla. Ariſtoteles autem κρόταφον, *tempus*, vocat id, quod interjectum eſt, atque interpoſitum inter oculum, aurem, & verticem capitis. Quod verò ad vocis hujus etymologiam attinet, ex veteribus conſtat, dictum eſſe τὸν κρόταφον, *tempus*, ἀπὸ τοῦ κηρύσσειν τάφον, *a prænuntiando ſepulcro*. Atque huc etiam confert Theocritus illis verbis: ἀπὸ κροτάφων πελόμεσθα πάντες γηραλέοι, καὶ ἐπισχερὼ, videlicet κατὰ τάξιν, καὶ ἐφεξῆς, ἐς γένυν ἕρπει λευκαίνων ὁ χρόνος. *A temporibus fieri incipimus omnes ſenes; atque inde continenter, ordine videlicet, ac deinceps, ad genas ſerpit ætas, quæ canos facit*. Ad hæc, ſciendum, Poëtam hîc pro more πόντον, *pontum*, dicere pelagus ipſum, ſeu altum, & medium mare. quod ſi perflant venti (unde & πόντος, *pontus*, dicitur, quaſi πνόος, *perflabiles*) eleti ſublime fluctus incurvantur, extraque expelluntur. At verò χέρσον, *terram*, vocat τὸν αἰγιαλὸν, *littus*, de quo ſupra. Porro autem τὸ ῥηγνύμενον, *fractum*, derivatum ex ſe habet τὸν ῥηγμῖνα, *littus*. Conſtat enim, dici τὸν ῥηγμῖνα de littore, circa quod fluctus ῥήγνυνται, *franguntur*. Præterea τὸ βρέμει, *fremit*, quum in ignem, ac ventos aptè congruenterque conveniat, ecce tibi de fluctu etiam uſurpatur. Quamquam & aliquando per metaphoram tum ventoſus oſtentator ſui, tum qui minaciter loquitur, βαρὺ βρέμειν, *graviter fremere*, dicantur. Ἄκρας denique, *ſummitates*, dicit promontoria, in quibus maximè fremunt fluctus.

CXXI. Poëta quum hoc loci duces in eo occupatos faciat, ut milites ſuos pro imperio cohortentur (hæc enim ejus verba: κέλευε δὲ οἷσιν, videlicet ἰδίοις, ἕκαστος ἡγεμόνων. *imperabat autem ſuis, videlicet ſui ipſorum militibus unuſquiſque ductorum*) obiter oſtendit, oportere eos, qui ductores

1. καὶ ἔδος ἐδάφιον) Magis cohæret: καὶ ἀπὸ τοῦ ἔδος τὸ ἐδάφιον. Polit.

2. Ἀπὸ δέ γε τῆς κόρσης γίνεται καὶ ἡ κόῤῥη, τροπῇ τοῦ σ' εἰς ρ) τροπῇ Ἀττικῇ. Etymologus ex Eratoſthene notat, μεταβεβλῆσθαι τὸ σ' εἰς τὸ ρ, Ἀττικῶς, εἰς ἀπὸ τοῦ μυῤῥίνης, καὶ τοῦ ταῤῥοῦ. ἐστι γὰρ μυρσίνη, καὶ ταρσός. Politus.

3. ὁμοίως τὸ πυρσός) l. ὁμοίως τῷ πυρσός. Polit.

4. τὸ κατὰ κόρσης, ἤτοι κροτάφου, ἐστί) Pollux: τοὺς δὲ κροτάφους ἔστιν καὶ κόῤῥας καλοῦσιν, ἀπὸ τοῦ κόρσας, ἤγουν κεφαλάς. καὶ παίειν εἶναι τὸ ἐπὶ κόῤῥης παίειν. Alii τὸ κατὰ κόρσης intelligunt τὸ κατὰ σιαγόνος. Etymologici Magni Auctor: καὶ κατὰ κόῤῥης λέγεται τὸ τὴν σιαγόνα πλῆξαι. Polit.

5. Παρὰ Ἀττικοῖς δὲ κόῤῥη, ἡ γνάθος) Sic τὸ κατὰ κόῤῥης τύψαι τινὰ dicunt Attici τὸ κατὰ γνάθου. Κόῤῥην γὰρ τὴν γνάθον, καὶ σιαγόνα οἱ Ἀττικοί. Idem dicunt Attici ἐπὶ κόῤῥης πατάξαι. Thomas Magiſter: ἐπὶ κόῤῥης πατάξαι, λέγουσιν Ἀττικοὶ τὸ τὴν γνάθον πλατείᾳ πλῆξαι χειρὶ, οὐ ῥάπισμα δοῦναι. Separatim apud Heſychium legendum, ἐπὶ κόῤῥης, non conjunctim ἐπικόῤῥης· quod ipſe exponit ἐπὶ κεφαλῆς, ἢ γνάθου. Harpocration: ἐπὶ κόῤῥης. Δημοσθένης ἔν τε τῷ κατὰ Μειδίου. ἄλλοι μὲν ἄλλως ἀποδίδοασι· βέλτιον δὲ ὑπολαμβάνειν ἐπὶ κόῤῥης λέγεσθαι τὸ ἐπὶ τῆς γνάθου, ὃ λέγομεν ἐν τῷ βίῳ ῥάπισμα. Suidas: ἐπὶ κόῤῥης. ἄλλοι μὲν ἄλλως ἀποδίδοασιν· βέλτιον δὲ ἐπὶ τῆς γνάθου ὑπολαμβάνειν. ὃ κατ' ἔθος λέγομεν ῥάπισμα, ὅτῳ γὰρ χρῶνται καὶ οἱ ῥήτορες. Politus.

6. Ἀριστοτέλης δὲ κρόταφόν φησι) Ariſtoteles lib. 1. De Hiſt. Animal. τὸ δὲ μεταξὺ ὀφθαλμοῦ, καὶ ὠτὸς, καὶ κορυφῆς, καλεῖται κρόταφος. Polit.

7. Ὅτι δὲ καὶ ἀπὸ τοῦ κηρύσσειν τάφον ἐτυμολογεῖται) Etymologiæ τοῦ κροτάφου alia apud alios. Quibusdam etiam dictus videtur κρόταφος, ὅτι ὁ κρουόμενος εἰς αὐτὸν, τάφον ἔχει, καὶ ἐμπλήκτος γίνεται. Polit.

8. ἀπὸ κροτάφων πελόμεσθα πάντες γηραλέοι) Theocritus Id. 14.

ἀπὸ κροτάφων πελόμεσθα
Πάντες γηραλέοι, καὶ ἐπισχερὼ ἐς γένυν ἕρπει
Λευκαίνων ὁ χρόνος.

Scholiaſtes. ἀπὸ τῶν μηνίγγων γινόμεθα πάντες γέροντες· καὶ ἐφεξῆς κατὰ τάξιν ἐς τὰς παρειὰς ἔρχεται λευκαίνων ὁ χρόνος. Quærit Alexander Aphrodiſienſis Problem. 1. διὰ τί τοὺς ἀνθρώπους ὁ Ὅμηρος πολιοκροτάφους ἐκάλεσεν; & reſpondet, ὅτι ὡς ἐπὶ τὸ πλεῖστον ἐντεῦθεν αἱ πολιαὶ ἄρχονται τὰ ἔμπροσθεν τῆς κεφαλῆς ὄντα διὰ τὸ μᾶλλον ὑγρότερα, καὶ φλεγματικώτερα. Ad Problema hoc Alexandri in margine editionis Aldinæ locum, quem diximus, Theocriti notaverat etiam Salvinus. Politus.

9. ὅθεν καὶ πόντος λέγεται, ὡς διά τις πνόος) Sunt hæc bella commenta Grammaticorum. Etymologici Magni Auctor: ἀπὸ τοῦ πνέω πνόος, καὶ πόντος, δι' ὃ καὶ αἱ πνοαὶ γεννῶνται. Politus.

10. ῥηγμὶν αἰγιαλώδης ἐστί, περὶ ὃν κύματα ῥήγνυνται) Etymologici Magni Auctor: ῥηγμὶν, κυρίως ἐπὶ τοῦ προσρησσομένου τῇ γῇ ὕδατος, ὡς τὸ, ἁλὸς ῥηγμῖνα βαθεῖαν. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ αἰγιαλοῦ· θῖνες ἐπὶ ῥηγμῖνι θαλάσσης. παρὰ τὸ ἐκεῖ ῥήσσεσθαι, καὶ ἐκεῖ κατακλᾶσθαι τὰ κύματα. Politus.

11. βαρὺ βρέμειν) unde αὐλοὶ βαρύβρομοι, *tibiæ gravifremæ*. Salvinus.

ctores ſunt exercitus, voce eſſe amplâ latèque ſonorâ, atque, ut ipſe alicubi loquitur, βοὴν ἀγαθὸς, *bonâ validâque voce præditos*, maximèque, quando prœlium committitur. Deinde Achivos, ut antea, ab ordine, atque a militari diſciplinâ commendat, dum eos ſilentio ad pugnam proceſſiſſe commemorat, non ullo quidem metu; ſed ducum ſuorum reverentiâ. Sic enim narrat: Alii verò taciti ἴσαν, hoc eſt, ἐπορεύοντο, *ibant*, *ſeu progrediebantur*. Neque verò dixiſſes, tantas copias, quæ ſequebantur, vocem in pectore habere. Taciti namque erant, duceſque verebantur. Idque optimo jure. Si enim ipſi nequaquam tacuiſſent, neque etiam ducum ſuorum mandata diſtinctè auribus percipere potuiſſent. Et obſerva, ut ſilentium ipſum declarat. Sic enim ſilent, ut vocis omnino expertes, mutique eſſe videantur. Eſt autem τὸ ἴσαν, *ibant*, verbum inviſum, atque odioſum pedeſtris orationis ſcriptori. Ubi enim locorum apud hos iſtos ſcriptores τὸ ἴω, ἴσω, *eo*, *ibo*, ex quibus Aoriſtus ἴσα, *ivi*, cujus tertia numero multitudinis perſona, ἴσαν, *iverunt*? tametſi Poëtæ talem ſibi voculam domeſticam, atque familiarem fecerint. Porro autem τὸ σιγῇ, *ſilentio*, interpretatio eſt, atque explicatio τοῦ ἀκὴν, *tacitè*, *ita ut ne biſcerent quidem*. Figura ſententiæ, Hyperbaton, propter ejus ordinem perturbatum, atque interruptum. Hæc enim tandem eſt ſententia, atque hic ordo verborum: ἀκὴν ἴσαν σιγῇ, δειδιότες σημάντορας. *tacitè ibant cum ſilentio, veriti duces*, qui, etſi nunc, tamquam κελεύοντες, ſive σημαίνοντες, *imperantes*, *ſive edicentes*, *ſignumque movendorum caſtrorum*, *ac pugnæ dantes*, appellati ſint σημάντορες, *imperatores*, *ſeu duces*; cum tamen diſtinctè atque ordinatim exercitum inſtruunt, vocantur iidem κοσμήτορες, *moderatores*, *atque ordinatores*. Illud porrò, οὐδέ κε φαίης, *neque verò dixiſſes*; non ſimiliter ſeſe habet, atque illud: οὐδέ κε φαίης, ἀνδρί γε μαχεσσάμενον ἐλθεῖν. *Neque verò illum dixeris congreſſum armis cum viro veniſſe*: ſed planè eſt alteriuſmodi. Illa enim verba ſunt Veneris ad Helenam. Quæ verò hic habentur, verba ſunt Muſæ ad Poëtam, ejus, quæ invitata priùs ad canendum fuerat, ad eum, qui ipſam priùs invitaverat. Præterquam quòd Poëta ſermonem ſuum per apoſtrophen ad auditorem avertit, quiſquis ille demùm fuerit, cui Poëtam ipſum audire obtigerit. Vide porrò τὸ δειδιότες, *verentes*, *ac metuentes*: quum hinc bene doceamur, metum in iis ineſſe oportere, qui ſub alieno ſunt imperio, ut ſic, juxta Poëtam Tragicum, ſalvi, atque incolumes evadant. Ceterùm, ſecundùm analogiam, producta eſſe videtur prima τοῦ σιγῇ, *ſilentio*, tamquam ex Præterito Medio σέσιγα, *ſilui*, *vel ſileo*: cujus thema τὸ σίζω, *ſtridorem*, *ſeu ſibilum edo*, verbum uſurpatum in Odyſſeâ. Sicui autem placet, ut ex Præterito perfecto Activo ejuſdem thematis, ideſt, ex σέσιχα, *ſtridorem edidi*, deriverint τὸ σιχὸς, ideſt, reſpuendus, deteſtabilis, odioſus, pleonaſmoque τοῦ κ, σικχὸς, pariter

ϛρατηγὺς, καὶ, ὡς αὐτός πȣ λέγει, [1] βοὴν ἀγαθὺς, καὶ μάλιϛα, ὅτε συῤῥήγνυται πόλεμος. Εἶτα ἐπαινῶν εἰς εὐταξίαν τὺς Ἀχαιὺς, ὡς καὶ πρὸ τύτων, σιγῇ προϊέναι αὐτὺς φησὶν εἰς μάχην, ὐ καταπεπληχότας, ἀλλὰ δι' εὐλάβειαν. Φησὶ γάρ· οἱ δ' ἄλλοι ἀκὴν ἴσαν, ὅ ἐϛιν, ἐπορεύοντο. Οὐδέ κε φαίης, τόσσον λαὸν ἕπεσθαι ἔχοντα ἐν ϛήθεσιν αὐδὴν· σιγῇ δειδιότες σημάντορας. καὶ εἰκότως. Εἰ γὰρ μὴ αὐτοὶ ἐσίγων, ὐκ ἂν εἶχον ἄλλως ἀκριβῶς ἀκύειν, ὧν οἱ ἡγεμόνες ἐκέλευον. Καὶ σημείωσαι, ὅπως διεσάφησε τὴν σιγὴν. Οὕτω γὰρ σιγῶσιν, ὥστε δοκεῖν ἄφωνοι εἶναι. Ἔϛι δὲ τὸ μὲν ἴσαν, ϛυγητὸν πεζῷ λογογράφῳ. πȣ γὰρ παρὰ τοῖς τοιύτοις τὸ, ἴω ἴσω, ἐξ ὧν ἀόριϛος ἴσα, ὗ τὸ τρίτον πληθυντικὸν, ἴσαν; [2] εἰ καὶ Ποιηταῖς τὸ τοιῦτον ᾠκείωται λεξείδιον. Τὸ δὲ σιγῇ, ἑρμηνεία τȣ, ἀκὴν. Τὸ δὲ σχῆμα τῆς ἐννοίας, ὑπερβατόν. [3] Λέξει γὰρ, ὅτι [4] ἀκὴν ἴσαν σιγῇ, δειδιότες σημάντορας, οἳ νῦν μὲν, ὡς κελεύοντες, ἤτοι σημαίνοντες, σημάντορες εἴρηνται· ὅτε δὲ καὶ τάσσυσι τὸν ϛρατὸν εὐκόσμως, κοσμήτορες λέγονται. Τὸ δὲ, οὐδέ κε φαίης, ὐκ ἔϛι κατὰ τὸ, ὐδέ κε φαίης, ἀνδρὶ [5] μαχεσσάμενον ἐλθεῖν· ἀλλ' ἑτεροῖον. Ἐκεῖνο μὲν γὰρ Ἀφροδίτη ἔφη πρὸς τὴν Ἑλένην· τὸ δ' ἐνταῦθα, ἡ ἄνδην προκληθεῖσα μȣ̃σα τῷ προκαλεσαμένῳ Ποιητῇ λαλεῖ. Καὶ ἄλλως δέ γε ὁ Ποιητὴς [6] ἀποϛρέφει τὸν λόγον πρὸς τὸν ἀκροατὴν αὐτȣ̃ λαχόντα. Ὅρα δὲ τὸ δειδιότες, παιδευτικὸν ὂν τȣ̃ χρῆναι καὶ δέος ὑπεῖναι τοῖς ἀρχομένοις, [7] ἵνα καὶ σώζοιντο οὕτω, κατὰ τὸν Τραγικόν. Τȣ̃ δὲ σιγῇ ἀναλόγως δοκεῖ ἐκτετάσθαι ἡ παραλήγυσα, ὡς ἐκ τȣ̃ σέσιγα μέσȣ παρακειμένȣ· ὗ θέμα [8] τὸ σίζω, κείμενον ἐν Ὀδυσσείᾳ. Εἰ δὲ καὶ ὁ τοῦ αὐτȣ̃ θέματος ἐνεργητικὸς παρακείμενος ὁ σέσιχα, παράγει τὸ, σιχὸς ὁ ἀπόπτυϛος, καὶ πλεονασμῷ τȣ̃ κάππα, [9] σικχὸς, κατὰ τὸ βάζω

1. βοὴν ἀγαθὸς) Βοὴ, *boatus*, *vox*. & Poëtis pro prœlio, ac bello uſurpatur, ob armorum fragorem, militumque clamorem. *Inſequitur clamorque virûm clangorque tubarum*. Salvin.

2. εἰ καὶ Ποιηταῖς τὸ τοιοῦτον ᾠκείωται λεξείδιον) Cic. de Orat. Ibi Antonius: *Poëtas Græcos non attigi, quia videntur aliâ linguâ eſſe locuti*. Salvinus.

3. λέξει γὰρ) Malim. λέγει γάρ. Polit.

4. ἀκὴν ἴσαν σιγῇ) alibi: ἀκὴν ἐγένοντο σιωπῇ. Virg. *Conticuere omnes, intentique ora tenebant*. Salvin.

5. μαχεσσάμενον ἐλθεῖν) Poëta, μαχεσσάμενον τόν γ' ἐλθεῖν. Polit.

6. ἀποϛρέφει τὸν λόγον πρὸς τὸν ἀκροατὴν αὐτȣ̃ λαχόντα) Verſus Medea Ovidii apud Quinctilianum: *Servare potui: perdere an poſſim, rogas?* ſcilicet, o tu, qui audis, qui ſpectas, ſermone quaſi ad illam converſo. Salvinus.

7. ἵνα καὶ σώζοιντο οὕτω, κατὰ τὸν Τραγικόν) Sophocles in Ajace:

Δέος γὰρ ᾧ πρόσεστιν, αἰσχύνη θ' ὁμοῦ,
σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο. Politus.

Agamemnon ad Chalcantem, Iliad. α. Ἀλλ' ἴθι, μή μ' ἐρέθιζε, σαώτερος ὥς κε νέηαι. Salvin.

8. τὸ σίζω, κείμενον ἐν Ὀδυσσείᾳ) In Odyſſeâ de oculo Cyclopis ab Ulyſſe ſude præuſtâ terebrato. Σίζ', ideſt, *ſibilum edebat*, Salvin.

Heſychius: σίζ', ἦχει, κατὰ μίμησιν ἠχοῦ. Scribendum σίζ' cum apoſtropho pro vulgato σίζε, pro quo Palmerius legebat σίζω. Eſt illud ipſum Homericum σίζ' Odyſſeæ, quod Heſychius exponit ἦχει. Illud Heſychius eſſe ait per imitationem ſoni. Eſt enim per onomatopœiam. Politus.

9. σικχὸς) ὁ σικχαντός. Polit.

βάζω βέβαχα, [1] βάκχος, καὶ βάκχος, εἴη ἂν καὶ αὐτὸ εὔλογον. Δῆλον δ', ὅτι ἐκ τοῦ σικχὸς [2] καὶ ῥῆμά ἐστι σικχάζω.

ρκβ'. Ἐν ἄλλοις μὲν ἡ τῶν πολεμικῶν ὅπλων λαμπρότης, πλείονος λόγου ὕλη γίνεται τῷ Ποιητῇ· ἐνταῦθα δὲ οὕτω δόξαν αὐτῷ, ἀρκεῖται περὶ τῶν Ἀχαιῶν εἰπὼν μόνον τό, ἀμφὶ δὲ πᾶσι τεύχεα ποικίλα ἔλαμπεν. Καὶ ὅτι σεμνύνας τοὺς Ἕλληνας ἐπὶ εὐταξίᾳ διὰ τὴν ῥηθεῖσαν σιγὴν, εὐθὺς ἐκ τοῦ ἐναντίου ὑπογράφει τὸν κατὰ Τρῶας πολὺν θόρυβον παραβολικῶς, οὐ κατὰ γεράνους, ὡς πρὸ τούτων, ἀλλὰ κατὰ συχνὰ ποίμνια γινόμενον, εἰπών· Τρῶες δ', ὥστ' ὄϊες πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ μυρίαι ἑστήκασιν, ἀμελγόμεναι γάλα λευκὸν, [3] ἀζηχὲς, ὅ ἐστι, συνεχὲς, μεμακυῖαι, ἀκούουσαι ὄπα ἀρνῶν. ὃ δὴ καὶ αἴτιον αὐταῖς τοῦ πολλὰ μηκᾶσθαι· ὡς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει. Ἴσως δὲ τῷ ὀνόματι τῶν οἰῶν, καὶ τῶν ἀρνῶν, [4] καὶ τὰς αἶγας νῦν, καὶ τοὺς ἐρίφους, συνοπτέον. Ὅρα δὲ, ὅτι τὸ ἀγροικικὸν ἡ παραβολὴ, ὡς ἐκ παρέργου, παρέχει ἱστορίαν, καὶ ὅτι ἀκαταλλήλως ἐν αὐτῇ ἔχει πρὸς τὴν ἀπόδοσιν ἡ σύνταξις τῆς ἀρχῆς. Ἄρχεται μὲν γὰρ, κατὰ εὐθεῖαν· ἀποδίδοται δὲ κατὰ γενικήν. οἷον· Τρῶες δὲ, ὡς ὄϊες μηκῶνται, οὕτω Τρώων ἀλαλητὸς ὀρώρει. ὡς δῆθεν ταυτὸν ὄν, Τρῶες εἰπεῖν, καὶ Τρώων ἀλαλητός. Τινὲς δὲ ἀσύντακτον μένειν φασὶ τὸ, Τρῶες δὲ, ὥστ' ὄϊες. Οὐ γὰρ ἔχει ἀπόδοσιν, καὶ ἔστιν οὕτω πάνυ καινοπρεπὲς τὸ σχῆμα. Ἠδύνατο μὲν γὰρ ὁ Ποιητὴς συνήθως ἀποδοῦναι τὴν παραβολὴν, ὡς καὶ ἤρξατο, καὶ εἰπεῖν ἐν τῇ ἀποδόσει, ὅτι ὡς Τρῶες ἐποίουν τάδε τινά. ἢ καὶ ἄλλως γράψαι κατὰ τὴν ἀρχήν· Τρώων δὲ, ὥστ' ὄϊες, καὶ ἑξῆς. ἵνα ἡ ὁμοιόπτωτος τῇ ἀποδόσει καὶ ἡ ἀρχή. ὁ δὲ οὐκ ἠθέλησεν, ἀλλὰ οἷον [5] συνεβαρβάρισε καὶ αὐτὸς τῷ Τρωϊκῷ ἀλαλητῷ.

ρκγ'. [6] Πολυπάμμονα δὲ, τὸν πολυκτήμονα λέγει. Πάμματα γὰρ παρὰ Δωριεῦσι [7] τὰ κτήματα. καὶ πάσασθαι, τὸ κτήσασθαι. [8] ὅθεν καὶ τὸ

riter atque ex βάζω βέβαχα, *loquor, locutus ſum*, fit βάχος, & βάκχος, *Bachus, & Bacchus*; id ſanè conſentaneum fuerit, & conſonum rationi. Conſtat autem ex σικχός, *odioſus*, verbum eſſe σικχάζω, *irrideo, ſeu exſecror*.

CXXII. Quamquam militarium armorum ſplendor longioris ſermonis materiam Poëtæ alibi ſubminiſtrat; tamen hoc loci, quum ita ei viſum ſit, ſatis habet de Achivis id unum, ac ſolum dicere: *& in omnibus arma varia ſplendebant*. Deinde, quum Græcos a militari diſciplinâ propter ipſum illud ſilentium commendaſſet; ſtatim e contrario per comparationem deſcribit, ac repræſentat magnum tumultum Trojanorum, qui non, ut antea, gruum more; ſed ut conſerti frequenteſque ovium greges, tumultuarentur. Sic enim narrat: *Trojani vero, ſicuti oves in locupletis viri caulâ ſtant millenæ, dum lac album mulgetur*, ἀζηχὲς, hoc eſt, συνεχὲς, *aſſiduè, ſine ullâque intermiſſione*, balantes, voce agnorum auditâ. quod utique in cauſsâ eſt, cur eæ multùm balent: ſic Trojanorum clamor longè latèque per exercitum illum magnum excitabatur. Ac fortaſſe nomine τῶν οἰῶν, *ovium*, & τῶν ἀρνῶν, *agnorum*, capræ etiam nunc, atque hædi ſunt ſimul intelligendi. Vide verò, ut hæc comparatio, quaſi per tranſennam, rei ruſticæ narrationem continet, itemque ut ejus comparationis principium, in ſtructurâ quidem, minimè omnium congruit, aut cohæret cum redditione. Incipit enim per rectum; deinde in redditione conſtruitur per caſum gignendi. videlicet: Τρῶες δὲ, ὡς ὄϊες μηκῶνται, οὕτω Τρώων ἀλαλητός· *Trojani verò, ut oves balant, ſic Trojanorum clamor excitabatur*. quaſi ſcilicet idem ſit dicere, Τρῶες, *Trojani*, atque Τρώων ἀλαλητός, *clamor Trajanorum*. Verùm nonnulli extra ſtructuram atque ordinem ceteræ orationis manere volunt illud: Τρῶες δὲ, ὥς τ' ὄϊες. *Trojani verò, ut oves*. Caret enim redditione, ſeu non habet, quid ei in alterâ parte comparationis reſpondeat. Itaque loquendi genus eſt figuratum decorâ admodum, & eleganti novitate. Poterat namque ſuo more Poëta comparationem, ut cœperat, reddere, & in redditione ipſâ dicere: ὡς Τρῶες ἐποίουν τάδε τινα. *Sic Trojani faciebant*. aut etiam alter ſcribere in principio: Τρώων δὲ, ὥς τ' ὄϊες, &c. *Trojanorum verò, ſicuti oves, &c.* ut ab eodem caſu, a quo redditio, quæ eſt altera pars comparationis, principium quoque ipſum duceretur. Ille tamen ſic noluit: ſed, Trojanis vociferantibus, ipſe quoque, veluti ad eorum exemplum, ſermone ſimul uſus eſt barbaro.

CXXIII. Πολυπάμμονα dicit eum, qui poſſidet multa, ſeu cujus poſſeſſiones ſunt multæ. Πάμματα enim apud Dorienſes, poſſeſſiones, & πάσασθαι, poſſidere, ſeu acquirere. unde & τὸ πῶϋ, *grex*,

1. βάχος, καὶ βάκχος) βάκχος, ἀπὸ τοῦ βάζειν. Sicuti Ἔρως ἀπὸ τοῦ ἐρῶν. uterque enim Deus loquaces homines facit, quod ebriorum eſt. *Salvinus*.

2. καὶ ῥῆμά ἐστι σικχάζω) etc non τὸ σικχαίνω, ἀντὶ τοῦ βδελύττομαι. Id tamen verbi nauſeam movet Phrynicho. Σικχαίνομαι, inquit, τὸ ὄνομα ναυτίας ἄξιον τοὔνομα· ἀλλ' ὑμεῖς βδελύττομαι εἰς Ἀθηναίους. Politus.

3. ἀζηχὲς, ὅ ἐστι, συνεχὲς) ἢ μεγαλόηχον. Etymologici Magni Auctor: ἀζηχὲς, παρὰ τὸ ἄδην, ὃ σημαίνει τὸ ἀδιαλείπτως, ἀδηχὲς· καὶ τροπῇ τοῦ δ' εἰς ζ. Δωρικῶς ἀζηχές. ἄδην δέ ἐστι τὸ ἀδιαλείπτως, ἢ μεγαλόηχον. οἷον, Ἀζηχὲς μεμαυῖαι. Polit.

4. καὶ τὰς αἶγας νῦν, καὶ τοὺς ἐρίφους, συνοπτέον) Uſurpat enim verbum μηκῶνται, quod proprium capratum eſt, quæ a Poëtâ dicuntur μηκάδες αἶγες. Salvinus.

5. συνεβαρβάρισε καὶ αὐτὸς) Sunt genera loquendi popularia, quæ ſunt σολοικοειδῆ. Multa hujus generis exempla occurrunt apud Ælianum. *Salvinus*.

6. Πολυπάμμονα δὲ, τὸν πολυκτήμονα λέγει) Scholiaſta Homerico: Πολυπάμμονος, πλουσίου. Πάμματα γὰρ καλεῖται παρὰ Δωριεῦσι τὰ κτήματα· καὶ πάσασθαι, τὸ κτήσασθαι, ἐκτήσατο τί. Heſychius: Πολυπάμμονος, πολλὰ κτήσεις ἔχοντος. Πολυπάμμων, πλούσιος, πολλὰ κεκτημένος. Etymologici Magni Auctor: πολυπάμμονος ἀνδρὸς, ἀντὶ τοῦ πολυθρεμμάτου, πλουσίου. πῶυ, ἐστι τὸ κτῆμα. ὁ μῆλον, πᾶσιν, φανερὸν ὅτι καὶ πολυπάμμων. Suidas: πολυπάμμονος, πλουσίου, πολυθρεμμάτου. Politus.

7. τὰ κτήματα) Heſychius: πάμματα τὰ χρήματα. Propriè tamen πάμματα dicta videntur τὰ θρέμματα. Unde & πάσασθαι propriè τὸ κτήσασθαι θρέμματα. Etymologici Magni Auctor: πάσασθαι, τὸ κτήσασθαι, κυρίως θρέμματα· καταχρηστικῶς δὲ, τὸ ὅτιοῦν. Suidas: πάσασθαι κυρίως μὲν τὸ κτήσασθαι θρέμματα, καταχρηστικῶς δὲ, καὶ πᾶν ὁτιοῦν. Politus.

8. ὅθεν καὶ τὸ πῶϋ) πῶϋ, τὸ ποίμνιον, παρὰ τὸ πάσασθαι. Polit.

Poſſeſſiones priſcorum virorum, pecora, unde pecunia. *Salvinus*.

Google

grex, & πηὸς, *affinis*, ideſt, propinquus, acquiſitus a nobis per affinitatem. Conſiderandum tamen eſt, ſi Doricum eſt τὸ πάμμα, *poſſeſſio*, itemque ὁ πολυπάμμων, *is, qui poſſidet multa, ſeu multarum rerum poſſeſſor*, qui fiat, ut eæ voces litteram immutabilem geminent. Non enim certè id eſt Dorienſium, apud quos τὸ σχῆμα, *figura*, & βῆμα, *paſſus, ſeu ſuggeſtus*, quum vocentur σχᾶμα, & βᾶμα· tamen non geminant τὸ μ. Ea igitur, quæ diximus, vocabula fortaſſe ſunt Æolenſium, quibus in conſuetudine ut plurimùm eſt conſonantes litteras duplicare. Ceterùm ruſticani agreſtioreſque hodie homines κτήματα vocant quadrupedia, ut probè ii ſciunt, qui ſermonem cum illis conferunt. Τὸ ἀζηχὲς, *aſſiduè, nullâ interjectâ morâ, ſine ullâ intermiſſione*, fit ex ἀδιεχὲς, *non interruptum, nec disjunctum*: quum τὸ διεχὲς, *interruptum, disjunctum, intermiſſum*, contra ſeſe habeat, atque τὸ συνεχὲς, *continuum*. Fit autem ex ἀδιεχὲς, rejectione τοῦ ι, conſuetâque mutatione τοῦ δ in ζ, & τοῦ ε in η, ut declaratur Commentariis in Odyſſeam. Τὸ μεμακυῖαι, *balantes*, fit a verbo μηκῶ, μηκήσω, *balo, balabo*: videturque formatum id eſſe per ſyncopen a Præterito illinc deducto, quod cujuſmodi ſit, difficile eſt dicere. Quum autem ejuſcemodi vocem Homerus de ovibus uſurpaverit; ſciendum, ætate poſteriores Homero de capris quidem dicere maluiſſe τὸ μηκᾶσθαι, *mutire*; ovibus verò tamquam peculiare, ac proprium attribuiſſe τὸ βληχᾶσθαι, *balare*. Dixerit quis etiam, videri hoc loci, figurato ad brevitatem, conciſoque loquendi genere, tamquam per compendium, uſurpatum eſſe τὸ μηκᾶσθαι, *mutire*, ut ex hac veluti notâ Poëta oſtenderet, nunc etiam capras, natoſque ex eis hædos ſimul intelligi, eo quia τὸ μηκᾶσθαι, *mutire*, ut dictum eſt, propriè de capris uſurpari videatur. adeo ut ſimiliter id dictum ſit, atque illud: ἵπποι βουκολοῦνται. *equi, boum inſtar, paſcuntur*. Sicuti enim accommodari hoc poteſt ad ſententiam, & cum eâ cohærere; ſic & illud: ὄϊς μηκῶνται. *oves mutiunt*.

CXXIV. Ὁ ἀλαλητὸς, *acclamatio, clamitatio, inconditæ pugnatorum vociferatio, ululatus*, quæ ſæpe vox explicanda occurrit, ſibi in ſocietatem adſciſcit τὴν ἀλαλὴν, *alalam, clamitantium vocem*, quæ eſt apud Tragicos. ut, ἀλαλαῖς αἰγμάτων. *clamoſis lamentationum vocibus*. Inde autem fortaſſe τὸ ἀλαλάζειν, *clamorem, atque ululatum tollere, acclamare, ululare*, & qui ex illo verbo derivatur, ἀλαλαγμὸς, *ululatus, clamor militaris, barritus*. Quod additur, ἀνὰ στρατὸν εὐρὺν, *per exercitum longè latèque patentem*, cauſſam explicat, cur multus magnuſque eſſet clamor ille ululantium Trojanorum. Magnus enim ille exercitus, quippe incompoſitus, atque inordinatus, magnum quoque tumultum faciebat: cujus quidem tumultus multò apertiorem clarioremque cauſſam reddit Poëta, illis verbis: Non enim omnium erat idem clamor, neque vox una; ſed lingua mi-

τὸ πῶϋ, [1] καὶ πηὸς ὁ κτητὸς ἐξ ἀγχιστείας συγγενής. Σκεπτέον δὲ, εἰ Δώριον τὸ πάμμα, καὶ ὁ πολυπάμμων, πῶς ἐν αὐτοῖς διπλάζεται τὸ ἀμετάβολον. Rom. p.494. Οὐ γὰρ Δωριέων τοῦτο, παρ᾽ οἷς τὸ σχῆμα, καὶ βῆμα, σχᾶμα, καὶ βᾶμα λεγόμενα, οὐ διπλάζουσι τὸ μ. Ἴσως οὖν καὶ Αἰολέων τὰ ῥηθέντα εἰσὶν, ὑφ᾽ ὧν διπλοῦται τὰ σύμφωνα, παρὰ τὴν πολλὴν συνήθειαν. Ὅτι δὲ καὶ οἱ χωριτικώτεροι τὴν ἄρτι, κτήματα φασὶ τὰ τετράποδα, οἴδασιν οἱ ὁμιλοῦντες αὐτοῖς. Τὸ δὲ ἀζηχὲς, [2] ἐκ τοῦ ἀδιεχὲς γίνεται, ὃ ἐναντίον ἐστὶ τῷ συνεχεῖ, ἀποβολῇ τοῦ ι, καὶ τροπῇ συνήθει τοῦ δ εἰς ζ, καὶ τοῦ ε εἰς η, ὡς δηλοῦται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Τὸ δὲ μεμακυῖαι, γίνεται μὲν ἀπὸ τοῦ μηκῶ μηκήσω· [3] δοκεῖ δὲ συγκεκόφθαι ἀπὸ τοῦ ἐκεῖθεν γινομένου δυσεκφωνήτου παρακειμένου. Ἰστέον δὲ, ὡς, Ὁμήρου ἐπὶ οἰῶν τιθέντος τὴν τοιαύτην λέξιν, οἱ μεθ᾽ Ὅμηρον [4] ἐπὶ αἰγῶν μὲν εἵλοντο λέγειν τὸ μηκᾶσθαι· [5] ταῖς οἴεσι δὲ ἀπεκλήρωσαν τὸ βληχᾶσθαι. Εἴποι δ᾽ ἄν τις καὶ, ὅτι φαίνεται κατὰ σχῆμα συντομίας ἐνταῦθα ῥηθῆναι τὸ μηκᾶσθαι, εἰς δεῖγμα τοῦ καὶ τὰς αἶγας νῦν συνεπινοεῖσθαι, καὶ τοὺς ἐξ αὐτῶν ἐρίφους, διὰ τὸ δοκεῖν τὸ μηκᾶσθαι ἐπὶ αἰγῶν κυριολεκτεῖσθαι, ὡς εἴρηται. ἵνα ᾖ [6] ὅμοιον τῷ, ἵπποι βουκολοῦνται. Ὡς γὰρ ἂν τοῦτο συναβιβάζοιτο εἰς νοῦν, οὕτω καὶ τὸ, ὄϊς μηκῶνται. Baſ. p.377.

ρκδʹ. Ὁ δὲ πολλαχοῦ δηλούμενος [7] ἀλαλητὸς, προσεταιρίζεται καὶ [8] τὴν Τραγῳδικὴν ἀλαλήν. οἷον, ἀλαλαῖς αἰγμάτων. ἴσως δὲ ἀπ᾽ αὐτῆς [9] τὸ ἀλαλάζειν, καὶ ὁ ἐκεῖθεν ἀλαλαγμός. Τὸ δὲ, ἀνὰ στρατὸν εὐρὺν, αἰτιολογεῖ τὸν πολὺν Τρωϊκὸν ἀλαλητόν. Ὁ γὰρ πολὺς στρατὸς, ἀκόσμως ἔχων, καὶ πολὺν ἀπετέλει θόρυβον, οὗ τὴν αἰτίαν ἀριδηλότερον ὁ Ποιητὴς ἀποδιδοὺς, φησί· οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ᾽ ἴα γῆρυς, ἀλλὰ γλῶσσ᾽ ἐμέμι-

1. καὶ πηὸς ὁ κτητὸς ἐξ ἀγχιστείας συγγενής) πηός, καὶ προσῆ, κυρίως ὁ κατ᾽ ἐπιγαμίαν συγγενής. Polit.

2. ἐκ τοῦ ἀδιεχὲς γίνεται, ὃ ἐναντίον ἐστὶ τῷ συνεχεῖ) Aliud interdum ſcribit, aliud in mente habet Euſtathius. Διεχὲς quidem ἐναντίον τῷ συνεχεῖ· at non ἀδιεχές. Politus.

3. δοκεῖ δὲ συγκεκόφθαι ἀπὸ τοῦ ἐκεῖθεν γινομένου δυσεκφωνήτου παρακειμένου) Scilicet ἀπὸ τοῦ μηκῶ. μεμήκηκα, Dorice μεμάκηκα, & per ſyncopen, ſeu contractionem, μέμακα. Salvinus.

Videri etiam poſſit fieri τὸ μεμακυῖαι ἀπὸ τοῦ μέσου παρακειμένου μέμηκα, καὶ μεταπεσόντος τοῦ η εἰς α βραχύ, μέμακα. Etymologici Magni Auctor: πάλιν δὲ τὸ η εἰς βραχὺ α μεταβάλλεται, ὡς τὸ λεληκυῖα, λελακυῖα· μεμηκυῖα, μεμακυῖα. Politus.

4. ἐπὶ αἰγῶν μὲν εἵλοντο λέγειν τὸ μηκᾶσθαι) *At mutire capris, hirce petulcr, ſolet*. Polit.

5. ταῖς οἴεσι δὲ ἀπεκλήρωσαν τὸ βληχᾶσθαι) *Blacterat hinc aries, & pia balat ovis*. Auctor Carminis Philomelæ. Gloſſæ veteres: βληχῶμαι, *balo*. Politus.

6. ὅμοιον τὸ ἵπποι βουκολοῦνται) l. ὅμοιον τῷ, ἵπποι βουκολοῦνται. Eodem modo de nectare dicitur οἰνοχοεῖν. Politus.

7. ἀλαλητὸς) ἀλαλητός, ululatus. onomatopœia. *Salvin.*

Etymologici Magni Auctor: ἀλαλητὸς ὁ θόρυβος, παρὰ τὸν ἀλαλάζειν, ἢ κατὰ στέρησιν τοῦ λαλῶ, ὃ κατ᾽ ἀντίφρασιν, εἶπε ὁ πολύλαλος ὄχλος. Polit.

8. τὴν Τραγῳδικὴν ἀλαλὴν) Etymologici Magni Auctor: ἀλαλὴ, ὁ θόρυβος, καὶ ἡ ἄνανδρος φωνή. παρὰ τὸ ἄλα τὸ ἀεὶ ἠχοῦσαν, ἀλαλὴ καὶ διπλασιασμῷ, ἀλαλή. ἐξ οὗ ἀλάλαξα. καὶ ἀλαλαγμοί. Politus.

9. τὸ ἀλαλάζειν) Sic allelu-ja, *Laudate Dominum*, ex fictione ſoni factum verbum. Pſalm. LXV. ἀλαλάξατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. *Jubilate Deo omnis terra*. Salvinus.

Non ſemel in Pſalmis τὸ ἀλαλάξατε. Inde Heſychius: ἀλαλάξατε, ἀναφωνήσατε τὴν φωνήν. Et Suidas: ἀλαλάξατε, ἀναβοήσατε. Politus.

μικτο, [1] πολύκλητοι δ᾽ ἔσαν ἄνδρες. ἤγουν ἐκ πολλῶν συγκληθέντες γλωσσῶν. Οἱ γὰρ Ἕλληνες, ὡς ὁμόγλωσσοι, οὐ πολύκλητοι, βραχύ τι κατὰ τὰς διαλέκτους διαφέροντες, καὶ οὐδὲ τοῖς τόποις πολυσπερέες, καὶ πάνυ μακρὰν διεστῶτες. Τοῦ δὲ θρόος, προϋπόκειται ῥῆμα [2] τὸ θρέω, ἤγουν σὺν θορύβῳ βοῶ, ἢ λαλῶ. οἷον, πάθεα θρεομένους. καὶ, θρεομένη σαυτῆς κακά. Ἐκ δὲ τοῦ θρόος συνήρηται ὁ θροῦς. ἐξ αὐτῶν δὲ [3] ὁ ἄθροος, καὶ ὁ ἄθρους. Τὸ δὲ, γλῶσσ᾽ ἐμέμικτο, ἢ πληθυντικῶς νοητέον, ἀντὶ τοῦ, γλῶσσαι πολλαὶ μεμιγμέναι ἦσαν· ὡς τῆς αι διφθόγγου ἐκθλιβείσης. ἵνα ᾖ τὸ πλῆρες, ὅτι γλῶσσαι ἐμέμικτο. [4] ὁποῖον ἀλλαχοῦ τὸ, κνῆμαι παλάσσετο· ἑνικοῦ ῥήματος ἐπαγομένου πληθυντικῷ ὀνόματι. ᾧ δὴ σχήματι πλεονάζει μάλιστα ὁ Πίνδαρος. Ἢ καὶ ἄλλως, λόγῳ προσηγορίας, ἑνικῶς ῥητέον, γλῶσσα ἐμέμικτο· καθὰ δηλοῖ Ὅμηρος, τὸ τοιοῦτον νόημα παραφράζων ἐν τῇ Βοιωτίᾳ, ἔνθα φησὶν οὕτω· Πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι· Ἄλλη δ᾽ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων. Οἷος δὲ ὁ θροῦς τῶν διαφόρων γλωσσῶν, ἴσασιν οἱ πεπειραμένοι· παρ᾽ οἷς ἔγνωσται καὶ, ὡς τὸ τῶν ὁμογλώσσων ἀνάρμοστον, ὅτε διαφόροις μερίζονται γνώμαις, παραβολῆς δέεται Ὁμηρικῆς παριστώσης ἐναργῶς, ἡλίκον κλάζουσιν. Ἐνταῦθα δὲ νοητέον καὶ, ὅτι, κἂν ὁ Ποιητὴς σιωπᾷ, ὅμως τὸ πρᾶγμα νοεῖν δίδωσιν, ὡς οἱ Τρῶες ἐν ταῖς δημηγορίαις, ὑποβολεῦσιν ἐχρῶντο, ὅ ἐστιν, ἑρμηνεῦσιν. Οὐ γὰρ ἂν, ὡς ἐρρέθη, μεμιγμέναι γλῶσσαι, συνιέναι ἄλλως εἶχον τοῦ Ἕκτορος τυχὸν, ἢ Ἀντήνορος, ἐν κοινῷ δημηγορίαις.

Ὅρον

mixta erat: πολύκλητοι δ᾽ ἔσαν ἄνδρες. *convocatique e multis fuerant viri*. videlicet ἐκ πολλῶν συγκληθέντες γλωσσῶν, *multis ex linguis convocati*. Græci namque, utpote qui eadem linguâ utebantur, non ex multis ſanè linguis convocati erant, quippe quum propriâ peculiarique loquendi ratione parùm inter ſe differrent, neque in multa loca eſſent diſperſi, neque longè admodum inter ſe diſſitι. Τοῦ θρόος, *clamor tumultuoſus*, ſeu *tumultus*, verbum primitivum eſt τὸ θρέω, clamo videlicet cum tumultu, ſeu tumultuando vociferor, *defleo*, *deploro*. ut πάθεα θρεομένους. *caſus deplorantes*. & θρεομένη σαυτῆς κακά. *deplorant ſua ipſius mala*. Ex hoc autem θρόος fit per ſynæreſin ὁ θροῦς· ex quibus ὁ ἄθροος, & ὁ ἄθρους, *is, qui nullum tumultum facit, nullam vocem edit*. Τὸ γλῶσσ᾽ ἐμέμικτο, *linguæ*, *aut lingua mixta erat*, aut multitudinis numero accipiendum eſt, pro γλῶσσαι πολλαὶ μεμιγμέναι ἦσαν. *linguæ multæ mixtæ erant*: quippe eliſâ diphthongo αι. adeo ut plenum atque integrum ſit, γλῶσσαι ἐμέμικτο. *linguæ mixtæ erant*. quale illud alibi: κνῆμαι παλάσσετο. *tibiæ fœdabantur*. ubi verbum ſingulare nomini adjungitur plurali. quod utique figuratum loquendi genus frequens maximè eſt apud Pindarum. Aut etiam aliter, more nominis appellativi, ſingulari numero dicendum eſt, γλῶσσα ἐμέμικτο. *lingua mixta erat*, ut non obſcurè indicat Homerus, cum hanc iſtam ſententiam veluti per paraphraſin fuſiùs explicat in Bœotiâ, ubi ita loquitur: Πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι· Ἄλλη δ᾽ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων. *Multi enim in urbe magnâ Priami auxiliares; aliaque aliorum lingua diſperſorum multis locis hominum*. Cujuſmodi autem ſit variarum linguarum murmur, ac tumultus, ſciunt equidem, qui experti: apud quos etiam notum, perſpectumque eſt, eorum diſcordiam, qui eadem linguâ utuntur, cum in diverſas ſententias diſcedunt, comparatione Homericâ indigere, quæ ad vivum repræſentet, quantùm iidem clangant, ac vociferentur. Hic vero id intelligendum, quod etſi taceat Poëta, tamen res ipſa loquitur, & intelligendum præbet, Trojanos ſcilicet in concionibus habendis, certis quibusdam hominibus, qui verba ſubjicerent, hoc eſt, interpretibus, uſos fuiſſe. Neque enim alioquin mixtis variiſque homines linguis, ut dictum eſt, Hectoris, puta, aut Antenoris, publicè concionantium, verba intelligere potuiſſent.

Inſti-

1. πολύκλητοι) Heſychius: πολύκλητοι, οἱ ἐκ πολλῶν τόπων ἐπικεκλημένοι βοηθοί. Politus.

2. τὸ θρέω) Ex hac nominis fictione etiam θρυλλέω. *celebro*, *decanto* Salvinus.

In uſu videtur eſſe θρέομαι. Æſchylus:

Θρέομαι φοβερὰ μεγάλ᾽ ἄχη.

Quod Scholiaſtes eſt θρηνῶ, βοῶ φοβερὰς μεγάλας θρηνῳδίας. Politus.

3. ὁ ἀθρόος) lege προπαροξυτόνως, ὁ ἄθροος. Ἀθρόος enim παροξυτόνως alterius eſt ſignificationis. quod & alibi Euſtathius adnotat. *Polit.*

Videlicet, *collectus*, *congregatus*. Salvin.

4. ὁποῖον ἀλλαχοῦ τὸ, κνῆμαι παλάσσετο) Non κνῆμαι modò; ſed & γοῦνατα, παλάσσετο apud Homerum lib. ρ Iliad.

Γοῦνατά τε, κνῆμαί τε, πόδες θ᾽ ὑπένερθεν ἑκάστου,
Χεῖρές τ᾽, ὀφθαλμοί τε, παλάσσετο μαρναμένοιιν.

Ex nomine illo neutro γοῦνατα quis dicerit occaſionem Homerum arripuiſſe conjungendi verbum ſingulare cum illis nominibus pluralibus. Euſtathius: ἔχει δ᾽ ἀφορμὴν ἡ σύνταξις τὸ γοῦνατα οὐδέτερον, ὡς πρὸς αὐτὸ μὲν ἀσφαλῶς ἀποδοθεῖσα, ἐκεῖθεν δὲ ἀναλόγως ἀπὸ κοινοῦ συμβιβαζομένη καὶ πρὸς τὰ λοιπὰ δύο γένη. At enim Pindarus ipſa etiam per ſe reliquorum duorum generum nomina pluralia diſertè conſtruit cum verbo ſingulari. Olymp. Ode 11.

Εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελίγαρυες ὕμνοι
Ὑστέρων ἀρχαὶ λόγων τέλλεται.
Καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

Nec ibi audio noſtros Grammaticos aut referentes τὸ τέλλεται ad ſequentia: τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς· aut pro μελίγαρυες ὕμνοι, legendum ſuſpicantes, μελίγαρυς ἀοιδή. Nam mihi quidem potior veterum Magiſtrorum Græcorum auctoritas. Antiqua in Pindarum Scholia: [illegible] μελιγάρυες ὕμνοι, φησὶ, τῶν ὑστέρων λόγων ἀρχαὶ αἴτιοι [illegible] τῶν προγενεστέρων· ἢ ταῖς [illegible] οἱ ὕμνοι [illegible] τῶν ὑμνουμένων. Alibi etiam ſimili conſtructione uſus Pindarus. Apollonius Grammaticus Alexandrinus citat illud: Ἀχεῖ ὀμφαὶ μελέων σὺν αὐλοῖς. Ex Olymp. Od. 8. ubi hodiè legunt:

Ἄνεται δὲ πρὸς χάριν εὐ-
σεβίων ἀνδρῶν λιταῖς·

pro λιταῖς. Aſclepiades ſcribebat λιταί· ita ut τὸ λιταὶ cohæreret cum τὸ ἄνεται, nomen plurale femininum cum verbo ſingulari. Quam ego ſcripturam valdè probo, atque amplector, tamquam ex ingenio Pindari. Qui id ſtructuræ genus proprium eſſe Pindari neſciebant, locum illum alioſque etiam plures mihi videntur corrupiſſe. Verum Demetrius Triclinius more hoc conſtructionis Pindaricæ ſemel prohibitum fatetur, ne τὸ τέλλεται, quod eſt in ſuperiori loco Pindari, ipſe referre audeat ad ſequens πιστὸν ὅρκιον. Verba hæc Triclinii: Σημείωσαι ἐνταῦθα τὸ τέλλεται. οὐδεὶς γὰρ οὐδὲ τῶν προγενεστέρων, οὔτε τῶν ὕστερον, ἐν τοῖς ἀρσενικοῖς, καὶ θηλυκοῖς ὀνόμασι, τῷ ἑνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο, ὥσπερ οὗτος. ἡμεῖς δὲ, εἰ καὶ μὴ ἐν ἄλλοις τοιαύτην τὴν παρανομίαν αὐτὸς ἐποίει, [illegible] πρὸς τὸ πιστὸν ὅρκιον ἀποδιδόασι τὸ τέλλεται, ὅπως. οἱ μελιγάρυες ὕμνοι ἀρχαὶ, καὶ ἀφορμαὶ τῶν ὑστέρων ὑπὲρ αὐτοῦ λόγων. καὶ πιστὸν ὅρκιον τέλλεται ταῖς μεγάλαις αὐτοῦ ἀρεταῖς. Non eſt fortaſſe verum, ut paullò poſt dicemus, id, quod ait Triclinius, neminem quemquam neque τῶν προγενεστέρων, οὔτε τῶν ὕστερον, ἐν τοῖς ἀρσενικοῖς, καὶ θηλυκοῖς ὀνόμασι, τῷ ἑνικῷ ἀντὶ πληθυντικοῦ χρήσασθαι. Sed tamen inde etiam conſtat de uſu conſtruendæ ita orationis Pindarico. Im-

mo

Inſtigabat autem hos Mars, illos caſiis Minerva oculis,
Terrorque, & Fuga, & Diſcordia perpetuò furens,
Martis homicidæ ſororque, & ſocia:
Quæ parva quidem primùm attollitur, ſed poſtea
Cœlo infigit caput, & ſuper terram ingreditur:
Quæ & ipſis tunc contentionem pariter malam in medium injecit,
Diſcurrens per turbam, augenſque gemitum virorum.
Ili verò, quando jam in locum unum coeuntes venerunt,
Commiſerunt inter ſe ſcuta, haſtaſque, & robora virorum
Ære loricatorum. Clypei autem cum umbonibus
Sibi invicem appropinquabant; multuſque ſtrepitus excitatus eſt.
Tum ſimul ejulatus, & jactantia erat virorum,
Et perdentium, & pereuntium: diffluebatque ſanguine terra.

Ὦρσε δὲ τοὺς μὲν Ἄρης, τοὺς δὲ γλαυκῶπις Ἀθήνη,
Δεῖμός τ', ἠδὲ Φόβος, καὶ Ἔρις ἄμοτον μεμαυῖα,
Ἄρεος ἀνδροφόνοιο κασιγνήτη, ἑτάρη τε·
Ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει·
Ἥ σφιν καὶ τότε νεῖκος ὁμοίϊον ἔμβαλε μέσσῳ,
Ἐρχομένη καθ' ὅμιλον, ὀφέλλουσα στόνον ἀνδρῶν.
Οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,
Σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα, καὶ μένε' ἀνδρῶν
Χαλκεοθωρήκων. ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
Ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
Ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν, Rom. p. 495.
Ὀλλύντων τε, καὶ ὀλλυμένων· ῥέε δ' αἵματι γαῖα.

CXXV. Ut Græcos Minerva; ita Mars Trojanos ad pugnam cohortatur, ſtolida nimirum, atque efferata excandeſcentis animi indignatio. Infra etiam Apollinem Trojanos ſtimulantem, atque inſtigantem inducit. Ab iis enim adhuc ſtabat fatum: cujus quidem ſignificandi vim habet ὁ Ἀπόλλων, *Apollo*, ut multis ſanè in locis apparet. Ceterùm Homerus Marti ſimul ac Minervæ tum terrorem, tum fugam admiſcet, propria hæc videlicet, & domeſtica belli mala; tum etiam diſcordiam, ſine qua certè bellum conſiſtere numquam poteſt. Hæc enim ejus verba: Terrorque, & fuga, & diſcordia perpetuò furens, Martis homicidæ ſororque, & amica. Quod autem ſcire oportet, ſicuti ὁ φίλος, *amicus*, & ὁ δαήρ, *levir*, aliaque varii generis; ſic etiam ὁ Ἄρης, *Mars*, ſine ullâ ratione, juxta veteres, dat ſe corripiendum, ut maximè oſtendit illud: Ἆρες, Ἄρες βροτολοιγέ. *Mars, Mars, peſtis, ac pernicies hominum*. quod etiam declaratur in Odyſſeâ. Deinde, etſi quidam equos Martis dicunt τὸν Δεῖμον, *Dimum*, & τὸν Φόβον, *Phobum*; tamen hoc loci manifeſtè apparet, miniſtros eos eſſe, & famulos Martis. Eſt autem δεῖμος, idem, atque τὸ δεδιέναι, *terror, metus, timor, hoc ipſum timere*; φόβος verò idem, atque ἡ φυγή, *fuga*. Ἄμοτον autem dici id, quod perfectum, atque plenum eſt, ductâ veluti metaphorâ a vulneribus,

ρκέ. Τοὺς μὲν Ἕλληνας Ἀθηνᾶ ὀτρύνει εἰς μάχην· Ἄρης δὲ τοὺς Τρῶας, θυμὸς δηλαδὴ ἄλογος. Προϊὼν δὲ λέγει, ὅτι καὶ Ἀπόλλων ἐρεθίζει τοὺς Τρῶας. πρὸς αὐτῶν γὰρ ἦν ἔτι τὸ εἱμαρμένον, [1] ὅπερ ἐστὶ δηλωτικὸς ὁ Ἀπόλλων, ὡς πολλαχοῦ φαίνεται. Συμπαραμίγνυσι δὲ Ὅμηρος τῷ Ἄρει, καὶ τῇ Ἀθηνᾷ, τόν τε δεῖμον, τόν τε φόβον, κακὰ δὴ ταῦτα πολέμῳ φίλα, ἔτι δὲ καὶ τὴν ἔριν, [2] ἧς ἄνευ οὐκ ἄν ποτε συσταίη πόλεμος. Φησὶ γάρ· δεῖμός τ', ἠδὲ φόβος, καὶ ἔρις ἄμοτον μεμαυῖα, Ἄρεος ἀνδροφόνοιο κασιγνήτη, ἑτάρη τε. Ἱστέον δέ, ὅτι, καθὰ ὁ φίλος, καὶ ὁ δαήρ, καὶ ἄλλα διάφορα, οὕτω καὶ ὁ Ἄρης, ἀλογίστως συστολῇ, κατὰ τοὺς παλαιούς, ὑποπίπτει, ὡς δῆλον μάλιστα ἐκ τοῦ, [3] Ἆρες, Ἄρες βροτολοιγέ. ὃ καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. καὶ ὅτι εἰ καί τινες ἵππους Ἄρεος τὸν δεῖμόν φασι, καὶ τὸν φόβον, ἀλλ' ἐνταῦθα θεράποντες αὐτοί, καὶ ὀπαδοὶ φαίνονται Ἄρεος. Ἔστι δὲ δεῖμος μέν, τὸ δεδιέναι· φόβος δέ, ἡ φυγή. [4] Ἄμοτον δὲ ὅτι τὸ τέλειον λέγεται, καὶ πλῆρες, ὡς ἐκ μεταφορᾶς τραυμάτων μηκέτι δεομένων

9. ἐπὶ πρώτῳ ἀδελφῷ) τῷ πρεσβυτάτῳ. Polit.

10. Σκύθῃ) lege, Σκύθῃ. Polit.

11. ὃς ἐπὶ τῷ τρίτῳ, καὶ νεωτάτῳ κατέσβη, φησίν) Herodotus lib. 4. τοὺς μὲν δὴ πρεσβυτέρους τὸν χρυσὸν ἀπαυδᾶν· τρίτῳ δὲ τῷ νεωτάτῳ ἐπελθόντι κατασβῆναι, καὶ μιν ἐκεῖνον κομίσαι ἐς ἑωυτοῦ. Patet, Euſtathium legiſſe hic in Herodoto, κατασβῆναι, quæ erat vulgò

ε. Ὑποθετέον οὖν καὶ, τὸν Διομήδην οὕτω πως πυρεκβολῆσαι δι' Ἀθηνᾶς. Καὶ τοῦτο μὲν οὕτω. ἔδοξε δέ τισι καὶ κατοπτρικήν τινα ἐπίνοιαν μεμηχανῆσθαι τῷ Διομήδει ἔν τε τῇ αὐτοῦ, ὡς εἰκὸς, περικεφαλαίᾳ, καὶ τῇ ἀσπίδι, καὶ οὕτω λίαν καταυγεῖν τὰς ὄψεις τῶν εἰς αὐτὸν βλεπόντων, ὅτε ἀντικρὺ πρὸς λάμποντα ἥλιον ἔστραπτο. καθ' ἣν δὴ ταύτην μέθοδον Ἀρχιμήδης μὲν ὁ σοφώτατος, πολεμικὰς ἐνεπύρισε νῆας, ὡς οἷά τις κεραυνοβόλος· Ἀνθέμιος δέ τις ὕστερον, γείτονα πονηρὸν καταστράπτων, καὶ οὕτως ἐκφοβῶν, μακρὰν ἑαυτοῦ ἀπῴκισε. Χρήσιμα δὲ εἰς τὸ κατανοῆσαι τὸ τοῦ Διομήδους πῦρ καὶ Σαλουστίου ῥηθὲν περί τινος τὸ, [1] πυρὶ ἄρα ἐῴκει ὁ ἄνθρωπος ἐξάπτοντι πάντα τὰ παρακείμενα. ἔτι δὲ καὶ τὸ, [2] Ἀβρογάστης Φράγγος, κατὰ ἀλκὴν σώματος, καὶ θυμοῦ τραχύτητα, φλογοειδὴς ἦν. καὶ μὴν καὶ τὸ, ἀπαντήσας τοῖς βαρβάροις, πυρὶ προσφερὴς, ἔργα ἐπεδείκνυτο, [3] χεῖράς τε, καὶ πόδας ἀνθρώπου παρατρέχοντα. Ταῦτα δὲ, [4] καὶ ὅσα τοιαῦτα, τίς οὐκ ἂν εἴποι, ἐκ τῶν τοῦ Ὁμήρου παραπεποιῆσθαι πυρώσαντος τὸν Διομήδην, ὡς αὐτὸς ἔφρασε; Χρησιμεύει δ' εἰλῆφθαι καὶ τὸ προτεθυμηθῆναι. ὡς καυστειρὰ ἡ μάχη λέγεται, καὶ δηΐς, καὶ δηϊοτὴς, διὰ τὸ ἔνθερμον, καὶ, ὡς εἰπεῖν, πυρόεν τῆς κατὰ πόλεμον κινήσεως, καὶ τὸν στρατιωτικὸν θυμόν. ὅθεν καὶ θερμὸς λέγεται ὁ ἀναιδὴς, καὶ οὕτω μάχιμος· [5] καὶ θερμουργὸς, ἐπαίνου λόγῳ, ὁ ἀνδρεῖος· [6] καὶ θερμὸν ἔργον ἄλλως τὸ θρασύ· ἐπεὶ καὶ τὸ θράσος, καὶ πρὸ αὐτοῦ [7] τὸ θάρσος, ἐκ τοῦ θέρω θέρσω παρῆκται· [8] ἀφ' οὗ καὶ ὁ θερμός. Ἔτι καλὸν ἐννόημα ἐπὶ τοῖς εἰρημένοις καὶ [9] ἡ πυρπαλάμη, καὶ τὸ πυρπαλαμᾶσθαι. ὧν ἡ μὲν, πα-

V. Statuendum igitur eſt, ſic quodammodo Diomedem, Minervæ operâ, ignem ex ſeſe emiſiſſe. Atque id quidem ita. Verùm aliis videtur Diomedes ſpeculare aliquod artificium, tum in ſuâ ipſius galeâ, ut eſt ſanè veriſimile, tum in clypeo, ingenioſè adhibuiſſe, itaque conjectorum in ipſum oculorum aciem magno admodum ſplendore perſtrinxiſſe, cum ad ſolem lucentem ipſe ex adverſo convertebatur. qua certè ipſâ ratione Archimedes, vir ſapientiſſimus, perinde quaſi fulmina ejacularetur, hoſtium naves incendit; & Anthemius neſcio quis poſtea improbum ſceleſtumque vicinum ſuum, fulguribus immiſſis, adeo perterrefecit, ut eum inde procul emigrare coegerit. Rurſus ad intelligendum ignem hunc Diomedis percommoda ſunt, & peropportuna verba illa Saluſtii de uno quodam, de quo ſic loquitur: *Igni erga homa ille ſimilis erat, proxima quæque incendenti.* nec non illud: *Abrogaſta Francus, robore corporis, aſperitateque animi, flammæ inſtar erat.* immo verò & illud: *obviam barbaris factus, igni planè ſimiles, facinora edebat, quæ tum manus, tum pedes hominis longè præterirent.* Hæc verò, & quæcumque alia ſunt hujus generis, quis non dixerit, commutata eſſe, atque inverſa ex verbis hiſce Homeri, qui eo ſanè modo, quo ipſe eſt locutus, Diomedem incenderit, atque in ignem converterit? Huc etiam facit, ſiquis ſecum præterea reputet, pugnam ipſam καυστειρὰν, *ardentem*, vocari, & δηΐδα, & δηϊοτῆτα, *quaſi flagrantem igne*, propter calidum illum, &, pene dixerim, igneum motum pugnantium, atque ob exeandeſcentiam militarem. Unde & θερμὸς, *fervidus*, *ſeu calidus*, dicitur projectæ homo audaciæ, atque adeò pugnax, & bellicoſus: & in bonam partem, ſeu in laudem, θερμουργὸς, *fervens in opere*, *ſeu fervidus in agendo*, vir fortis: & alio ſenſu θερμὸν ἔργον, *calidum facinus*, ideſt, θρασὺ, *temerarium, ac preceps*: quoniam τὸ θράσος, *temeritas, ſeu audacia temeraria, atque ſtolida*, &, unde hæc vox fit, τὸ θάρσος, *audacia, fiducia, præſentia animi*, derivata ſunt ex θέρω, θέρσω, *calefacio, calefaciam*: ex quo etiam ὁ θερμὸς, *calidus*. His, quæ diximus, accedit etiam illud, quod operæ pretium eſt animadvertere, ſcilicet ἡ πυρπαλάμη, *manus ignea, manus induſtria, atque agilis, inſtar ignis*, & τὸ πυρπαλαμᾶσθαι, *igneâ agilitate aliquid moliri*, ac

recepta lectio. Jacobus Gronovius ante non multos hos annos pro κατεστῶσαι, ex optimo codice Mediceo deſcripſit κατεστῶσαι. Verum mihi magis placet κατεστᾶσαι, ut id reſpondeat τῷ κατεστῶτι, & τῷ κειμένῳ, quæ ſupra dicit Herodotus. Nec enim dicit, ipſum per ſeſe χρυσὸν κατεσβέσθαι. ſed κειμένον τὸν χρυσόν. Frivolum eſt ſophiſma, quo Gronovius utitur ad infirmandam lectionem vulgatam Herodoti. *Politus*.

1. πυρὶ ἄρα ἐῴκει ὁ ἄνθρωπος) Homerica ſimilitudo. *Salvinius*.

2. Ἀβρογάστης Φράγγος) l. Ἀβρογάστης. Suidas: Ἀβρογάστης Φράγγος, ὃς κατὰ ἀλκὴν σώματος, καὶ θυμοῦ τραχύτητα φλογοειδὴς ὢν, [illegible] τυγχάνων Βαύδωνος. Idem alibi Ἀρβογάστης. Zoſimus lib. 4. Ὁ δὲ βασιλεὺς Γρατιανὸς, ὁ μέζονος ἐπὶ τοῖς ἀγγελθεῖσι [illegible] στρατιᾶς [illegible], Βαύδωνι τὸ στρατηγὸν ἀπάτων παραδοὺς, ᾧ καὶ Ἀρβογάστην συνέπεμψεν. ἤστην δὲ ἄμφω Φράγκοι τὸ γένος. & rurſus: Ἀρβογάστης, ἐκ τοῦ Φράγκων ὁρμώμενος ἔθνους, Βαύδωνι δὲ [illegible] ὑπὸ Γρατιανοῦ βασιλεύοντος πεμπόμενος, [illegible], τὴν στρατιωτικὴν ἀρχὴν ἐφ' ἑαυτὸν περιέστησε. Idem etiam *Argobastes*. Politus.

3. χεῖράς τε, καὶ πόδας ἀνθρώπου παραπέμποντα) Al. χεῖράς τε ἀνθρώπου, καὶ τόλμαν. Suidas: προσφερὴς, ὅμοιος. Ὁ δὲ ἀπαντήσας τοῖς βαρβάροις, πυρὶ προσφερὴς, ἔργα ἐπεδείκνυτο, χεῖράς τε ἀνθρώπου, καὶ τόλμαν παρατρέχοντα. Politus.

4. καὶ ὅσα τοιαῦτα) qualia pleraque Virgiliana. Sua enim Virgilius ad Homericum in primis exemplum conformavit. *Politus*.

5. καὶ θερμουργὸς, ἐπαίνου λόγῳ, ὁ ἀνδρεῖος) Euſtathius ſupra ad lib. β. θερμουργὸς δὲ ἀνὴρ ὁ [illegible], κατὰ λόγον ἐπαινετὸν, ὁ δραστήριος. Veruntamen alius communius θερμουργὸς ἐπὶ φέρει, ὁ θρασὺς, καὶ προπετής. Eſt enim, ut teſtatur Pollux, de eorum nomine claſſe, quæ ἐπὶ [illegible]. Suidas: θερμουργὸς, ὁ προπετής. Οἱ δὲ Πέρσαι [illegible], [illegible], οἷον αὐτὸς εἶναι, καὶ θερμουργόν. Politus.

6. καὶ θερμὸν ἔργον ἄλλως τὸ θρασύ) Euſtathius ſupra: θερμὸν μὲν ἔργον [illegible], τὸ ἀναιδὲς, καὶ θρασύ. Ariſtophanes Plutus

Ὦ θερμὸν ἔργον, κἀναιδὲς, καὶ παράνομον.

Politus.

7. τὸ θάρσος, ἐκ τοῦ θέρω θέρσω παρῆκται) Etymologici Magni Auctor: Θάρσος, παρὰ τὸ θέρω τὸ θερμαίνω. ἡ μάλιστα Αἰολικῶς, θέρσω. ῥηματικὸν ὄνομα, θέρσος, καὶ [illegible] θάρσος· εἶτ' ἐκ τοῦ θρασὺς, καθ' ὑπέρθεσιν τοῦ ρ. Politus.

8. ἀφ' οὗ καὶ ὁ θερμός) Etymologici Magni Auctor: παρὰ τὸ θέρω τὸ θερμαίνω γίνεται θερμός. Politus.

9. ἡ πυρπαλάμη) Malè apud Suidam, diviſis vocibus, πὺρ παλάμη. Unâ voce πυρπαλάμη, *manus ignea*, *ſeu, ignis inſtar*, eleganter, in modum proverbii, vocabatur ὁ ταχέως [illegible], καὶ παλαμώμενος ἴσα πυρί. Nec de terminatione hujus dubitare nos ſinit Euſtathius, cui addito articulo eſt ἡ πυρπαλάμη. Unde corrigi debet Heſychius: apud quem qui non ſatis hanc vocem concoquebant, pro eo feciſſe mihi videntur, παλάμας, vel πυρπάλαμος. Sic enim legunt: Πυρπαλάμας. πυρπαλάμας ἔλεγον τὰς διὰ τάχους αἱ μαχόμεναι δυνάμεις, καὶ τὰς ποικίλας τὸ εἶδος. Unde etiam Kuſterus apud Suidam pro πὺρ παλάμη ſcribendum cenſuit, πυρπαλάμας. Ego contra in Heſychio ex Euſtathio reſcribo: Πυρπαλάμας. πυρπαλάμας ἔλεγον &c. Intelligo, πυρπαλάμας, manus igneas, eos per ſimilitudinem appellatos, qui celeriter machinari aliquid poſſent, & peragere. *Politus*.

ac facere: quorum ſanè vocabulorum illud, vafrum callidumque hominem ſignificat; hoc verò perinde acceptum eſt, quaſi ſit malis artibus uti, ſeu maleficium facere, & veluti per ignem ire malefaciendo. Namque in hujuſcemodi omnibus vocibus, ignis, quæque ad ignem pertinent, ineſſe prorſus per metaphoram conſpiciuntur. quemadmodum & ubi dictum eſt: Βριθὺς ὁπλιτοπάλας, δάϊος ἀντιμάχοισι. *Gravis cum armis luctator, infeſtus, ut ignis, adverſariis*. & alio in loco: πῦρ ὀφθαλμοῖσι δεδορκώς. *ardentibus, ignis inſtar, oculis adſpiciens*.

VI. Atque hæc quidem ita. Ceterùm, quæ in redditione, quæ eſt altera pars hujus comparationis, verba ſubjiciuntur, videlicet: Τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε, ϗ ὤμων. *Talem ei ignem a capite ſimul, atque ab humeris accendit*: valent ad explicandum, quid ſit illud: ἐκ κόρυθός τε, ϗ ἀσπίδος. *ex galeâ ſimul, & clypeo*. ut ſcilicet non ſumma modò arma ardere igne viderentur; ſed etiam, præ armis, caput ipſum, atque humeri herois, ex quibus ignis, veluti lumen per quasdam laternas, extra emittebatur. Atque hæc iſta comparationis redditio ſimul etiam oſtendit, non totum Diomedis clypeum ab igne reſplenduiſſe; ſed partem tantùm clypei, quæ prope ab illius humeris erat. Vide verò, ut hoc quidem loci, pro magni illius herois ratione, comparationem hanc ſtellæ fuſiùs dilatat: quum tamen infra eamdem ipſam comparationem in regio puero arctè admodum contrahat, ubi ſimilem illum pulchræ ſtellæ dicit. Quod ſanè invertit, atque immutat Tragicus Poëta, cum neſcio quem vocat Ἑλλανίας φανερώτατον ἀστέρ' Ἀθάνας, *Græcæ ſplendidiſſimam ſtellam Minervæ*. videlicet ſtellam Minervæ, quæ apud Græcos colitur. Idem autem hoc eſt, ac ſi dixiſſet διάδηλον ἐν Ἀθήναις, *præclarum, & perilluſtrem Athenis*, quæ appellatione ipsâ ad nomen alludunt τῆς Ἀθηνᾶς, *Minervæ*. Perinde enim eſt dicere διάδηλον, *valde clarum, ſeu perilluſtrem*, atque φανερώτατον, *ſplendidiſſimum, ſeu maximè conſpicuum, maximèque omnium manifeſtum*: quatenus cognatâ inter ſe ſignificatione ſunt τὸ δαίειν, *comburere*, & τὸ φαίνειν, *conſpicuum facere, oſtendere, lucem præferre, prælucere*. quæ verba ita ſe habent, ut ex δαίειν, *comburere*, ſit ὁ δῆλος, *clarus*, & ex φαίνειν. *conſpicuum reddere, prælucere*, derivetur ὁ φανερὸς, *conſpicuus, lucidus, ſplendidus*, qui & pulcher propter lucem, atque ſplendorem: ut ſic unius ejusdemque ſignificationis ſit dicere καλὸν ἀστέρα, *pulchram ſtellam*, ſecundùm Homerum, atque φανερώτατον ἀστέρα, *ſtellam ſplendidiſſimam, atque lucidiſſimam*. Quæ quidem ſtella perquam aptè accommodata eſt, atque adjuncta ad ignem hîc accenſum per modum comparationis: quippe quum ὁ ἀστὴρ, *ſtella*, vox ſit derivata a verbo αἴθειν, quod idem eſt, atque τὸ δαίειν, *urere, ſeu incendere*. Eſt enim quaſi αἰστὴρ ab αἴθειν, *incendere*, expulsâque litterâ ancipiti, ἀστήρ.

VII. Atque hæc quidem ita. Verùm ſciendum, τὸ, Δαῖέ οἱ ἐκ κόρυθος πῦρ. *accendebat ei ex galeâ ignem*; quum in pleriſque exemplaribus exhibeatur ſine τοῦ ι, poſtulare a nobis, atque exigere, ut in hujus rei cauſſam inquiramus. Nam paullò poſt, cum dicit: πῦρ δαῖεν ἀπὸ κρατός. *ignem accendit a capite*; id certè effertur eum

πανοῦργον ἄνδρα σημαίνει· τὸ δὲ, ἀντὶ τοῦ κακοτεχνεῖν εἴληπται, ϗ οἷον διὰ πυρὸς ἰέναι τῇ κακοτεχνίᾳ. Πάντως γὰρ τροπικῶς τοῖς τοιούτοις ἅπασι τὸ πῦρ, ϗ τὰ κατ' αὐτὸ, ἐμφαίνεται. καθὰ ϗ ἐν τῷ, Βριθὺς ὁπλιτοπάλας, δάϊος [1] ἀντιμάχοισι. ϗ ἐν τῷ, [2] πῦρ ὀφθαλμοῖσι δεδορκώς.

ϛ'. Καὶ τοιαῦτα μὲν ϗ ταῦτα. ἡ δὲ τῆς ῥηθείσης παραβολῆς ἀπόδοσις, ἡ φοῦσα· Τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε, ϗ ὤμων· διασαφητική ἐστι τοῦ, ἐκ κόρυθός τε, ϗ ἀσπίδος. ἵνα μὴ μόνα τὰ ὅπλα φαίνηται πυρὶ δαιόμενα ἐξεπιπολῆς, ἀλλὰ πρὸ αὐτῶν, ἡ κεφαλὴ, ϗ οἱ ὦμοι τοῦ ἥρωος, ἐξ ὧν ἠκοντίζετο ϗ εἰς τὰ ἔξω τὸ πῦρ, ὡσεὶ ϗ φῶς διά τινων φανῶν. Ἅμα δὲ ἡ τοιαύτη ἀπόδοσις δηλοῖ ϗ, ὡς οὐ πᾶσα ἡ ἀσπὶς τῷ Διομήδει ἐλάμπετο πυρὶ, ἀλλὰ μόνον αὐτῆς τὸ πρὸς τοῖς ὤμοις ἐκείνου. Ὅρα δὲ ϗ, ὅτι ἐνταῦθα μὲν, ἀναλόγως τῷ μεγάλῳ ἥρωϊ, ἐπλάτυνε τὴν ἐκ τοῦ ἀστέρος παραβολήν· ἐν δὲ τοῖς ἑξῆς ἐπὶ βασιλικοῦ βρέφους πάνυ συνέστειλεν, εἰπὼν ἐκεῖνον ἀλίγκιον ἀστέρι καλῷ. Ἡ δὲ Τραγῳδία, τοῦτο παραποιήσασα, φησί τινα Ἑλλανίας φανερώτατον ἀστέρ' Ἀθάνας. ἤγουν ἀστέρα τῆς παρ' Ἕλλησιν Ἀθηνᾶς. Ταυτὸν δ' εἰπεῖν διάδηλον ἐν Ἀθήναις, αἳ παρονομάζονται τῇ Ἀθηνᾷ. Ὅμοια γὰρ, διάδηλον εἰπεῖν, ϗ φανερώτατον, καθότι συγγενῆ ἀλλήλοις ϗ τὰ δαίειν, ϗ τὸ φαίνειν· ὧν ἐκ μὲν τοῦ δαίειν ὁ δῆλος· ἐκ δὲ τοῦ φαίνειν ὁ φανερὸς, ὁ ϗ καλὸς διὰ τὴν φαῦσιν. ὡς ταυτίζεσθαι οὕτω τὸ, καλὸν ἀστέρα, καθ' Ὅμηρον, ϗ φανερώτατον ἀστέρα. ὃς πάνυ ᾠκείωται τῷ ἐνταῦθα Rom. p. 514.
παραβολικῶς δαιομένῳ πυρὶ, ὡς ἀπὸ τοῦ αἴ- Baſ. p. 389.
θειν παραγόμενος, ὃ ταυτὸν τῷ δαίειν ἐστίν. [3] αἰστὴρ γάρ τις ἀπὸ τοῦ αἴθειν, ϗ ἀπελεύσει τοῦ διχρόνου, ἀστήρ.

ζ'. Καὶ οὕτω μὲν ϗ τάδε. Ἰστέον δὲ ϗ, ὡς τὸ, Δαῖέ οἱ ἐκ κόρυθος πῦρ, χωρὶς τοῦ ι ἐν πολλοῖς ἀντιγράφοις φερόμενον, αἰτίας ἀπαιτεῖ ζήτησιν. Μετ' ὀλίγον γὰρ ἐν τῷ, πῦρ δαῖεν ἀπὸ κρατὸς, μετὰ τοῦ ι ἐκφέρεται, ἰωταδυ-

1. ἀντιμάχοισι) Al. ἀντιπάλοισι. Verſus Æſchyli: Βριθὺς ὁπλιτοπάλας, δάϊος ἀντιπάλοις. Plutarchus De Fort. vel Virt. Alexandri Orat. 2. Ἀλέξανδρος ἔδυς, τίνων δεῖ δεινὸν εἶναι. ϗ ἀκροατὴν, ϗ τίνων ἀγωνιστήν. ϗ αὐτουργὸν, ἅπαν μοὶ ἂν δεῖ τῶν ὅπλων δεινὸς εἶναι, ϗ κατὰ τὸν Αἰσχύλον, Βριθὺς ὁπλιτοπάλας, δάϊος ἀντιπάλοις. Politus.

2. πῦρ ὀφθαλμοῖσι δεδορκώς) ὁρῶν ὡς πῦρ. Virgilius: *ſtant lumina flamma*. idest, *cum flamma*. Alii legunt, *flammâ*. Politus.

3. αἰστὴρ γάρ τις ἀπὸ τοῦ αἴθειν) Etymologici Magni Auctor: παρὰ τὸ αἴθω τὸ καίω, αἴσω, γίνεται αἴστηρ· καὶ ἀποβολῇ τοῦ ι, ἄστηρ, καὶ ἀστήρ. Polit.

τοδύναμον ὄν. Εἰ μὲν ἦν [1] δι' εὐρυφωνίαν λειοτέραν, καὶ οὐ πάνυ ἀηδῆ, καὶ τραχεῖαν, ἐνταῦθα χασμᾶται τὸ μέτρον, εὕρηται ἰδοὺ λύσις αὕτη. Εἰ δὲ μὴ, ζητητέον ἑτέραν αἰτίαν, διατί τὸ δαῖε, δίχα τοῦ ι γράφεται πρὸ φωνήεντος. Τινὲς μέντοι οὕτω γράφουσι· [2] Δαῖε δέ οἱ ἐκ κόρυθος. ἕτεροι δὲ ἀποκοπῆναί φασιν ἐκ τοῦ δαίετο, καὶ διὰ τοῦτο ἐξ ἀνάγκης γράφεσθαι δίχα τοῦ ι. Πῦρ δὲ ἀκάματον λέγεται, οὐ τὸ διόλου ἀναπτόμενον, ἀλλὰ τὸ τῇ οἰκείᾳ φύσει τοιοῦτον. Εἰ γὰρ καὶ κάμνει τῇ σβέσει, ἀλλ' ὅτε πῦρ ἐστιν, ἀκάματόν ἐστι. Διατί δὲ ἐκτείνεται ἡ ἄρχουσα τοῦ ἀκάματον, ὅτι δηλαδὴ πρὸς ἀναγκαῖον δακτύλου ἀπαρτισμὸν (ὃ δὴ γίνεται καὶ ἐν τῷ ἀθάνατος) δηλοῦται καὶ ἀλλαχοῦ. Ἄστρου δὲ, καὶ ἀστέρος διαφορὰ, ὡς καὶ ἑτέρωθι δηλοῦται, καθότι ὁ μὲν ἀστὴρ, ἓν σῶμά ἐστι· τὸ δὲ ἄστρον, ὡς περιεκτικόν. [3] Ἄστρον γὰρ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον ἀστροθέτημα, μιᾷ φαντασίᾳ ὄψεως ὑποπίπτον, μετά τινος μυθολογίας ἀποδιδόμενον, ὡς ἐν τοῖς Ἀράτου Φαινομένοις. Καὶ οὕτω μὲν, κατὰ τοὺς παλαιούς. [4] οἱ δὲ ὕστερον συνέχεαν τὰς λέξεις· ὡς εἶναι παρ' αὐτοῖς ταυτὸν ἄστρον, καὶ ἀστέρα. Τὸ δὲ, Ἀστέρ' ὀπωρινῷ, συναληλιμμένως ἔχον διὰ δακτύλου χρείαν, γράφεται καὶ ἄλλως ἐντελῶς, Ἀστέρι ὀπωρινῷ. [5] Καὶ ἔχουσι καὶ τοῦτο οἱ παλαιοὶ παράδειγμα συνιζήσεως, ἐν ᾗ δύο βραχεῖαι εἰς μίαν λογίζονται. Τὸ ρί γὰρ, καὶ τὸ ὀ, εἰς μίαν συνεκφωνοῦνται βραχεῖαν συλλαβήν. [6] Τοιοῦτον δ' ἐν τοῖς ἑξῆς καὶ τὸ, Χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσσεὺς, ἠρᾶτο δ' Ἀθήνῃ. Ἡ γὰρ τελευταία τοῦ ὄρνιθι, καὶ ἡ ἄρχουσα τοῦ Ὀδυσσεὺς, εἰς ἕνα βραχὺν πόδα συνιζάνουσι, καὶ ποιοῦσι μετὰ τῶν δύο βραχειῶν καὶ αὐτῆς συλλαβῆς δάκτυλον.

α'. Ὀπώρα δὲ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ὥρα μεταξὺ κειμένη θέρους, καὶ τοῦ μετ' αὐτὴν μετοπώρου. Τὸ δὲ, λελουμένος Ὠκεανοῖο, ἐλλέλειπται προθέσεως. ἵνα ᾖ, λελουμένος ἐπὶ Ὠκεανοῦ. Τὸ δέ γε κοινὸν, καὶ σύνηθες, λελουμένος Ὠκεανῷ. [7] Λέγει δὲ ἀστέρα ὀπωρινὸν, τὸν κυ-

cum τοῦ ι, tametſi peræquè valeat, & ejuſdem ſit ſignificationis. Si igitur, propter planiorem latitudinem vocis, ſonumque non prorſus injucundum, neque aſperum, dehiſcit hoc loci, ſeu hiatum facit metrum; ecce tibi hæc reperta eſt ratio ſolvendæ difficultatis. Sin minus, quærenda eſt alia cauſſa, quamobrem τὸ δαῖε, *accendebat*, ſcribatur ſine τοῦ ι, ſequente ſtatim vocali. Nonnulli tamen ſcribunt hoc modo: Δαῖε δέ οἱ ἐκ κόρυθος. *Accendebat autem ei ex galeâ*. Alii verò factam hîc aſſe ajunt apocopen ex δαίετο, *accendebatur*, *ardebat*; ac propterea id eſſe neceſſariò ſcribendum ſine τοῦ ι. Πῦρ autem ἀκάματον, *ignis indefeſſus*, *atque infatigabilis*, dicitur, non qui in totum, ſeu omnino eſt accenſus; ſed qui ſuapte naturâ talis eſt, ideſt, infatigabilis. Etſi enim κάμνει, *defatigatur*, *ac deficit*, cum extinguitur; tamen, quando ignis eſt, eſt ille quidem ἀκάματος, *indefeſſus*, *atque infatigabilis*. Quid autem cauſſæ eſt, quamobrem producatur prima vocis hujus, ἀκάματον, *infatigabile*, nimirum propter neceſſitatem, ad dactylum abſolvendum, quod utique etiam fit in ἀθάνατος, *immortalis*, declaratur etiam alibi. Ἄστρου, *aſtri*, *ſeu ſyderis*, & ἀστέρος, *ſtellæ*, differentia eſt, ut alibi quoque explicatur, quatenus ὁ ἀστὴρ, *ſtella*, unum corpus eſt; at verò τὸ ἄστρον, *aſtrum*, quædam eſt veluti multorum corporum complexio, atque congeries. Aſtrum enim, ſignum eſt, ſeu ſydus, conſtans ex multis ſtellis ſimul poſitis, quod ſub unam oculi ſpeciem cadat, & cum fabulosâ aliquâ narratione explicetur, ut in Arati Phænomenis fit manifeſtum. Atque ita quidem, ſecundùm veteres. Verùm poſteriores ſcriptores vocabula hæc confuderunt: adeo ut apud ipſos idem ſit dicere ἄστρον, *aſtrum*, atque ἀστέρα, *ſtellam*. Porrò autem illud, Ἀστέρ' ὀπωρινῷ, *ſtellæ autumnali*, habet ſynalœpheo, propter neceſſitatem dactyli. Quamquam etiam aliter integrè ſcribitur: Ἀστέρι ὀπωρινῷ. *ſtellæ autumnali*. Atque hoc etiam veteres habent exemplum ſynizeſeos, in qua duæ breves reputantur pro unâ. Nam τὸ ρί, & τὸ ὀ, ſono ipſo voceis ſimul efferuntur, tamquam una brevis ſyllaba. Tale quoque poſtea illud: Χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσσεὺς, ἠρᾶτο δ' Ἀθήνῃ. *Gavîſus eſt autem de ave Ulyſſes, precatuſque eſt Minervam*. Poſtrema namque τοῦ ὄρνιθι, *ave*, & prima τοῦ Ὀδυσσεὺς, *Ulyſſes*, in brevem unum pedem per ſynizeſin conſident, & cum δύ, brevi & ipsâ ſyllabâ, dactylum perficiunt.

VIII. Ὀπώρα, *autumnus*, ut alibi quoque declaratur, tempeſtas media eſt inter æſtatem, partemque illam temporis in hyemem inclinantis, quæ autumnum ipſum conſequitur. Dictum eſt per ellipſin, ſeu præpoſitionis defectum, illud, λελουμένος Ὠκεανοῖο. *lotus Oceano*. adeo ut ſit, λελουμένος ἐπὶ Ὠκεανοῦ. *lotus in Oceano*. Quamquam commune, & uſitatum loquendi genus ſit, λελουμένος Ὠκεανῷ. *lotus Oceano*. Dicit autem ἀστέρα ὀπωρινὸν,

1. δι' εὐρυφωνίαν λειοτέραν) Concurſus vocalium, ſive boatus, magnificentiam ſermonis adauget. Demetr. Phaler. περὶ ἑρμηνείας. Salvinus.

2. Δαῖε δέ οἱ ἐκ κόρυθος) Hoc modo ſcripſerim cum apoſtropho: Δαῖε δ' οἱ ἐκ κόρυθος. Politus.

3. Ἄστρον γὰρ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον ἀστροθέτημα) Suidas: ἀστὴρ ἄστρου διαφέρει. ὁ μὲν ἀστὴρ, ἕν τι ἐστί· τὸ δὲ ἄστρον ἐκ πολλῶν συνέστηκεν. ὃ καὶ ἀστροθέτημα καλεῖται. Tiichinius: διαφέρει ἄστρον, καὶ ἀστήρ. ἀστὴρ γὰρ ὁ μονομερής· ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον. Politus.

4. οἱ δὲ ὕστερον συνέχεαν τὰς λέξεις) Pindarus Olymp. Od. 1.

Μηκέθ' ἁλίου σκόπει
Ἄλλο θαλπνότερον
Ἐν ἁμέρᾳ φαεννὸν ἄστρον.

Vetus Scholiaſtes: καινῶς εἶπεν ἄστρον. ἔδει γὰρ εἰπεῖν ἀστέρα. τὰ γὰρ ἐκ πολλῶν συγκείμενα ἀστέρων ζώδια, ἄστρα λέγονται, ὁ δὲ ἥλιος, ἀστήρ. Politus.

5. Καὶ ἔχουσι καὶ τοῦτο οἱ παλαιοὶ παράδειγμα συνιζήσεως) Rara hæc ἐν ἔπεσι ſynizeſis, ſeu ſynecphoneſis, in qua duæ breves accipiantur pro unâ. Sed tamen & aliqua hujus ſynizeſeos exempla reperiuntur. Hephæſtion: αἱ δύο βραχεῖαι εἰς μίαν βραχεῖαν. ὅπερ ἐν τοῖς ἄλλοις ἀφίστανται μέτροις. ὡς παρὰ Σοφοκλεῖ ἐν τῇ Ἰλιάδι· Σάων μολόντα Πηλείδῃ δεξιὸν κατ' ὦμον. ἐν δὲ τοῖς ἔπεσι σπανίως· ὥσπερ Κριτίας ἐν τῇ εἰς Ἀλκιβιάδην ἐλεγείᾳ οὐκ οἴεται ἐγχωρεῖν τὸ Ἀλκιβιάδου τὸ ὄνομα. Φησὶ γὰρ·

Καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω,
Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις.
Οὐ γάρ πως ἦν τοὔνομ' ἐφαρμόζειν ἐλεγείῳ,
Νῦν δ' ἐν ἰαμβείῳ κείσεται οὐκ ἀμέτρως.

ἔστι μέντοι καὶ ἐν ἔπει. Tale igitur Synizeſeos exemplum ἐν ἔπει fuerit τὸ, Ἀστέρι ὀπωρινῷ. Politus.

6. Τοιοῦτον δ' ἐν τοῖς ἑξῆς καὶ τὸ, Χαῖρε) Euſtathius ad lib. II. Τοιοῦτον δὲ παρ' Ὁμήρῳ, καὶ τὸ, Ἀστέρ' ὀπωρινῷ ... καὶ τὸ, Χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσσεύς. Pro ratione tamen metri ſcribendum Ὀδυσεύς. Politus.

7. Λέγει δὲ ἀστέρα ὀπωρινὸν, τὸν κύνα) Heſychius: Ἀστὴρ ὀπωρινὸς, τῷ κυνί, τῷ κατὰ τὴν ὀπώραν ἀνατέλλοντι. Politus.

Alcæus ... Suidas exceritur. Vid. Procyon ſuris. Sal.

ρινὸν, *ſtellam autumnalem*, Canem, ſeu Caniculam, quam Caniculam communis loquendi uſus, majoris perſpicuitatis gratiâ, κυνάστρον, *aſtrum*, *ſeu ſydus caniculæ*, appellat. Is Canis cum exoritur ſoli, ſive cum paullò ante eum exoritur, magni ardores, atque æſtus excitantur. Quare & alibi poſtea eum vocat οὖλον, *pernicioſum*. Lepidè porro, atque congruenter comparationem inſtituit Poëta. Sicuti enim Canis exoritur ſoli, quando exitiales ardores proveniunt; ſic etiam parva hæc ſtella, Diomedes, magno exoritur Achilli, ſive ante eum exoritur: qui paullò poſt refulgens, animo inflammato, atque exardeſcente, Trojanos expellet, ut ignis locuſtas, quemadmodum alibi per comparationem loquitur Homerus. Porro autem Ὠκεανός, *Oceanus*, ſecundùm allegoriam, circulus eſt, prout animo quidem concipitur, in partes duas dividens ſphæram cœleſtem, pari lineâ, atque eſt ſumma planities terræ; mediamque ipſam ſphæram, cogitatione noſtrâ, biſariam ſecans tum in ſuperius hemiſphærium, quod ſcilicet eſt ſupra terram, tum in inferius, quod eſt ſubtus terram. Qui proinde circulus dicitur Ὁρίζων, *Horizon*, *Finiens*, *Finitor*. Ex hoc iſto Oceano, complectente in orbem, & circumclaudente terram, ſtellæ adſcendunt, atque infra eum rurſus deſcendunt. Ideoque etiam ſic vocatur, quia per eum ſtellæ ὠκὺ ἄνω, *velociter ſurſum*, erumpunt; aut etiam motus ſuos ὠκέως ἀνύουσι, *velociter abſolvunt*, *atque perficiunt*. At verò Poëſis Oceanum vult eſſe fluvium, qui terram in orbem circumfluat. Vera tamen hiſtoria Oceanum, mare externum intelligit. Hunc per Oceanum vulgus exiſtimat ſtellas oriri, perinde quaſi ad aquam appropinquent, aut eam etiam fabuloſè attingant. Quocirca Homerus lotam ſtellam in Oceano Poëticè comminiſcitur, perinde ac ſi nitorem ideo ſplendoremque haberet, quòd lota ibi eſſet, ad exemplum corporum, quæ lotione nitida, ac ſplendida efficiuntur. Præterea obſerva, ubi dicit Poëta, ignem ex Diomede ſtellæ ſimilem arſiſſe, videri eum in hac eſſe opinione, ut ſtellas ignes quoſdam eſſe arbitretur. Unde ab αἴθειν, *urere*, deducitur, ut dictum eſt, ὁ ἀστὴρ, *ſtella*. Quare & imitator ille Homeri Sophocles aſtra ſpirare ignem opinatur, ubi ſtellarum ignem ſpirantium choragum, pro myſticis ineptiis, Bacchum vocat. Obſerva, audacis fortiſque viri facinus illud fuiſſe, ut impetum in medium faceret, ubi plurimi tumultuabantur.

Erat quidam inter Trojanos Dares, locuples, a crimine vacuus,
Sacerdos Vulcani, duoque ei filii erant,
Phegeus, Idæusque, bene periti omnis pugnæ.
Hi ſemoti a ſuis, ex adverſo impetum in eum ferebant.
Hi quidem ab equis; ille verò e terrâ irruit pedes.

IX. Ex priſcorum obſervatione, τὸ Δάρης, *Dares*, nomen proprium, ſi oxytonum eſſet, ut putant nonnulli, gignendi caſum haberet in ὡς. Nomina namque oxytona duarum ſyllabarum in

κύνα, ὃν ἡ κοινὴ λαλιὰ, διὰ τὸ σαφέστερον, κυνάστρον λέγει. οὗ ἐπιτέλλοντος ἡλίῳ, ἤτοι μικρόν τι προανατέλλοντος, αἱ πολλοὶ γίνονται καύσωνες. Διὸ καὶ οὖλον αὐτὸν ἐρεῖ ἀλλαχοῦ. Ἀστείως δὲ, καὶ προσφυῶς παρέβαλεν ὁ Ποιητής. Ὡς γὰρ ἐπιτέλλει ὁ κύων ἡλίῳ, ὅτε ὀλέθρια γίνεται καύματα, οὕτω καὶ Διομήδης, μικρὸς οὗτος ἀστὴρ, τῷ μεγάλῳ Ἀχιλλεῖ ἐπιτέλλει, ἤτοι προανατέλλει αὐτοῦ· ὃς μετὰ μικρὸν ἀναλάμψας, καὶ τὸν θυμὸν ἐκκαύσας, διώξει τοὺς Τρῶας, ὡς πῦρ ἀκρίδας, καθὰ φησὶν ἀλλαχοῦ Ὅμηρος ἐν παραβολῇ. [1] Ὠκεανὸς δὲ, κατὰ μὲν ἀλληγορίαν, ἐστὶ κύκλος, διχάζων ἐννοηματικῶς τὴν οὐρανίαν σφαῖραν κατὰ ἰσότητα τοῦ τῆς γῆς ἐπιπέδου, καὶ τέμνων διχῆ, κατ᾽ ἐπίνοιαν, αὐτὴν εἴς τε τὸ ὑπὲρ γῆν, καὶ εἰς τὸ ὑπὸ γῆν ἡμισφαίριον, καὶ διὰ τοῦτο ὁρίζων λεγόμενος. Ἐκ τοῦ τοιούτου ὠκεανοῦ, κύκλῳ περιειληφότος τὴν γῆν, οἱ ἀστέρες ἀνέρχονται, καὶ εἰς αὐτὸν αὖθις δύονται. Διὸ καὶ οὕτω καλεῖται, ὡς δι᾽ αὐτοῦ τῶν ἀστέρων ὠκὺ ἄνω γινομένων, [2] ἢ καὶ ὠκέως ἀνυόντων τὰς ἑαυτῶν κινήσεις. Ἡ δὲ ποίησις ὠκεανὸν βούλεται εἶναι ποταμὸν περιρρέοντα κύκλῳ τὴν γῆν. Ἡ δὲ ἀληθὴς ἱστορία τὴν ἔξω θάλασσαν, ὠκεανὸν λέγει. Διὰ τούτου τοῦ ὠκεανοῦ οἱ πολλοὶ ἀνατέλλειν τοὺς ἀστέρας δοκοῦσιν, ὡς εἰς ὕδωρ ἐγγίζοντας, ἢ καὶ ψαύοντας μυθικῶς τοῦ ὕδατος. Διὸ καὶ Ὅμηρος ποιητικώτερον λελοῦσθαι ἐπὶ ὠκεανοῦ ἀστέρα λέγει, ὡς εἴπερ εἶχε τὴν λαμπρότητα διὰ τὸ ἐκεῖ λούσασθαι, καθ᾽ ὁμοιότητα τῶν λουτρῷ λαμπρυνομένων σωμάτων. Σημείωσαι δὲ καὶ, ὅτι ἐν οἷς λέγει ὁ Ποιητὴς πῦρ ἐκ τοῦ Διομήδους καίεσθαι ἀστέρι ἐναλίγκιον, δοξάζειν φαίνεται, πυρά τινα καὶ τοὺς ἀστέρας εἶναι. ὅθεν καὶ ἀπὸ τοῦ αἴθειν ὁ ἀστὴρ, ὡς ἐρρέθη, παράγεται. Διὸ καὶ ὁ ζηλωτὴς Ὁμήρου Σοφοκλῆς, πυρπνόα τὰ ἄστρα δοξάζει, ἔνθα τὸν Διόνυσον, κατά τινα μυστικὸν λῆρον, πῦρ πνειόντων χορηγὸν ἀστέρων φησίν. Σημείωσαι, ὅτι θαρσαλέου, καὶ ἀνδρείου ἔργον τὸ ὁρμῆσαι κατὰ μέσον, ὅθι πλεῖστοι κλονέοντο. Rom.p.515.

Ἦν δέ τις ἐν Τρώεσσι Δάρης, ἀφνειὸς, ἀμύμων,
Ἱρεὺς Ἡφαίστοιο· δύω δέ οἱ υἱέες ἤστην, 10
Φηγεὺς, Ἰδαῖός τε, μάχης εὖ εἰδότε πάσης.
Τώ οἱ ἀποκρινθέντε, ἐναντίω ὁρμηθήτην.
Τὼ μὲν, ἀφ᾽ ἵπποιιν· ὁ δ᾽ ἀπὸ χθονὸς ὄρνυτο πεζός.

θ'. Κατὰ τοὺς παλαιοὺς, [3] τὸ Δάρης κύριον, ἐὰν ὀξύτονον ἦν, ὥς τινες οἴονται, εἰς ὡς ἂν εἶχε τὴν γενικήν. Τὰ γὰρ εἰς ης, φασὶ, δι-

1. Ὠκεανὸς δὲ, κατὰ μὲν ἀλληγορίαν, ἐστὶ κύκλος διχάζων ἐννοηματικῶς τὴν οὐρανίαν σφαῖραν) Johannis Diaconi Allegoriæ ad Theogoniam Heſiodi: Ὠκεανὸς γὰρ ὁ ὁρίζων λέγεται, ἀπὸ τοῦ ὠκέως ἀνύειν. ἄλλος γὰρ ἐπ᾽ ἄλλῳ ὁρίζων ταῖς διαφοραῖς τῶν οἰκήσεων γίνεται. οὐ γὰρ ὁ αὐτὸς τοῖς πᾶσιν ὁρίζων ἐστὶν, ἀλλ᾽ εἰς πρὸς τὰς οἰκήσεις ἕτερος. ἔστι δὲ ὁρίζων κύκλος διαιρῶν τὸ ἄνω ἡμισφαίριον, καὶ τὸ κάτω. Politus.

2. ἢ καὶ ὠκέως ἀνυόντων τὰς ἑαυτῶν κινήσεις) Etymologici Magni Auctor: ὠκεανὸς παρὰ τὸ ὠκέως ἀνύττειν ὁ οὐρανὸς κινούμενος. Politus.

3. τὸ Δάρης κύριον) *Dares*, nomen viri apud Virg. l. V. qui cum Entello pugnavit. *Salvinus*.

δισύλλαβα ὀξύτονα, ἓν ἔχοντα πρὸ τοῦ ς σύμφωνον, εἰς ους περατοῦται κατὰ τὴν γενικήν. σαφοῦς. πρηνοῦς. πρυλοῦς. φραδοῦς. οἷον, [1] φραδέος νόου ἔργα τέτυκται. Τὸ, ψιλῆς ψιλῆτος, παρ' Αἰσχύλῳ, καὶ τὸ, Κουρῆτες ἐμάχοντο, παρὰ τῷ Ποιητῇ, καὶ τὸ, κριτὴς, ἔχουσιν ἄλλον λόγον, ὃν ζητητέον παρὰ τοῖς παλαιοῖς. Χρῆσις δὲ τοῦ Δάρητος, αὕτη· Ἦν δέ τις ἐν Τρώεσσι Δάρης, ἀφνειὸς, ἀμύμων, ἱρεὺς Ἡφαίστοιο. δύω δέ οἱ υἱέες ἤστην, Φηγεὺς, Ἰδαῖός τε, μάχης εὖ εἰδότε πάσης. οἳ, φησὶν, ἀποκρινθέντες, ἐναντίω τῷ Διομήδει ὡρμήθησαν. Λέγει δὲ ἀποκρινθῆναι τὸ χωρισθῆναι τοῦ ὁμίλου. Ἄλλως δὲ ἀποκρίνεσθαι τὸ ἀπο-

Baſ. p. 390. λογεῖσθαι, οὐκ οἶδεν ὁ Ποιητής· ἀλλ' ὑποκρίνεσθαι λέγει αὐτὸ, καθὰ φανεῖται ἀλλαχοῦ. Ποιητικώτερον δὲ, τὸ ἀποκρινθέντε μετὰ τοῦ ν. Ἡ μὲν γὰρ κοινὴ φράσις, ἀποκριθῆναι λέγει, καὶ ἀποκριθέντε, ὥσπερ καὶ κλιθῆναι, καὶ κλιθέντε· οἱ δὲ Ποιηταὶ φυλάττουσι τὸ ν τοῦ θέματος ἐν τούτοις, τῷ νόμῳ τῶν ἀμεταβόλων. Ἰστέον δὲ, ὅτι τὰ εἰρημένα ἔπη ἐπαινεῖται τῆς διηγηματικῆς ἕνεκεν ἀρετῆς, ἤγουν τῆς σαφηνείας, τῆς συντομίας, τῆς πιθανότητος, αἳ δὴ ἀρεταί εἰσι διηγήματος. Ἔγκειται γὰρ τὸ ἔθνος, οἱ Τρῶες· τὸ κύριον ὄνομα, ὁ Δάρης, [2] οἰκεῖον ἱερεῖ, ἐκδέροντι τὰ θυόμενα· ἡ τύχη, τὸ ἀφνειός· ἡ ἀρετή· ἀμύμων γάρ. ἡ τῆς ἀρχῆς λειτουργία, ὅτι ἱερεύς. τὰ τῶν παίδων ὀνόματα, καὶ ἡ περὶ πόλεμον αὐτῶν ἀρετή. Ἔστι δ' ἐν τούτοις ἰδέσθαι ὑπεμφαινόμενον, καὶ ὡς δειλὸν ὁ πλοῦτος, καὶ φιλόψυχον κακόν. Ὁ γὰρ τοῦ ἀφνειοῦ Δάρητος υἱὸς Ἰδαῖος, εἰ καὶ μάχης εὖ οἶδε πάσης, ἀλλὰ τὸν ἀδελφὸν ἀφεὶς ἀβοήθητον κεῖσθαι, φευξεῖται μετ' ὀλίγα φιλοψυχῶν. [3] Σύνηθες δὲ τῷ Ποιητῇ, οὕτως ἀφελῶς ἀπὸ ὑπαρκτικοῦ ῥήματος ἄρχεσθαι ἐν πολλαῖς τῶν διηγήσεων. οἷον, Ἦν δέ τις ἐν Τρώεσσιν. [4] Ἔστι πόλις Ἐφύρη. Ἔστι δέ τις αἰπεῖα πέτρα.

ι. Σημείωσαι δὲ, ὅτι ἐν ταῖς ἑξῆς μέλλων ὁ Ποιητὴς, διὰ τοῦ Διομήδους, δύο ἀριστέας κατασπάσαι τοῦ ἅρματος, Πάνδαρον, καὶ Αἰνείαν, φθάνει προγυμνάζων τὸν ἥρωα ἐν ἑτέραις ξυνωρίσιν, [5] ἀδελφικαῖς μέντοι πάσαις. Καὶ νῦν μὲν Ἰδαῖον, καὶ Φηγέα καταβάλλει τοῦ ἅρματος, εἶτα φονεύει τοὺς [6] τοῦ Εὐρυμέδοντος

υἱεῖ-

in ης, ut iidem docent, ſi conſonantem quidem unam habent ante litteram ς, genitivum habent deſinentem in ους. Σαφὴς, *perſpicui, ſive manifeſti*; πρηνὴς, *proni*; πρυλὴς, *pedites, ſeu militis pedeſtres*; φραδὴς, *prudentes*. ut, φραδέος νόου ἔργα τέτυκται. *Prudentis animi res eſt, ſeu prudentem animum res requirunt.* Τὸ ψιλὴς, ψιλῆτος, *levis armaturæ miles, militis*, apud Æſchylum; quodque eſt apud Poëtam, Κουρῆτες ἐμάχοντο. *Curetes pugnabant*. itemque τὸ κριτὴς, *judex*, aliam habent rationem, quæ anquirenda eſt apud veteres. Hoc autem exemplum eſt τοῦ Δάρητος, *Daretis*: Erat neſcio quis inter Trojanos Δάρης, *Dares*, locuples, a crimine vacuus, ſacerdos Vulcani; duoque ei filii erant, Phegeus, Idæuſque, bene periti omnis pugnæ. qui, ut narrat, ἀποκρινθέντες, *ſemoti, ac ſeparati*, impetum ex adverſo in Diomedem ſecerunt. Dicit autem ἀποκρινθῆναι, ſeparari, ſegregarique a turbâ. Alioquin ἀποκρίνεσθαι, ideſt, defendendi, excuſandique cauſsâ, reſpondere, non agnoſcit Poëta; ſed id dicit ὑποκρίνεσθαι, quemadmodum alibi poſtea apparet. Poëticum porrò eſt τὸ ἀποκρινθέντε, *ſegregati, ſemoti, ſeparati*, cum τῷ ν. Communis enim loquendi conſuetudo dicit ἀποκριθῆναι, *ſeparari*, & ἀποκριθέντε, *ſeparati*, ſicuti etiam κλιθῆναι, *inclinare*, & κλιθέντε, *inclinatı*. Verùm Poëtæ in his vocibus retinent τὸ ν ipſius thematis, pro lege litterarum immutabilium. Sciendum porro eſt laudari hæc, quæ diximus, carmina a bonitate, ac præſtantiâ narrationis, a perſpicuitate videlicet, brevitate, probabilitate, quæ utique virtutes ſunt narrationis. Exponitur enim ibi gens, ideſt, Trojani: nomen proprium, ideſt, Δάρης, *Dares*, aptum, atque congruens ſacerdoti, qui victimas ἐκδέρει, *pelle exuat*: fortuna, ideſt, locuples. virtus: Vacuus enim a crimine. Publicum officii, ſeu præfecturæ miniſterium, quòd dicitur ſacerdos. Liberorum nomina, eorumque virtus bellica. Eſt etiam hic intueri, quod tacitè quodammodo oſtenditur, quàm ignavum malum ſint divitiæ, & cum turpi vitæ cupiditate conjunctum. Namque Idæus, locupletis & opulenti viri, Daretis filius, tametſi rei militaris peritiâ in omni pugnandi genere excellit; tamen paullò poſt fratrem ſuum, auxilio deſtitutum, atque jacentem dimittit, ipſeque ut vitæ ſuæ, ac ſaluti conſulat, ſemet in fugam conjicit. Moris autem eſt Poëtæ, ut multarum ſuarum narrationum initium ſic ſimpliciter ducat a verbo ſubſtantivo. exempli cauſsâ: Ἦν δέ τις ἐν Τρώεσσι. *Erat quidam inter Trojanos.* Ἔστι πόλις Ἐφύρη. *Eſt urbs Ephyra.* Ἔστι δέ τις αἰπεῖα πέτρα. *Eſt ſublimis petra.*

X. Volo autem, obſerves, ut Poëta, quum fortiſſimos duos viros, Pandarum, atque Æneam, Diomedis manu, ſit infra e curru deturbaturus; heroëm hunc priùs in aliis bigis, iis tamen omnibus fratrum, exercet. Et nunc quidem Idæum, atque Phegeum e curru dejicit. Deinde Eurydamantis filios interficit, provecti

jam

1. φραδέος νόου ἔργα τέτυκται) συνετοῦ νοῦ, καὶ ἀρίστης βουλῆς ἔργα δυναμένου, ὁ παρὼν καιρὸς δεῖται. Scholiaſta. *Politus*.

2. οἰκεῖον ἱερεῖ, ἐκδέροντι τὰ θυόμενα) Etymologici Magni Auctor: παρὰ τὸ δέρω, καὶ ἐκδέρω γίνεται δέρης, καὶ [illegible] Δάρης. [illegible] ὡς ἱερεὺς ἔχων καὶ τὸ ὄνομα παρὰ τὸ ἐκδέρειν τὰ θύη. Polit.

3. Σύνηθες δὲ τῷ Ποιητῇ, οὕτως ἀφελῶς ἀπὸ ὑπαρκτικοῦ ῥήματος ἄρχεσθαι ἐν πολλαῖς τῶν διηγήσεων) Item etiam, ad Homeri exemplum, σύνηθες Virgilio. *Eſt in ſeceſſu longo locus. Eſt in conſpectu Tenedos. Eſt locus, Heſperiam Graii cognomine dicunt. Eſt procul in pelago ſaxum.* Politus.

4. Ἔστι πόλις Ἐφύρη) Virg. 1. Æn.
Urbs antiqua fuit (Tyrii tenuere coloni)
Carthago.
Salvinus.

5. ἀδελφικαῖς μέντοι πάσαις) Dubito. Nec enim in comperto eſt, fratres fuiſſe Aſtynoum, & Hypenorem, quos ante interfecit Diomedes, quàm occideret filios Eurydamantis. *Politus*.

6. τοῦ Εὐρυμέδοντος) Immo verò τοῦ Εὐρυδάμαντος. Polit.

jam hominis ætate, & conjectoris, ſive interpretis ſomniorum. Mox filios duos Phænopis, qui nati ei erant in ſenectute. Poſtea nothos duos filios Priami e curru dejicit, eorumque equos commilitonibus ſuis ad naves abigendos tradit. Poſtremo omnium in Pandarum, & Æneam, par illud heroum, fortiter inſurgit: quibus victis, currum ipſorum abducit. Τὸ ἱρεὺς, ſacerdos, ut in Commentariis quidem Apionis, & Herodori legitur, tenui ſpiritu afficitur, quum ea vox ſit per ſynalœphen contracta ex ἱερεὺς, ſacerdos, ut πόλιες πόλις, urbes: iidemque etiam regulam afferunt, quæ ſimul eſt ratio, cur ea vox tenuetur, non admodum neceſſariam. Præſtat igitur dicere, tenui eam ſpiritu eſſe affectam, tamquam vocem Jonicam. Spiritu namque tenui gaudent Jones. Τὸ ἤστην, erant, videtur habere pleonaſmum τοῦ σ', ſi tamen ſit a primâ perſonâ ſingulari ἦν, eram. Si enim ſecus fieret ex ἦον, eram, præter pleonaſmum eum, quem diximus, haberet etiam ſyncopen. Eſt enim ἦον, eram, ἦες, eras, ἦεν, erat. Dualia: ἤετον, vos duo eratis. ἠέτην, duo illi erant; &, per figuras duas, ἤστην. Appellatio illa τοῦ Φηγέως, Phegei, conſequens videtur eſſe, ac proxima nomini τοῦ Ἰδαίου, Idæi. Si enim ὁ Ἰδαῖος, Idæus, ita dictus eſt per denominationem a monte Idâ; denominatus quoque fuerit ὁ Φηγεὺς, Phageus, ab Ἰδαίαις φηγοῖς, ab Idæis fagis, hoc eſt, quercubus: quæ & uſui ad ſacrificium erant patri eorum Dareti, dum lignis fiſſis, ſeu aſſulis, victimas concremaret. Denique hoc loci τὸν πεζὸν, peditem, ſeu pedeſtrem militem, explicat Poëta, cum Daretis quidem filios impetum feciſſe ait ἀφ' ἵππων, ab equis; Diomedem verò ἀπὸ χθονὸς πεζὸν, a terrâ peditem. Ex quo fit manifeſtum, πεζὸν, peditem, eum dici, qui eſt περὶ τὸ πέδον, in campo, ſeu ſolo. unde etiam derivatur.

ὀνειροπόλου γέροντος υἱούς. εἶτα τοὺς τοῦ Φαίνοπος τηλυγέτους ὄντας δύο υἱούς. ἐπὶ τούτοις δὲ, δύο Πριαμίδας νόθους τοῦ δίφρου κατέρριψε, καὶ τοὺς ἵππους αὐτῶν τοῖς ἑταίροις εἰς νῆας ἐλαύνειν ἔδωκεν. ἐφ' οἷς καὶ κατὰ Πανδάρου, καὶ Αἰνείου τῆς ἡρωικῆς συζυγίας ἀνδρίζεται, καὶ τὸ ἅρμα νικήσας ἀπάγει. Τὸ δὲ ἱρεὺς ψιλοῦται, ὡς ἐν τοῖς Ἀπίωνος κεῖται, καὶ Ἡροδώρου, συναλιφὲν ἐκ τοῦ ἱερεὺς, ὡς τὸ, πόλιες πόλις. καὶ λέγουσιν οἱ αὐτοὶ καὶ κανόνα αἰτιολογικὸν τῆς ψιλώσεως, οὐ πάνυ ἀναγκαῖον. Κάλλιον οὖν λέγειν, ἐψιλῶσθαι αὐτὸ, ὡς Ἰωνικόν. [1] Ψιλωτικοὶ γὰρ καὶ οἱ Ἴωνες. [2] Τὸ δὲ, ἤστην, δοκεῖ πλεονασμὸν ἔχειν τοῦ σ', εἴπερ ἀπὸ τοῦ ἦν πρώτου προσώπου ἑνικοῦ γίνεται. εἰ δ' ἄλλως ἐκ τοῦ ἦον γίνεται, ἔχοι ἂν σὺν τῷ ῥηθέντι πλεονασμῷ καὶ συγκοπήν. Ἦον γὰρ, ἦες, ἦεν. δυϊκὰ, ἤετον, ἠέτην, καὶ, κατὰ δύο πάθη, ἤστην. Ἡ δὲ τοῦ Φηγέως κλῆσις ἔοικε τῇ τοῦ Ἰδαίου ἀκολουθεῖν. Εἰ γὰρ ὁ Ἰδαῖος τῇ Ἴδῃ τῷ ὄρει παρωνόμασται, εἴη ἂν ὁ Φηγεὺς παρώνυμος ταῖς Ἰδαίαις φηγοῖς, ὅ ἐστι, δρυσίν· αἳ καὶ χρήσιμοι πρὸς θυσίαν ἦσαν τῷ πατρὶ Δάρητι, σχίζαις κατακαίοντι τὰ ἱερευόμενα. Ἐν τούτοις δὲ καὶ τὸν πεζὸν ἑρμηνεύων ὁ Ποιητὴς, φησὶν, ὁρμηθῆναι τοὺς μὲν Δαρητιάδας ἀφ' ἵππων· τὸν δὲ Διομήδην ἀπὸ χθονὸς πεζόν. ἐξ οὗ δῆλον, ὅτι πεζὸς ὁ περὶ τὸ πέδον, ἀφ' οὗ καὶ γίνεται.

Cum verò prope inter ſe fuerunt, ſibi obviam euntes,
Phegeus prior emiſit longam haſtam,
Et ſuper humerum Tydidæ ſiniſtrum venit cuſpis
Haſtæ, neque eum vulneravit. Poſterior autem irruit haſtâ
Tydides, neque hujus e manu telum irritum fugit,
Sed percuſſit pectus inter mamillas, deturbavitque de curru.
Idæus porro aufugit, perpulchro curru relicto,
Neque auſus eſt interfectum fratrem protegere.

Οἱ δ', ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες, Rom. p. 516.
Φηγεύς ῥα πρότερος προΐει δολιχόσκιον ἔγχος,
Τυδείδεω δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ
Ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν. ὁ δ' ὕστερος ὄρνυτο χαλκῷ
Τυδείδης· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρός·
Ἀλλ' ἔβαλε στῆθος μεταμάζιον· ὦσε δ' ἀφ' ἵππων.
Ἰδαῖος δ' ἀπόρουσε λιπὼν περικαλλέα δίφρον,
Οὐδ' ἔτλη περιβῆναι ἀδελφειοῦ κταμένοιο.

XI. Τὸ σχεδὸν apud Homerum perpetuò accipitur pro ἐγγὺς, prope. Unde etiam σχεδία, ſchedia, ſeu ratis, navis brevi tempore, ſeu ſubitario opere, compacta, & σχέδιον, extemporale, ſeu ſubitarium, ideſt, ſubitò, & ipſâ horâ factum. Itemque σχεδὴν, ideſt, prope, ſeu in propinquo. Quin & apud poſteriores ſcriptores, quamvis ſumatur hæc vox per modum dubitationis; tamen vel apud ipſos propinquitatem, ac vicinitatem ſignificat. ut σχεδὸν ἀφραίνεις. ferè inſanis. videlicet propemodum inſanis, &, parùm abeſt, quin inſanias. Porro autem hoc loci ſic uſurpatur τὸ σχεδὸν, prope, ſeu juxta. Οἱ δ', ὅτε σχεδὸν ἦσαν, ἐπ' ἀλλήλοισιν ἰόντες. Hi verò, cum prope fuerunt, in ſe invicem concurrentes. pro κατ' ἀλλήλων ἰόντες, contra ſe invicem euntes. ſive ἐπιόντες ἀλλήλοις, ſibi obviam invicem euntes. Atque id quidem magis novum, uſitatumque etiam eſt poſterioribus ſcriptoribus. Verùm communius τὸ, ἐπ' ἀλλήλους ἰόντες. contra ſe invicem euntes.

ια. Τὸ σχεδὸν ἀεὶ παρ' Ὁμήρῳ, [3] ἀντὶ τοῦ ἐγγὺς λαμβάνεται· ἀφ' οὗ καὶ [4] σχεδία ἡ δι' ὀλίγου συμπαγεῖσα ναῦς, καὶ σχέδιον τὸ αὐθωρὸν, καὶ σχεδὴν, τὸ πλησίον. Καὶ παρὰ τοῖς ὕστερον δὲ, εἰ καὶ διστακτικῶς ἡ λέξις λαμβάνεται, ἀλλὰ καὶ παρ' αὐτοῖς, ἐγγύτητα δηλοῖ. οἷον, σχεδὸν ἀφραίνεις. ἤγουν ἐγγὺς, καὶ παρ' ὀλίγον. Κεῖται δ' ἐνταῦθα τὸ σχεδὸν, οὕτως· Οἱ δ', ὅτε σχεδὸν ἦσαν, ἐπ' ἀλλήλοισιν ἰόντες, ἀντὶ τοῦ, κατ' ἀλλήλων ἰόντες, ἢ ἐπιόντες ἀλλήλοις. Καὶ τοῦτο μὲν, καινότερον, καὶ χρηστὸν καὶ τοῖς ὕστερον· τὸ δὲ κοινότερον, ἐπ' ἀλλήλους ἰόντες. Καὶ ἐν τῷ, οὐδ' ἔβα-

1. Ψιλωτικοὶ γὰρ καὶ οἱ Ἴωνες) Sic dicunt ἀπηλιώτης pro ἀφηλιώτης. & ſimilia. Salvinius.

2. Τὸ δὲ, ἤστην, δοκεῖ πλεονασμὸν ἔχειν τοῦ σ') Aliter Eclogæ Hortorum Adonidis: ἤστην, ἀντὶ τοῦ ἠέτην. [illegible] παραγωγικός. τὸ δυϊκὸν, ἦστον, ἤστην. ἔστι τὸ ε εἰς η, ἤστην. Politus.

3. ἀντὶ τοῦ ἐγγὺς λαμβάνεται) Heſychius: σχεδὸν, ἐγγὺς, ἐκ χειρός. Suidas: σχεδὸν, πλησίον, πέλας, ἢ ἐκ χειρός. Etymologici Magni Auctor: σχεδὸν σημαίνει ἐγγὺς, πλησίον, πέλας, ἢ ἐκ χειρός. Politus.

4. σχεδία ἡ δι' ὀλίγου συμπαγεῖσα ναῦς) Moſchopulus: σχεδία, εἶδος νηὸς, ἀπὸ τοῦ κατεσχεδιασμένως λέγεσθαι ἢ ἐπὶ πάσης νηός. Polit.

ἔβαλεν αὐτὸν, [1] φανερῶς τὸ βάλλειν ἀντὶ τοῦ ἐπιτυγχάνειν λαμβάνεται. Τὸ δὲ, οὐκ ἔβαλεν, ἀλλαχοῦ οὐκ ἔτυχε λέγεται, ἐν τῷ, ἤμβροτες, οὐδ' ἔτυχες. Τὸ δὲ μὴ ἐπιτυχὸν βέλος, ἁλιον λέγεται τῆς χειρὸς ἐκφυγεῖν. οὗ ἀνάπαλιν τὸ, τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρός. Καὶ σημείωσαι τὸ, βέλος ἔκφυγεν. Οὕτω γὰρ καὶ ἔπος φεύγειν ἕρκος ὀδόντων φησὶν, ὅταν ὁ λόγος εἴη μὴ καίριος. Ὥσπερ ἐκ τοῦ παρὰ ποταμὸν, παραποτάμιος σύνθετον ὄνομα, οὕτω καὶ [2] ἐκ τοῦ μετὰ μαζὸν, στῆθος μεταμάζιον τὸ μεταξὺ τῶν μαζῶν. ὡς καὶ [3] μεταίχμιον τὸ μεταξὺ τῶν αἰχμῶν.

ιβ'. Πάνυ φίλιππον τὸν Διομήδην εἰδὼς ποθεν, εἶτα εἰκὸς, ὁ ῥηθεὶς Ἰδαῖος, ἀφεὶς τοὺς ἵππους, ἀπόρουσεν, ἀντιδοὺς οἷον αὐτοὺς εἰς λύτρον τῷ Διομήδει. ὁ δὲ, περὶ αὐτοὺς ποιηθεὶς, ἀπέσχετο τοῦ Ἰδαίου, ἵππους ἀγαθοὺς ἀγεννοῦς ἐχθροῦ ἀλλαξάμενος. ὃ τρόπον ἄλλον δὴ καὶ ὁ βασιλεὺς ἐπὶ τῆς Αἴθης φαίνεται πεποιηκὼς, τῆς εὐγενοῦς, καὶ δρομάδος ἵππου. Γελοῖος δὲ ὁ ἀφεὶς μὲν τὸ ἅρμα, δι' οὗ τάχιον ἂν ἔφυγε, φεύγων δὲ πεζός· εἰ μὴ ἄρα ἵππους εἰς σωτηρίαν ἑαυτοῦ, ὡς ἐῤῥέθη, ἀντίδωκεν, οὓς καὶ ἐξελάσας ὁ Διομήδης, ἔδωκεν ἑταίροις κατάγειν κοίλας ἐπὶ νῆας. Ὅτι δὲ φίλιππος ὁ Διομήδης, δηλοῖ καὶ τὰ κατὰ τὸν Αἰνείαν, οὗ καὶ τοὺς ἵππους ἐξ ἀκριβοῦς πολυ-
Baſ. p.391. πραγμοσύνης γενεαλογεῖ. Καὶ ἐν τοῖς κατὰ Δόλωνα δὲ δηλωθήσεται, περὶ τοὺς ἵππους ἐνδιακειμένως ἔχειν αὐτόν. Ἴσως δὲ καὶ ταραχθεὶς τὰς φρένας ὁ Ἰδαῖος ὑπὸ φόβου, παρεπλάγχθη τοῦ συμφέροντος. ὃ καὶ Πάρις ἔπαθεν, ὁπηνίκα ἑλκόμενος τῆς κόρυθος, καὶ ἀγχόμενος, οὐκ ἐνόησε χρήσασθαι ξίφει κατὰ τοῦ ἕλκοντος. Ἐνταῦθα δὲ καὶ ὡς ἄφιλον τὸν δειλὸν Ἰδαῖον Ὅμηρος ὑποσκώπτειν ἔοικεν· εἴπερ ἀπόρουσεν, λιπὼν περικαλλέα δίφρον, σὺν αὐτοῖς δηλαδὴ ἵπποις, οὐδ' ἔτλη περιβῆναι ἀδελφειοῦ κταμένοιο. Ἔστι δὲ καὶ νῦν [4] περιβῆναι, τὸ ἐπάνω τοῦ νεκροῦ στάντα, ὑπερμαχῆσαι. [5] ὃ καὶ ἀμφιβῆναι λέγεται, ὡς προεγράφη. Κυριολεκτεῖται δὲ μάλιστα ἡ λέξις ἐπὶ κυνῶν, καὶ λεόντων, καὶ τοιούτων, ἃ τῶν σκύμνων ὑπερμάχεται ἀμφιβαίνοντα.

Οὐδὲ

ter. Ubi item ait: οὐδ' ἔβαλεν αὐτὸν, *neque eum percuſſit, ſive vulneravit*; perſpicuum eſt, ſumi τὸ βάλλειν, *percutere, icere, ferire*, pro ἐπιτυγχάνειν, *aſſequi, attingere*. Hoc ipſum verò, οὐκ ἔβαλε, *non percuſſit, neque attigit*, alibi dicitur οὐκ ἔτυχε, *non eſt aſſecutus*, ubi ſcilicet ait: ἤμβροτες, οὐδ' ἔτυχες. *aberraſti, neque es aſſecutus*. Telum autem, ſeu jaculum, quod ſcopum non attingit, vanum atque irritum e manu fugere dicitur: contraquam ſe habet illud: τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρός. *Neque hujus e manu telum irritum fugit*. Et obſerva genus hoc locutionis: βέλος ἔκφυγε. *telum effugit*. Sic enim & verbum dicit φεύγειν ἕρκος ὀδόντων, *e ſepto dentium fugere*, cum ſermo minimè omnium eſt opportunus, neque ad rem facit. Sicuti ex his vocibus, παρὰ ποταμὸν, *juxta fluvium*, eſt nomen compoſitum παραποτάμιος, *Parapotamius, quaſi juxta fluvium natus*; ſic etiam ex μετὰ μαζὸν, *ad mamillam*, compoſitâ voce dictum eſt pectus μεταμάζιον, ideſt, τὸ μεταξὺ τῶν μαζῶν, *medium inter mamillas*. ut & μεταίχμιον, ideſt, τὸ μεταξὺ τῶν αἰχμῶν, *ſpatium medium inter inſtructas acies*.

XII. Percupidum, & perſtudioſum equorum eſſe Diomedem alicunde, ut videtur, didicerat Idæus, is, de quo diximus: ideoque, equis dimiſſis, aufugit, perinde quaſi eos in redemptionis pretium Diomedi perſolveret. Hic, verſâ in eos curâ, perſequi Idæum deſtitit, & degenerem ignavumque hoſtem cum præſtantibus equis permutavit. Quod aliâ nimirum ratione rex etiam poſtea in Æthâ facere cernitur, nobili illâ equâ, miræque in currendo celeritatis. Deridiculus autem is, qui currum relinquit, quo certè velociùs fugere potuiſſet, fugamque ſuam pedibus committit: niſi ſi forte, ut dictum eſt, equos pro ſalute ſuâ rependerit, quos abactos Diomedes commilitonibus dedit, ad naves cavas deducendos. Diomedis porro flagrans erga equos ſtudium clarè etiam apparet eo loci, quo agitur de Æneâ, cujus ſic equis afficitur, ut eorum etiam equorum genus paullò curioſiùs, ac diligentiùs enarret. Itemque eo poſtea loci, quo agitur de Dolone, perſpicuè apparet, quàm cupido ipſe, propenſoque animo in equos feratur. Fortaſſe etiam Idæus præ metu mente eſt perturbatâ, adeo ut facile abducatur, atque aberret ab eo, quod utile eſt, ac neceſſarium. Quod & accidit Paridi, cui, dum galeâ traheretur, atque ſuffocaretur, minimè in mentem venit uti enſe in eum, qui traheret. Hic præterea ignavum illum, & meticuloſum Idæum videtur Homerus tacitè mordere, veluti hominem ingratum, ab omnique ſenſu humanitatis alienum: quippe qui, perpulchro curru, cum ipſis nimirum equis, relicto, aufugerit, neque interfectum fratrem auſus fuerit περιβῆναι, *circumeundo protegere*. Eſt autem etiam nunc περιβῆναι, *circumire, ſeu circumeundo protegere*, cum quis ſtans ſupra cadaver, pro eo pugnat. quod & ἀμφιβῆναι, *circumcirca protegere*, dicitur, ut ſupra ſcriptum eſt. Propriè tamen hæc vox potiſſimùm uſurpatur de canibus, ac leonibus, & ſi qua alia ſunt hujuſcemodi animantia, quæ, catulos ſuos circumeuntia, pro iis propugnant.

Neque

1. φανερῶς τὸ βάλλειν ἀντὶ τοῦ ἐπιτυγχάνειν λαμβάνεται) βάλλειν, *omnino ferire*. unde τὸ βέλος, *telum*, quod πόῤῥωθεν, ideſt, longe mittitur. *Salvinus*.

2. ἐκ τοῦ μετὰ μαζὸν) Forte μεταξὺ τῶν μαζῶν. Oppianus: μεσόφρυον. *intercilium*. lib. 1. Cynegeticῶν. de equis. *Salvin.*

Etymologici Magni Auctor v. μεταμάζιον. παρῆκται δὲ παρὰ τὸ μαζὸς, καὶ τὴν μετὰ πρόθεσιν. ὥσπερ παρὰ τὸ χθονὸς, καὶ τὴν ἐπὶ, ἐπιχθόνιος· καὶ τὴν παρὰ, καὶ ποταμὸς, παραποτάμιος. Politus.

3. μεταίχμιον τὸ μεταξὺ τῶν αἰχμῶν) Etymologici Magni Auctor: μεταίχμιον σημαίνει τὸ μεταξὺ δύο τινῶν πραγμάτων ὑπάρχον. κυρίως δὲ ὁ μεταξὺ δύο στρατῶν τόπος· ἀπὸ τῆς αἰχμῆς. Politus.

4. περιβῆναι, τὸ ἐπάνω τοῦ νεκροῦ στάντα, ὑπερμαχῆσαι) Heſychius: περιβῆναι περιπατῆσαι, ὑπερασπίσαι, ὑπερμαχῆσαι. Polit.

5. ὃ καὶ ἀμφιβῆναι λέγεται) Etymologus: κυρίως ἀμφίβασις ἡ περὶ τοῦ νεκροῦ μάχη. περιβαίνουσι γὰρ τὸν νεκρὸν, ἀγωνιζόμενοι ὑπὲρ τοῦ σώματος. Politus.

Neque enim ne ipſe quidem atram mortem effugiſſet.
Sed Vulcanus eripuit, caligineque tectam ſervavit.
Ut ne ei penitus ſenex triſtis eſſet.
Equos verò abactos magnanimi Tydei filius,
Commilitonibus dedit ad cavas naves deducendos.

Οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν.
Ἀλλ' Ἥφαιστος ἔρυτο, σάωσε δὲ, νυκτὶ καλύψας,
Ὡς δή οἱ μὴ πάγχυ γέρων ἀκαχήμενος εἴη.
Ἵππους δ' ἐξελάσας μεγαθύμου Τυδέος υἱὸς,
Δῶκεν ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας.

XIII. Quod ait: Οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν. *Neque enim ne ipſe quidem atram mortem effugiſſet.* & illud: Οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱός. *Neque enim ne Dryantis quidem filius:* & quæcumque alia ſunt id genus, ſupervacuam habent unam negationem, pro conſuetudine Atticâ. Ex his autem duabus negationibus una eſt rei, quæ per verbum exprimitur; altera eſt perſonæ. adeò ut ſenſus ſit: οὐδ' ὑπεξέφυγεν ἄν, οὐδ' αὐτός. *Neque effugiſſet, ne ipſe quidem.* & omnimodam rei negationem denotant. Τὸ, θεὸς σάωσε, νυκτὶ καλύψας, *deus ſervavit, nocte tegens*, pro eo eſt, ac ſi diceret, ἀορασίᾳ κρύψας, *caligine occultans, ſeu ita occultans, ut videri non poſſet, & abſcondens ab obtutu oculorum.* ſicuti e contrario ignem Diomedi exarſiſſe dicit, cum ille conſpectus eſt, atque oſtenſus omnibus, quemadmodum antea ſcriptum eſt. Idem autem eſt dicere, νυκτὶ καλύψαι, *nocte tegere, ſeu abſcondere*, atque ἠέρι, caligine. Ambo enim occultationem ſignificant, qua quis ab aliorum conſpectu removetur, atque excluditur. Atque iſtud etiam noctis genus ſignificatur in illis verbis: ὀρώρει δ' οὐρανόθεν νύξ. *ruit autem e cælo nox.* Miſericordiam miſeri ſenis, & luctu, atque mœrore afflicti, exprimunt illa verba: Ὡς δὴ μὴ πάγχυ γέρων ἀκαχήμενος εἴη. *Ut ne penitus ſenex triſtis eſſet.* videlicet *ut ne omnino lucta, ac mœrore conficeretur.*

ιγ'. Τὸ, Οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν. καὶ τὸ, Οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱός· καὶ ὅσα τοιαῦτα, περιττὴν ἔχουσι τὴν μίαν ἀπόφασιν, κατὰ Ἀττικὴν συνήθειαν. Ἔστι δὲ τῶν δύο ἀρνήσεων ἡ μὲν μία, τοῦ ῥηματικοῦ πράγματος· ἡ ἑτέρα δὲ, τοῦ προσώπου. ἵνα λέγῃ, ὅτι οὐδὲ ὑπεξέφυγεν ἄν, οὐδὲ Rom.p.517. αὐτός. καὶ ἐνδείκνυνται τὴν παντελῆ ἄρνησιν τοῦ πράγματος. Τὸ, θεὸς σάωσε, [1] νυκτὶ καλύψας, ἀντὶ τοῦ, ἀορασίᾳ κρύψας. ὥσπερ καὶ ἐκ τοῦ ἐναντίου πῦρ ἔφη ἅπτεσθαι τοῦ Διομήδους, τὸ ὁρᾶσθαι, καὶ φαίνεσθαι πᾶσιν, ὡς προγέγραπται. Ταυτὸν δέ ἐστιν εἰπεῖν, νυκτὶ καλύψαι, καὶ ἠέρι. ἄμφω γὰρ ἀορασίαν δηλοῖ. Τοιαύτη δέ τις νὺξ δηλοῦται καὶ ἐν τῷ, ὀρώρει δ' οὐρανόθεν νύξ. Οἶκτον ἐπὶ γέροντι λυπουμένῳ φράζει τὸ, Ὡς δὴ μὴ πάγχυ γέρων ἀκαχήμενος εἴη. ἤγουν ἵνα μὴ πάντη λυποῖτο.

Poſtea verò quàm Trojani magnanimi Daretis filios viderunt,
Alterum elapſum, alterum interfectum apud currus,

Τρῶες δὲ μεγάθυμοι ἐπεὶ ἴδον υἷε Δάρητος,
Τὸν μὲν, ἀλευάμενον, τὸν δὲ, κτάμενον παρ' ὄχεσφιν,

XIV. Novum figuratæ locutionis genus illud: ἐπεὶ ἴδον υἷε Δάρητος, τὸν μὲν, ἀλευάμενον, hoc eſt, φυγόντα· τὸν δὲ, κτάμενον. *poſteaquam Daretis filios viderunt, unum elapſum, ſeu fugientem, alterum interfectum.* Conſuetudo enim loquendi ſic poſtulat: τῶν παίδων τοῦ Δάρητος τὸν μὲν, τὸν δέ. *Filiorum Daretis unum, & alterum. ſeu, de Daretis filiis hunc quidem, alterum verò.* Hæc autem cauſſa eſt figuratæ ejuſmodi locutionis. Quum Poëta a principio, tamquam in extemporali oratione, dixiſſet τοὺς υἱοὺς, *filios*, neque cum plurali hoc nomine, unde orationis ſuæ initium duxerat, unum verbum poſſet conſtruere, eo quòd ambo hi filii diverſos caſus habuiſſent (unus enim fugerat, alter mortuus fuerat) ſeparare idcirco id compellitur, quod erat ſimul conjunctum, & pluralem illum accuſativum in accuſativos duos ſingulares reſolvere. Pleraque alia loca ſimili genere locutionis figurat Poëta. Atque hæc etiam quodammodo cauſſa ſupra allata eſt, cur dixerit: Ἄμφω δ' ἑζομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς. *Ambo autem quum ſederent, auguſtior erat Ulyſſes.* Quin & ad hanc iſtam figuram de Daretis filiis conformata ſimiliter ſunt ſexcenta alia non modò apud Homerum; ſed etiam apud alios. in quibus illud etiam Sophoclis: τὼ κασιγνήτω, videlicet τοὺς κασιγνήτους, τὸν μὲν προτίσας, τὸν δ' ἀτιμάσας ἔχει. *Germanos fratres, hunc honorificè, illum contumelioſè tractat.* Comparia Poëtica, percommoda, & peropportuna Poëtæ ad narrationem hanc ſuam de fortitudine Herois illuſtrandam, atque exornandam, ſunt illa: ἀλευάμενον, *elapſum*, & κτάμενον, *interfectum.* quorum quidem alterius thema eſt ἀλέω, *vito*,

ιδ'. Καινόν τι σχῆμα τὸ, ἐπεὶ ἴδον υἷε Δάρητος, τὸν μὲν, ἀλευάμενον, ὅ ἐστι, φυγόντα· τὸν δὲ, κτάμενον. Τὸ γὰρ σύνηθες, οὕτω· τῶν παίδων τοῦ Δάρητος τὸν μὲν, τὸν δέ. Αἰτία δὲ αὕτη τοῦ τοιούτου σχήματος. Εἰπὼν ἐξ ἀρχῆς ὁ Ποιητὴς, ὡς ἐν σχεδιασμῷ, τοὺς υἱοὺς, καὶ μὴ δυνάμενος τῇ τοιαύτῃ πληθυντικῇ καταρχῇ τοῦ λόγου ἓν ῥῆμα συντάξαι, διὰ τὴν τοῦ πάθους ἀμφοῖν τῶν παίδων ἀνομοιότητα (ὁ μὲν γὰρ πέφευγεν· ὁ δὲ, τέθνηκε) διαιρεῖ ἐξ ἀνάγκης τὸ συνημμένον, καὶ λύει τὴν πληθυντικὴν αἰτιατικὴν εἰς δύο ἑνικὰς αἰτιατικάς. Σχηματίζει δὲ καὶ ἄλλα πολλὰ ὁμοίως ὁ Ποιητής. Οὕτω δέ πως πρὸ τούτου ᾐτιολόγηται καὶ τὸ, Ἄμφω δ' ἑζομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς. Ὅμοια δὲ τῷ ῥηθέντι κατὰ τοὺς υἱοὺς τοῦ Δάρητος σχήματι καὶ ἕτερα μυρία οὐ μόνον παρ' Ὁμήρῳ, ἀλλὰ καὶ ἑτέροις. ἐν οἷς καὶ Σοφοκλέους τὸ, τὼ κασιγνήτω, ἤγουν τοὺς κασιγνήτους, τὸν μὲν προτίσας, τὸν δ' ἀτιμάσας ἔχει. Πάρισα δὲ ποιητικὰ καίρια τῷ Ποιητῇ ἀγλαΐζοντι τὸν λόγον ἐπὶ τῇ τοῦ ἥρωος ἀριστείᾳ, τὸ, ἀλευάμενον, καὶ τὸ, κτάμενον. ὧν τοῦ μὲν, ἀλέω τὸ θέμα, τοῦ ἐκ πα-

1. νυκτὶ καλύψας) Iliad. α. ὁ δ' ἤϊε νυκτὶ ἐοικώς. *is nocti ſimilis ibat.* Salvinus.

ραγωγὴν μὲν,¹ τὸ ἀλεείνω γίνεται· ἐξ ἐπενθέσεως δὲ τοῦ υ, τὸ ἀλεύω. τούτου ἀόριστος ἤλευα. ὅθεν τὸ ἠλευάμην, καὶ ὁ ἀλευάμενος. τοῦ δὲ, κτάμενον, προϋπάρχει ῥῆμα κτῶ, ἀφ' οὗ δύο παράγωγα, τὸ κτείνω ῥητὸν, καὶ τὸ κτῆμι ἄρρητον· οὗ μετοχαὶ, ὁ κτὰς, ὡς ἱστὰς, καὶ ὁ κτάμενος, ὡς ἱστάμενος. Καὶ μετ' ὀλίγα δὲ ὁμοίως παρίσαι ὁ Ποιητὴς ἐν τῷ, χαζώμεθα, Διὸς δ' ἀλεώμεθα μῆνιν.

Πάντων ὀρίνθη θυμός. αὐτὰρ γλαυκῶπις Ἀθήνη,
Χειρὸς ἑλοῦσ', ἐπέεσσι προσηύδα θοῦρον Ἄρηα.

ιε'. Ἀθηνᾶ ἡ φρόνησις, χειρὸς ἑλοῦσα τὸν τοῖς Τρωσὶ βοηθοῦντα θοῦρον Ἄρηα, ἤτοι τὸ ἄλογον θράσος, ἐξάγει τῆς μάχης, ὡς ἤδη τῆς ἀλογίστου θρασύτητος ἀποσβεννυμένης κατὰ βραχὺ τοῖς Τρωσί. Συναποχωρεῖ δὲ καὶ αὐτὴ ἡ Ἀθηνᾶ, διότι οὐκέτι βουλευμάτων χρεία τοῖς ἔμφρασιν Ἕλλησιν, οὐδὲ θεωρίας βουλευτικῆς, ἀλλὰ πράξεων ῥωμαλέων, καὶ ἀνδρικῶν· συντομώτερον δὲ ἄλλως εἰπεῖν, διότι οὔτε οἱ Ἕλληνες νῦν βουλεύονται, οὔτε οἱ Τρῶες ἀλογίστως μάχονται· καὶ ὅτι οὐδὲ μέγα τι εὐθὺς γίνεται, ὡς μετὰ ταῦτα, οὐδὲ θεῶν παρουσίας δεόμενον. ἔτι δὲ καὶ ἵνα σεμνύνῃ τοὺς Ἀχαιοὺς, ὡς ἐν τῇ καταμόνας, καὶ δίχα θεῶν μάχῃ, ὑπερτεροῦντας τῶν Τρώων. ἔτι ποιεῖ Ὅμηρος τοῦτο καὶ, ἵνα μὴ τὰ λεγόμενα ἐνταῦθα, μῦθοι δόξωσι. Διὸ ἐξάγει τοὺς μυθικοὺς θεοὺς, καὶ ἐκ μέσου τίθησι. Τὸ δὲ, χειρὸς ἑλοῦσα, ἢ πέπλου, καὶ τὰ τοιαῦτα, Ἀττικὰ, ἀντὶ τοῦ, ἐκ τῆς χειρὸς, ἢ τοῦ πέπλου. ἢ καὶ τὸ ἑλεῖν, ἀντὶ τοῦ ἅψασθαι καὶ νῦν εἴληπται.

Ἄρες, Ἄρες βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα,
Οὐκ ἂν δὴ Τρῶας ἐάσαιμεν, καὶ Ἀχαιοὺς
Μάρνασθ', ὁπποτέροισι πατὴρ Ζεὺς κῦδος ² ὀρέξῃ,
Νῶι δὲ χαζώμεσθα, Διὸς δ' ἀλεώμεθα μῆνιν,

Bas. p. 392. ις'. Ἀναδιπλασιάζων ἐνταῦθα Ὅμηρος τὴν τοῦ Ἄρεος κλητικὴν ἐν τῷ, ³ Ἄρες, Ἄρες, βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα· ὅπερ ἀπαραλλάκτως που καὶ ἐν τοῖς ἑξῆς κεῖται, ἐκτείνει ἐν τῇ πρώτῃ κλήσει τὸ δίχρονον, συστέλλει δὲ ἐν τῇ δευτέρᾳ. Καὶ ὅρα, ὅπως ὁμοῦ
2. ἑτέραν κατάληψιν) l. ἑτέραν κατάληξιν. Etymologici Magni Auctor: ὁ Ἄρεος δὲ γενικὴ ἀπὸ τῆς Ἄρευς ὑπάρχει εὐθείας. ἡ γὰρ τοῦ Ἄρευς εὐθεῖας πτῶσις οὐχ εὕρηται, πλὴν ἡ Ἄρης [illegible], ὡς Δημοσθένης. καὶ τοῦτο δῆλον, ὅτι τῶν ἐγένετο ἐκ τοῦ Ἄρης Ἄρες, καὶ Ἄρεος, ὡς Δημοσθένους Δημοσθένεος; ὁμοίως καὶ Ἰωνικῶς γέγονε διὰ τοῦ η Ἄρηος, καὶ Ἀττικῶς Ἄρεως. τὰ δὲ τοιαῦτα χρῶνται ἀπὸ τῆς εἰς ευς εὐθείας κλίνεσθαι, οὐ μέντοι ἀπὸ τῆς εἰς ης κατάληξεως. οὐ γὰρ ὁ Δημοσθένης, ὁ Δημοσθένευς λέγεται. Politus.

3. μόνα) μόνον. Polit.

4. τειχεσιβλήτης δὲ, ὁ καταβάλλων τὰ τείχη) Heſychius: τειχεσιβλῆτα, τείχη καταβαλεῖν. Τειχεσιπλῆτα, προσπελάζων τοῖς τείχεσιν. Etymologici Magni Auctor: τειχεσιπλήτης, τοῖς τείχεσι προσπελάζων, πορθητά. οἱ δὲ διὰ τοῦ β' γράφουσι, ὁ τὰ τείχη καταβάλλων. Polit.

5. βροτολοιγὸς κοινότερον μὲν, ὁ ἀνδροφόνος) Heſychius: βροτολοιγὸς, ἀνθρωποκτόνος, μιαιφόνος. Etymologici Magni Auctor: βροτολοιγὸς, ἀνθρωποφθόρος· παρὰ τὸ βροτὸς, καὶ τὸ λοιγός. Suidas: βροτολοιγὸς, ὁ ὀλέθριος, ὁ τοὺς βροτοὺς ὀλοθρεύων, ὁ τοὺς βροτοὺς διαφθείρων. Polit.

ſuppares Poëtæ; eam poſtea tum Poëtæ Comici, tum Oratores non mediocriter auxerunt. Quin & de Hiſtoricis quidam alias ſimiliter voces alicubi innovarunt, ut inferiùs videbitur. Præterea verò obſerva, ut ne hoc quidem loci ad contumeliam, ſive ad injuriam poſitum eſt τὸ μιαιφόνος, *cæde inquinatus, ſeu cruentatus*. Quid enim opus erat, ſic fruſtra, neque in tempore, maledicam eſſe, ac contumelioſam Minervam? Sed ſic generatim, veluti per irriſionem ſatis modeſtam, atque urbanam, eum ſignificat, qui tinctus eſt, atque immerſus ſanguine. Eſt enim μιαίνεσθαι, *maculari, inquinari, fœdari*, idem, atque τὸ βάπτεσθαι, *tingi, atque infici*, ut ſupra etiam ſcriptum eſt. Unde alicubi poſtea μιαρὸς νεκρός, *fœdatum, inquinatumque cadaver*, ideſt, tinctum ſanguine, ſeu ſanguinolentum. Φόνος autem ſanguinem ſignificat. Ceterùm in exemplo illo Archilochi, quod proximè ante expoſitum eſt, conſiderandum, dictum eſſe ab illo μιηφόνον, *tinctum ſanguine*, quem Homerus μιαιφόνον. Ὀρέξαι, *porrigere*, hoc loci idem eſt, atque præbere, ſeu dare. Sic enim loquitur: ὁπποτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξῃ. *utris pater Juppiter gloriam porrigat*. videlicet porrectâ, ſeu protentâ det manu. Propriè enim ὀρέγειν, *porrigere*, idem eſt, ac tendere, ſeu extendere. Unde, ut antea declaratum eſt, ὀρεκτὸν δόρυ, *porrectum in longum, ſeu protenta haſta*. & ὀργυιά, *ulna*, ideſt, ſpatium ambabus manibus comprehenſum, cum eæ in latum protenduntur. Attamen τὸ ὀρέξασθαι, *porrigere*, terminatione paſſivâ, non dandi ſignificationem habet, ſed dumtaxat extendendi. Sciendum porrò eſt, locum hunc Homericum per parœdiam atque imitationem quadrare in perſonas, quæ paci, & concordiæ ſtudeant, ſiquis ita dixerit: Οὐκ ἂν δὴ τούσδε μὲν ἐάσαιμεν, καὶ τούσδε μάρνασθ', ὁπποτέροισι θεὸς κῦδος ὀρέξοι, νῶϊ δέ, hoc eſt, ἡμεῖς, χαζώμεσθα, θεοῦ δ' ἀλεώμεθα μῆνιν, hoc eſt, ἐκκλίνωμεν; *Nonne jam ſinemus, hos, & illos pugnare, utris deus gloriam dederit; nos verò cedemus, deique iram vitabimus, hoc eſt, declinabimus?* ut paullò ante dictum eſt.

ἐγγὺς αὐτοῦ Παλαιοί· ἐπηύξησαν δὲ ὕστερον Κωμικοί τε, καὶ ῥήτορες. Ἔστι δ' ὅπου καὶ τῶν συγγραφέων τινὲς καὶ ἄλλας λέξεις ὁμοίως ἐκαινοτόμησαν, ὡς ἑξῆς που φανεῖται. Σημείωσαι δὲ καὶ, ὅτι τὸ μιαιφόνος, οὐδ' ἐνταῦθα ἐπὶ ὕβρει κεῖται. τί γὰρ ἔδει μάτην οὕτω, καὶ οὐκ ἐν καιρῷ, λοίδορον εἶναι τὴν Ἀθηνᾶν; Δηλοῖ δὲ ἁπλῶς οὕτως, ὡς ἐν μετρίῳ σκώμματι, τὸν αἱμοβαφῆ. Ἔστι γὰρ μιαίνεσθαι μέν, τὸ βάπτεσθαι, ὡς καὶ προγέγραπται. ἀφ' οὗ καὶ μιαρός που νεκρὸς ἐν τοῖς ἑξῆς, ὁ αἱμοβαφής. Φόνος δὲ τὸ αἷμα. Ἐνθυμητέον δὲ καὶ, ὡς ἐν τῇ προσεχῶς ἐκτεθείσῃ χρήσει τοῦ Ἀρχιλόχου τὸν παρ' Ὁμήρῳ μιαιφόνον, μιηφόνον ἐκεῖνος ἔφη. Ὀρέξαι καὶ ἐνταῦθα, τὸ δοῦναι. Φησὶ γάρ· ὁπποτέροισι πατὴρ Ζεὺς κῦδος [1] ὀρέξῃ. ἤγουν ἐκτείνας τὴν χεῖρα, δώσῃ. Κυρίως γὰρ ὀρέγειν, τὸ ἐκτείνειν. ὅθεν καὶ ὀρεκτόν, ὡς προεδηλώθη, δόρυ. καὶ [2] ὀργυιὸς ἡ εἰς πλάτος ἔκτασις ἀμφοῖν ταῖν χεροῖν. [3] Τὸ μέντοι ὀρέξασθαι παθητικῶς, οὐ δόσιν, ἀλλὰ μόνην ἔκτασιν δηλοῖ. Ἰστέον δέ, ὅτι τὸν ἐνταῦθα Ὁμηρικὸν τόπον ἐπὶ προσώποις εἰρηνικοῖς παρῳδήσας, ἐρεῖ τις οὕτω· Οὐκ ἂν δὴ τούσδε μὲν ἐάσαιμεν, καὶ τούσδε μάρνασθ', ὁπποτέροισι θεὸς κῦδος ὀρέξοι, νῶϊ δέ, τουτέστιν, ἡμεῖς, χαζώμεσθα, θεοῦ δ' ἀλεώμεθα μῆνιν, ὅ ἐστιν, [4] ἐκκλίνωμεν; ὡς πρὸ βραχέων εἴρηται.

Rom. p. 519.

Sic fata, e prælio atrocem Martem eduxit,
Eumque poſtea ſedere fecit in ripis Scamandri.
Trojanos in fugam verterunt Danai; virumque occidit quiſque
Ductorum. Primus rex virorum Agamemnon
Ducem Halizonorum Odium magnum e curru dejecit.
Primo enim in fugam verſo haſtam in tergum infixit
Humerorum in medio, & per pectora trajecit.
Sonuit ille cadens, armaque ſuper ipſo ſtrepuerunt.

Ὣς εἰποῦσα, μάχης ἐξήγαγε θοῦρον Ἄρηα·
Τὸν μὲν ἔπειτα καθεῖσεν ἐπ' ἠϊόεντι Σκαμάνδρῳ.
Τρῶας δ' ἔκλιναν Δαναοί· ἕλε δ' ἄνδρα ἕκαστος
Ἡγεμόνων. πρῶτος δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Ἀρχὸν Ἁλιζώνων Ὀδίον μέγαν ἔκβαλε δίφρου.
Πρώτῳ γὰρ στρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
Ὤμων μεσσηγύς· διὰ δὲ στήθεσφιν ἔλασσε.
Δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.

Baſ. p. 393.

XIX. Pugnam, quæ ratione, ac conſilio conſtet, ut & ſupra expoſitum eſt, illud declarat, quòd Minerva fureotem Martem e pugnâ eduxit. Ubi liquidò apparet, diverſum eſſe Martem a pugnâ. Atque hîc Scamandrum vocat ἠϊόεντα, *littoroſum*, propter ripas circa eum, ut ſolet, poſitas in modum littoris. adeo ut facta ſit ea vox per ſyncopen ex ἠϊονόεις, *littoroſus*. ἠϊόνες enim, littora. Quamquam etiam ἀπὸ τοῦ ἴον, *a violâ*, flore,

ιθ'. Μάχην ἔλλογον δηλοῖ, ὡς καὶ προεδηλώθη, τὸ ἡ Ἀθηνᾶ μάχης ἐξήγαγε θοῦρον Ἄρηα. Ἔνθα φανερῶς ἑτεροῖον [5] παρὰ τὴν μάχην ὁ Ἄρης ἐστίν. Ἐνταῦθα δὲ καὶ τὸν Σκάμανδρον [6] ἠϊόεντα λέγει διὰ τὰ περὶ αὐτόν, ὡς εἰκός, ὀχθώδη, αἰγιαλοῦ δίκην. [7] ἵνα ᾖ συγκοπεὶς ἐκ τοῦ ἠϊονόεις. ἠϊόνες γὰρ αἱ αἰγιαλοί. [8] Δύναται δὲ καὶ ἀπὸ ἄνθους τοῦ ἴου εἶναι, πλεο-

1. ὀρέξῃ. ἤγουν ἐκτείνας τὴν χεῖρα, δώσῃ) Suidas: ὀρέξαι, ἐκτεῖναι. δοῦναι, ἐκτεῖναι. Heſychius: ὀρέξαι. δοῦναι, ἐκτεῖναι. Ὀρέξαι, παρασχεῖν, δοῦναι. Ὀρέξαι, ὁρμήσας. Polit.
2. ὀργυιὸς) Alii ὀργυιά. Heſychius: ὀργυιά, ἡ τῶν ἀμφοτέρων χειρῶν ἔκτασις. Etymologici Magni Auctor: ὀργυιὰ σημαίνει τὴν ἔκτασιν τῶν χειρῶν, σὺν τῷ πλάτει τοῦ στήθους· παρὰ τὸ ὀρέγω, τὸ ἐκτείνω τὰ γυῖα, ὅ ἐστι, τὰς χεῖρας. Polit.
3. Τὸ μέντοι ὀρέξασθαι παθητικῶς, οὐ δόσιν, ἀλλὰ μόνην ἔκτασιν δηλοῖ) Heſychius: ὀρεξάμενος, ἐκτείνας. ὀρέξας, δούς, ἐκτείνας. Polit.
4. ἐκκλίνωμεν) Malim, ἐκκλίνομεν. Polit.
5. περὶ τὴν μάχην) l. παρὰ τὴν μάχην. Polit.
6. ἠϊόεντα λέγει διὰ τὰ περὶ αὐτόν, ὡς εἰκός, ὀχθώδη, αἰγιαλοῦ δίκην) Heſychius: ἠϊόεντι, ἠϊόνας ἔχοντι. Suidas: ἠϊόεντι, καλὸν αἰγιαλὸν ἔχοντι. ἠϊών, ὁ αἰγιαλώδης. Etymologici Magni Auctor: ἠϊόεις, ὁ καλὰς ἠϊόνας ἔχων. εἶτα, ἐπὶ ἠϊόεντι Σκαμάνδρῳ. τουτέστιν, ἐπὶ τῷ αἰγιαλῷ, καὶ ὄχθας ἔχοντι ποταμῷ. Politus.
7. ἵνα ᾖ συγκοπεὶς ἐκ τοῦ ἠϊονόεις) Etymologici Magni Auctor: παρὰ τὴν ἠϊόνα γενικὸς γίνεται ἠϊονόεις· καὶ κατὰ συγκοπήν, ἠϊόεις. Politus.
8. Δύναται δὲ καὶ ἀπὸ ἄνθους τοῦ ἴου εἶναι, πλεονασμῷ τοῦ ἠ) Etymologici Magni Auctor: παρὰ τὸ ἴον γίνεται ἰόεις· καὶ πλεονασμῷ τοῦ ἠ, ὡς ἔδνα ἔεδνα, γίνεται ἠϊόεις, ὁ ἴα ἔχων Σκάμανδρος. ἀρμόζει γὰρ ἐπὶ ποταμοῦ. Pro diverſitate igitur ſignificationis concludit Etymologus, aut ſyncopen hic eſſe, aut pleonaſmum. Politus.

πλεονασμῷ τοῦ ἠ, ἠΐόνες, οἱονεὶ ὁ ἀνθηρὸς, διὰ τὸν προῤῥηθέντα ἐκεῖσε ἀνθεμόεντα λειμῶνα. Ὅτε Τρῶας ἔκλιναν Δαναοὶ, ἕλε δ' ἄνδρα ἕκαστος ἡγεμόνων, πρῶτος ὁ Ἀγαμέμνων ἔξ-έβαλε, τουτέστιν, ἐξέῤῥιψέ τινα τοῦ δίφρου Ὀδίον, ἀρχὸν Ἀλιζώνων. Πρώτῳ γὰρ στραφθέντι [1] μεταφρένῳ ἐν δόρυ πῆξε. Καὶ σημείωσαι, ὅτι πρῶτος ὁ βασιλεὺς ἀνδραγαθεῖ ἐνταῦθα, καὶ ὅτι τὸν πρῶτον στρεφθέντα εἰς φυγὴν, ὡς λιποτάκτην, μισῶν Ὅμηρος, οὐκ ἐᾷ διεκσωθῆναι. Ὅρα δὲ καὶ, ὅπως ὁ τὰ νῶτα δείξας, ἀβοήθητός ἐστιν, ὡς ἤδη κείμενος. Διὸ καὶ ὁ Νέστωρ τῷ Διομήδῃ κειμένῳ που φησίν· [2] Ἔγρεο, μή τις τοι καθεύδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ. Ἰστέον δὲ καὶ, ὅτι τὸ μὲν ἐμπαγῆναι τὸ δόρυ τοῖς στήθει, καὶ διεκπεσεῖν εἰς ὤμους, καὶ μετάφρενα, οὐ μωμητὸν ἦν, ὡς πολλαχοῦ φαίνεται· τὸ δὲ ἀνάπαλιν, ἀγεννὲς ἦν. Καὶ ὅτι [3] τὸ Ὀδίος παροξύνεται, ὡς τρίβραχυ κύριον, [4] κατὰ κανόνα, ὃς ἤδη γνωσθεὶς, ὅμως που καὶ μετὰ τοῦτο γραφήσεται. [5] Ἀλιζῶνας δὲ, [6] οἱ μὲν τοὺς Παφλαγόνας φασί· [7] οἱ δὲ τοὺς περὶ τὴν ἀγκάλην τοῦ Πόντου τὴν μεταξὺ Τραπεζοῦντος, καὶ Παφλαγονίας, παρὰ τὸ τῇ ἁλὶ ζώννυσθαι, ἤγουν περιέχεσθαι. [8] Ἄλλοι δὲ θέλουσι, περὶ τὴν Καρικὴν αὐτοὺς κεῖσθαι θάλασσαν. [9] Τολμῶσι δέ τινες καὶ ἔθνος αὐτοὺς καλεῖν Θρακικόν. Εἴρηται δὲ περὶ αὐτῶν πλατύτερον ἐν τῇ Βοιωτίᾳ, καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. Σημείωσαι δὲ καὶ, ὅτι φιλεῖ Ὅμηρος στρεφθέντα λέγειν, οὐ

flore, per pleonaſmum τοῦ ἠ, poſſit eſſe ἠΐόνες, *vinlaceus*, tamquam floridus, ob floridum illic pratum, quod dictum eſt ſupra. Cum Trojanos Danai in fugam verterunt, & ducum quiſque hominem interfecit, primus Agamemnon Odium quemdam, Halizonorum ducem, e curru ἐξέβαλεν, hoc eſt, ἐξέῤῥιψε, *dejecit, ac deturbavit*. Primo enim in fugam verſo haſtam in tergum infixit. Et obſerva, ut primus rex hoc loci fortiter agit; itemque ut primum in fugam converſum, tamquam ordinis deſertorem, odio habet Homerus, neque eum ſinit ſalvum, atque incolumem evadere. Vide etiam, ut qui terga oſtendit, deploratæ eſt ſalutis, ac ſi ſtratus jam jaceret. Ideoque jacentem Diomedem Neſtor alicubi jubet e ſomno ſurgere, ut nequis ei obdormiſcenti haſtam in pectus infigat. Ad hæc ſciendum, vitio illud minimè datum fuiſſe, quòd uni alicui haſta in pectus infigeretur, eaque per humeros, & terga excideret, ut multis paſſim in locis fit manifeſtum; ſed, quòd averſo pectore vulnera acciperentur, dedecori id, & ignominiæ habitum. Deinde τὸ Ὀδίος, *Odius*, acutâ eſt penultimâ, tamquam nomen proprium trium brevium ſyllabarum, ſecundùm regulam, quæ, licet nota jam ſit, atque perſpecta; tamen alicubi etiam poſtea deſcribetur. Porrò autem Ἀλιζῶνας, *Halizonos*, alii Paphlagonas intelligunt, alii eos, qui Ponti ſinum incolunt, medium inter Trapezuntem, & Paphlagoniam, παρὰ τὸ τῇ ἁλὶ ζώννυσθαι, ſive περιέχεσθαι, *ex eo quòd mari cingantur, ſive ambiantur*. Alii volunt eos ſitos eſſe ad mare Caricum. Nonnulli etiam vocare eos audent gentem Thracicam. Sed de iis fuſiùs dictum eſt in Bœotiâ, & in commentariis ad Dionyſium Periegetam. Præterea obſerva, ut amat Homerus dicere στρεφθέντα, *verſum in*

1. μεταφρένῳ ἐν δόρυ πῆξεν) hoc ad obſcenum ſenſum detorſit Diogenes Cynicus. Laertius in ejus Vitâ. *Salvinus*.

2. Ἔγρεο, μή τις τοι καθεύδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ) Neſtor ad Diomedem κείμενον, καὶ καθεύδοντα·

Ἔγρεο, Τυδέος υἱέ· τί πάννυχον ὕπνον ἀωτεῖς;

Alibi Diomedes ad Ulyſſem fugientem:

Πῇ φεύγεις, μετὰ νῶτα βαλὼν, κακὸς ὣς, ἐν ὁμίλῳ;
Μή τις τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ.

Ex locorum ſimilitudine ἁμάρτημα μνημονικὸν paſſus eſt hic Euſtathius. *Politus*.

3. τὸ Ὀδίος παροξύνεται, ὡς τρίβραχυ κύριον) Etymologici Magni Auctor: Ὀδίος, ἀπὸ τέλους ἡ ὀξεῖα, ὅτι κύριόν ἐστι. τὸ δὲ προσηγορικὸν ὅδιος, ὡς σκότιος. Apparet, Etymologum legiſſe Ὅδιος cum adſpiratione. *Politus*.

4. κατὰ κανόνα) Regula apud Etymologum: τὰ εἰς ος λήγοντα τρίβραχυ, ἐπὶ κυρίου παροξύνεται· οἷον Σχέδιος, Χρόμιος, Κλύτιος, Ὀδίος, Δόλιος. *Politus*.

5. Ἀλιζῶνας) Euſtathius ad Bœotiam: Εὐθὺς δὲ αὐτῷ [illegible], ὁ Ἀλίζωνος. Idem & Ἀλιζῶνες. Euſtathius ad Periegetam: οἱ παρὰ τῷ Ποιητῇ Ἀλίζωνοι, ἢ Ἀλιζῶνες. *Politus*.

6. οἱ μὲν τοὺς Παφλαγόνας φασί) Hinc ego corrigebam illud Etymologi v. Ἀλιζῶνες. οἱ δὲ, ἔθνος Θρακικόν, ἢ τῶν πολυφάγων. Ubi pro πολυφάγων legendum ſuſpicabar, Παφλαγόνων· tametſi minimè me fugerent Polyphagi, quorum meminit Strabo. Heſychius: Ἀλιζῶνες, ἔθνος Παφλαγονίας. *Politus*.

7. οἱ δὲ τοὺς περὶ τὴν ἀγκάλην τοῦ Πόντου τὴν μεταξὺ Τραπεζοῦντος, καὶ Παφλαγονίας) Eoſdem, quos putat Geographus, Chalybas videlicet antiquitus appellatos, καθ' ὃς μάλιστα ἡ Φαρνακία ἵδρυται. Hos igitur putat Geographus λέγειν τὸν Ποιητὴν Ἀλιζῶνας ἐν τῷ μετὰ τοὺς Παφλαγόνας καταλόγῳ. Et hanc Geographi ſententiam refert Euſtathius ad Periegetam: οἱ δέ φασιν, ὅτι αὐτοί εἰσιν οἱ παρὰ τῷ Ποιητῇ Ἀλίζωνοι, ἢ Ἀλιζῶνες. ὧν ἦρχεν Ὀδίος, καὶ Ἐπίστροφος, ὧν καὶ ἡ παραλία μέταλλα ἔχει πολλά, ὡς καὶ Ὅμηρος δοκεῖ, ἔνθα ὑπεμφαίνει καὶ Ἀλύβας εἶναι αὐτούς, λέγων· Τηλόθεν ἐξ Ἀλύβης, ἢ, Τηλόθεν ἐξ Ἀλύβων, ὅθεν ἀργύρου ἐστὶ γενέθλη. Apollodorum Athenienſem, qui exiſtimabat, nulla de populis extra Halyn fluvium poſitis auxilia Trojanis veniſſe, atque adeò Halizonos minimè accipiendos eſſe extra Halyn, fortiter refutat Geographus, his verbis: οὐ γὰρ εἰκὸς ἐκεῖθεν ἀφῖχθαι τοὺς Ἀλιζῶνας ἐκτὸς τοῦ Ἅλυος, [illegible] τὴν συμμαχίαν ἀφῖχθαι τοῖς Τρωσὶν [illegible] Ἅλυος. Πρῶτον τοίνυν ἀνακτήσομεν αὐτόν, τίνες εἰσὶν οἱ Ἀλιζῶνες, καὶ

Τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη.

Οὐ γὰρ ἔχει λέγειν. Ἔπειτα τὴν αἰτίαν, δι' ἣν ὁ συγχωρεῖ τῆς περαίας ἀφῖχθαί τινα συμμαχίαν. Καὶ γὰρ εἰ τὰς [illegible] εἶναι τοῦ ποταμοῦ πάσας συμβαίνει, πλὴν [illegible] Θρᾳκῶν [illegible] ταύτην οὐδὲ ἐκείνους πέραθεν ἀφῖχθαι ἐκ τῆς ὑπεραιας [illegible] αὐτοῦ. Hos autem, qui erant ultra Halyn ad Pontum Euxinum, vocatos ajunt Halizonos, διὰ τὸ γῆν οἰκεῖν ὑπὸ θαλάσσας ἐζωσμένην. Attamen alii ab eadem etymologiâ, nimirum παρὰ τὸ τῇ ἁλὶ ζώννυσθαι, Halizonos, Bithynos intelligunt. Ariſtoteles apud Euſtathium: Οὓς Ὅμηρος ἐν τοῖς [illegible] Ἀλιζῶνας, Βιθυνοί εἰσιν, ὧν Ὀδίος, καὶ Ἐπίστροφος [illegible] ἐξ Ἀλύβης, ἐν ᾗ λέγει ἀργύρου γενέθλην εἶναι, παραδίδωσιν [illegible] ἀμυδρὰ ὑπόμνησις, ἀργυρίων ἔργα ὑπολελειμμένων [illegible] λιζῶνες δὲ οἱ ἄνθρωποι αὐτοί, φησι, καλοῦνται, ὅτι [illegible] θαλάσσῃ περιέχονται· ἀπὸ μὲν ἄρκτου, καὶ ἀνατολῆς, [illegible] Πόντῳ· πρὸς μεσημβρίαν δὲ, καὶ νότον, τῷ Ἀστακηνῷ [illegible] πρὸς Νικομήδειαν· πρὸς δὲ δύσιν, καὶ ζέφυρον, τῇ Προποντίδι, καὶ τῷ Βοσπόρῳ· ὡς μὴ πόῤῥω χεῤῥόνησον εἶναι τοὺς πολλοὺς [illegible] δικαιότατα λέγεσθαι ἁλιζώννυσθαι θαλάσσῃ. Plinius de Bithynis: *Hos Homerus Halizonas dixit, quando præcingitur gens mari*. *Politus*.

8. Ἄλλοι δὲ θέλουσι, περὶ τὴν Καρικὴν αὐτοὺς κεῖσθαι θάλασσαν) Stephanus: Ἔφορος οἰκῆσαί φησι τοὺς Ἀλιζῶνας τὴν μεταξὺ Μυσίας, καὶ Καρίας, καὶ Λυδίας παραλίαν. Verùm jam antea monuimus, Ephorum non Ἀλιζῶνας in Homero legiſſe, ſed Ἀμαζόνας, earumque Amazonum ſedem inter Myſiam, Cariam, & Lydiam collocaſſe. *Politus*.

9. Τολμῶσι δέ τινες καὶ ἔθνος αὐτοὺς καλεῖν Θρακικόν) Vetus Scholiaſtes Homeri: Ἀλιζώνων, ἔθνος Θρᾳκῶν. Ἄλλοι δὲ φασιν, αὐτὸ ἐν ὅσοις [illegible] περὶ τὴν Καρικὴν θάλασσαν οἰκεῖν ἐθνῶν. *Politus*.

in fugam, & non τραπέντα. Sicuti etiam Euripides θρεφθῆναι, *nutriri, ſive educari*, dixit pro τραφῆναι. Aſperitatem enim vocis tempeſtivam docti, & litterati viri longè præferunt mollitiei vocis minùs tempeſtivæ, ut palam facit quod eſt apud Dionem, βρεχθῆναι τὴν γῆν, pro βραχῆναι, *madefieri terram, atque irrigari*, & apud Herodotum τὸ θαφθῆσι, pro ταφῆσι, *ſepultis*; & χλανιδίων ἔσω κρυφθεὶς, *intra penulas abditus*, apud Euripidem; & βλαφθεὶς, *læſus*, apud Poëtam, pro βλαβείς. Poëta ut explicet, quale ipſe dicat μετάφρενον, *interſcapilium, ſeu tergum, aut dorſum*, manifeſtam, ac perſpicuam hanc notam ſubjicit, ſcilicet medium illud eſſe inter ſcapulas, ſive humeros, atque e pectoris regione. Sic enim habet: μεταφρένῳ ἐν δόρυ πῆξεν ὤμων μεσσηγύς· διὰ δὲ στήθεσφιν ἔλασσε. *Tergo haſtam infixit humerorum in media, & per pectora trajecit*. Et rurſus paullò poſt: μετάφρενον οὖτασε δουρὶ ὤμων μεσσηγύς. *Tergum haſtâ vulneravit in media humerorum*. ac deinceps ſimiliter. Non æquè aſperum ſonum habet ὁ δοῦπος, *ſonitus*, atque ὁ ἄραβος, *ſtrepitus*, ut patet ex Poëtâ, cum ait: Δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχεα ἐπ᾽ αὐτῷ. *Sonuit autem cadens, armaque ſuper ipſa ſtrepuerunt*, quaſi ſcilicet corpore τὸν δοῦπον, *ſonitum*; armis τὸν ἄραβον, *ſtrepitum*, dederit.

Idomeneus porro Phæſtum interficit Mæonis filium
Bori, qui ex Tarnâ admodum glebosâ venerat.
Hunc Idomeneus bello inclytus longâ haſtâ
Confodit in currum jam conſcenſurum ad dextrum humerum,
Decidit igitur ex curru, horribileſque eum tenebræ occuparunt;
Eique famuli Idomenei ſpolia detraxerunt.

XX. Φαιστός, *Phæſtus*, voce oxytonâ, urbs Cretæ. At verò Φαῖστος, *Phæſtus*, voce barytonâ, nomen proprium viri, quem Idomeneus interficit. Ubi etiam vide, quàm lepidè Poëta ſub Cretenſi hoc rege ſtratum facit hominem, qui ex Cretâ quodammodo nomen habeat. Quippe hic Phæſtus, qui venerat ex Tarne, ut ait, admodum glebosâ, ſimiliter nominatur, atque Phæſtus, urbs Cretica. Tarne autem, urbs eſt Mæonum, ſeu Lydorum, ſocia, & auxiliaris Trojanorum. Sed & urbem Achaiæ Tarnen memorat ſcriptor Ethnicorum. Facta eſt Tarnes mentio in Bœotiâ. Νύξαι dicit pungere, ſeu vulnerare, ac confodere. Dicit enim: ἔγχει μακρῷ νύξε ἵππων ἐπιβησόμενον. *longâ haſtâ pupugit, ſeu confodit, jam in currum conſcenſurum*. Hic etiam, ut patet, virili genere uſurpatur ὁ σκότος, *tenebræ*, in his verbis: στυγερὸς δ᾽ ἄρα μιν σκότος εἷλεν. *horrendæque eum tenebræ occuparunt*. Ubi mortem ſignificat. Quocirca inferiùs ſic ait: θάνατος δέ μιν ἀμφεκάλυψε. *Mors autem eum circumtexit*. & rurſus: τὸν δὲ κατ᾽ ὄσσε ἔλλαβε πορφύρεος θάνατος. *Hujus autem oculos occupavit purpurea mors*. Verumtamen, ubi caliginem, ſeu tenebroſum aërem ſignificat, id ut plurimùm quidem veteres virili genere proferunt: tametſi etiam ali-

οὐ μὴν στραφέντα, ὡς καὶ Εὐριπίδης, [1] θρεφθῆναι εἶπεν, ἀντὶ τοῦ τραφῆναι. [2] Προτιμῶνται γὰρ οἱ σοφοὶ τὴν καίριον τραχυφωνίαν τῆς ἀκαίρου λειότητος, ὡς δηλοῖ καὶ τὸ βρεχθῆναι τὴν γῆν παρὰ Δίωνι, ἀντὶ τοῦ βραχῆναι, καὶ τὸ θαφθῆσι παρ᾽ Ἡροδότῳ, ἀντὶ τοῦ ταφῆσι, καὶ χλανιδίων ἔσω κρυφθεὶς παρ᾽ Εὐριπίδῃ, καὶ βλαφθεὶς παρὰ τῷ Ποιητῇ, ἀντὶ τοῦ βλαβείς. Διασαφῶν ὁ Ποιητὴς, ποῖον λέγει μετάφρενον, ἐπάγει γνώρισμα σαφὲς, [3] ὅτι τὸ μεταξὺ μὲν τῶν ὤμων, ἀντικρὺ δὲ τοῦ στήθους. Φησὶ γάρ· μεταφρένῳ ἐν δόρυ πῆξεν ὤμων μεσσηγύς· διὰ δὲ στήθεσφιν ἔλασσε. καὶ πάλιν μετ᾽ ὀλίγα· μετάφρενον οὖτασε δουρὶ ὤμων μεσσηγύς. καὶ ἑξῆς ὁμοίως. Οὐχ οὕτω τραχὺν ἦχον ὁ δοῦπος ἔχει, ὡς ὁ ἄραβος, καθὰ δηλοῖ καὶ ὁ Ποιητὴς εἰπών· Δούπησε δὲ πεσὼν, ἀράβησε δὲ τεύχεα ἐπ᾽ αὐτῷ. τῷ μὲν σώματι δοὺς τὸν δοῦπον, τοῖς ὅπλοις δὲ τὸν ἄραβον. Rom. p.520.

Ἰδομενεὺς δ᾽ ἄρα Φαῖστον ἐνήρατο [4] Μῄονος υἱὸν
Βώρου, ὃς ἐκ Τάρνης ἐριβώλακος εἰληλούθει.
Τὸν μὲν ἄρ᾽ Ἰδομενεὺς δουρικλυτὸς ἔγχεϊ μακρῷ
Νύξ᾽ ἵππων ἐπιβησόμενον κατὰ δεξιὸν ὦμον.
Ἤριπε δ᾽ ἐξ ὀχέων, στυγερὸς δ᾽ ἄρα μιν σκότος εἷλε·
Τὸν μὲν ἄρ᾽ Ἰδομενῆος ἐσύλευον θεράποντες.

κ΄. [5] Φαιστὸς μὲν, ὀξυτόνως, πόλις Κρήτης· Φαῖστος δὲ, βαρυτόνως, κύριον ὄνομα, ὃν Ἰδομενεὺς ἀναιρεῖ. Ἔνθα καὶ ὅρα, ὅπως ἀστείως ὁ Ποιητὴς τῷ τῆς Κρήτης βασιλεῖ ἄνδρα ὑποκλίνει, ἐκεῖθέν πως τὸ ὄνομα ἔχοντα. Ὁ γὰρ Φαῖστος οὗτος ὁ ἐκ Τάρνης, φησὶν, ἐριβώλακος, τῇ Φαιστῷ παραλαλεῖται πόλει Κρητικῇ. [6] Τάρνη δὲ Μῃόνων, ἤτοι Λυδῶν, πόλις, ἐπίκουρος Τρώων. [7] Ὁ δὲ γράφων τὰ Ἐθνικὰ, καὶ πόλιν Ἀχαΐας Τάρνην φησί. Γέγονε δέ τις μνήμη Τάρνης καὶ ἐν Βοιωτίᾳ. Τὸ κεντῆσαι, ἤτοι τρῶσαι, νύξαι λέγει. Φησὶ γάρ· ἔγχει μακρῷ ἔνυξεν ἵππων ἐπιβησόμενον. Φανερῶς καὶ ἐνταῦθα κεῖται [8] ὁ σκότος ἀρσενικῶς ἐν τῷ, [9] στυγερὸς δ᾽ ἄρα μιν σκότος εἷλε. Λέγει δὲ τὸν θάνατον. Διὸ παρακατιὼν φησί· θάνατος δέ μιν ἀμφεκάλυψε. καὶ πάλιν· τὸν δὲ κατ᾽ ὄσσε ἔλλαβε πορφύρεος θάνατος. Τὸ μὲν δὲ ἐπὶ τοῦ ἀέρος, καὶ αὐτὸ τὰ μὲν πολλὰ οἱ παλαιοὶ ἀρσενικῶς προάγουσι· ἔστι δὲ ὅτε καὶ

καὶ

1. θρεφθῆναι εἶπεν, ἀντὶ τοῦ τραφῆναι) Heſychius: θρεφθῆναι, τραφῆναι. Politus.

2. Προτιμῶνται γὰρ οἱ σοφοὶ τὴν καίριον τραχυφωνίαν τῆς ἀκαίρου λειότητος) Non dulcitudo, & ſuavitas, unicum eſt, ut aliqui non rectè putant, poetices ornamentum, ſed γοργότης, *torvitas*, nonnumquam juvat. Hic, quoniam agitur de fugâ, quæ turpis, & ignominioſa res eſt, durior & horridior forma dicendi molliori & ſuaviori præferenda eſt. Id Virgilius præcipuè obſervavit multis in locis. *Salvinus*.

3. ὅτι τὸ μεταξὺ μὲν τῶν ὤμων, ἀντικρὺ δὲ τοῦ στήθους) Etymologici Magni Auctor: μετάφρενον, τὰ νῶτα, ὅτι ἐξόπισθεν τῶν φρενῶν κεῖται. φρένες δὲ, ὁ μῦς ὁ μεταξὺ τῆς καρδίας, καὶ τοῦ ἥπατος. Rufus Epheſius De Partib. Hom. μετάφρενον δὲ τὸ μεταξὺ τοῦ νώτου, καὶ ὀσφύος κατὰ τὴν τῶν φρενῶν κείμενον. Polit.

4. Μῄονος υἱὸν) Strabo pro Μῄονος legebat τέκτονος. Polit.

5. Φαιστὸς μὲν, ὀξυτόνως, πόλις Κρήτης) Stephanus: Φαιστός, πόλις Κρήτης, ὀξυτόνως. Τὸ γὰρ βαρύτονον, κύριον. Politus.

6. Τάρνη δὲ Μῃόνων, ἤτοι Λυδῶν, πόλις) Euſtathius ad Bœotiam ex Strabone: Λυδῶν γὰρ, φασιν, ἡ Τάρνη. ὅθεν οἱ Φαῖστος υἱὸς Βώρου, ὃν ἐν Ἰλιάδι ἀναιρεῖ Ἰδομενεύς. Strabo: οὐδὲ γὰρ μὴν δείκνυται Τάρνη παρὰ Βοιωτοῖς. ἐν δὲ Λυδοῖς ἐστιν. Urbs Lydiæ Τάρνη, eadem, quæ Ἀτάρνα, & Ἀταρνεύς, ut oſtendimus ad Bœotiam p. 759. *Politus*.

7. Ὁ δὲ γράφων τὰ Ἐθνικὰ, καὶ πόλιν Ἀχαΐας Τάρνην φησί) Stephanus: Τάρνη, πόλις Ἀχαΐας. Politus.

8. ὁ σκότος ἀρσενικῶς) Suidas: σκότος ἀρσενικῶς. Ἀλκαῖος· Καὶ διὰ πάσας ἡμέρας σκότος ἦν βαθύτατος. Politus.

9. στυγερὸς δ᾽ ἄρα μιν σκότος εἷλε) Virg.
in æternam clauduntur lumina noctem.
V. Theocritum in fine Herculis Leonicidæ. *Salvinus*.

Digitized by Google

κατὰ γένος οὐδέτερον. Ἐνταῦθα δὲ καὶ τὸ σκυλεύειν, συλεύειν φησὶ, [1] διότι καὶ τὰ σκῦλα, σῦλα λέγεται. ὅθεν καὶ τὸ συλαγωγεῖν. Προσφυῶς δὲ τὸ ἐν ἅδῃ σκότον στυγερὸν ἔφη, [2] παρὰ τὴν ἐκεῖσε Στύγα.

Bas. p. 394. Υἱὸν δὲ Στροφίοιο Σκαμάνδριον, αἵμονα θήρης,
Ἀτρείδης Μενέλαος ἕλ' ἔγχεϊ ὀξυόεντι,
Ἐσθλὸν θηρητῆρα. δίδαξε γὰρ Ἄρτεμις αὐτὴ
Βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεσιν ὕλη.

κα΄. Σκαμάνδριόν τινα λέγει ὑπὸ Μενελάου πεσεῖν, [3] θήρης αἵμονα, ἤγουν ἐπιστήμονα, ἐσθλὸν θηρητῆρα, ἐκηβολίαις κεκασμένον, ὃν ἐδίδαξεν Ἄρτεμις αὐτὴ βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεσιν ὕλη. Ἔπαινοι δὲ ταῦτα κυνηγοῦ. Ὅτι δὲ κυνηγετικὴ ἡ Ἄρτεμις, πολλαχοῦ ὁ μῦθός φησιν. Ὥσπερ δὲ τὸν ἄριστον χαλκεύειν ὁ Ἥφαιστος λέγεται διδάξαι, καὶ τοῦ τοξότη διδάσκαλος ὁ Ἀπόλλων, καὶ ὁ δεξιὸς δὲ κλέπτειν Ἑρμοῦ πλάττεται μαθητὴς, [4] Ἀθηνᾶς δὲ ὁ τέκτων, ὡς μετ' ὀλίγα ὁ Φέρεκλος, οὕτω καὶ τὸν κυνηγετικὸν Σκαμάνδριον ἡ Ἄρτεμις, ὡς θηρατικὴ, διδάξαι τὴν θήραν λέγεται, οὐ διά τινος μεθοδεύοντος, ἢ ἐνεργοῦντος τὰ ἐκείνης, ἀλλ' αὐτὴ ἐκείνη ὃ δὴ κατ' ἐξοχὴν ῥηθὲν, τεχνικώτατον, ὡς θυμόσοφον, ἢ θεόσοφον εἶναι τὸν Σκαμάνδριον ὑποδηλοῖ. Οὕτω καὶ Φέρεκλος μετ' ὀλίγιστα, φιλητὸς φανεῖται τῇ Ἀθηνᾷ, ὡς ἀγαθὸς ναυπηγός. Ἰστέον δὲ, ὅτι τὸ ἐσθλὸν θηρητῆρα, ἐξερμηνευτικόν ἐστι τοῦ αἵμονα θήρης. ὥσπερ καὶ τὸ, Ἄρτεμις αὐτὸν ἐδίδαξεν. Ἔστι δὲ αἵμων, [5] οἱονεὶ δαίμων, ἤτοι δαήμων, τουτέστι, μεμαθηκώς. οὗ τὸ ἐναντίον, ἀδαήμων. οἷον· μάχης ἀδαήμονι φωτί. [6] Ἡ δὲ Τραγῳδία ἔχει καὶ κύριον ὄνομα, Αἵμονα. Τὸ δὲ, ἃ τρέφει οὔρεσιν ὕλη, φιλοσόφως πρόσκειται. Ἄγρια μὲν γὰρ φύσει πάντα τὰ ἄλογα· ὧν διαστέλλεται τῷ ἡμέρῳ ὁ ἄνθρωπος. κυνηγὸς δὲ, οὐχ ὁ πᾶν ἁπλῶς ἄγριον βάλλων, ἀλλ' ὁ τὰ ἐν ὄρεσι. Τὰ κατοικίδια γὰρ ἄγρια, ἢ τὰ περιειργμένα, καὶ ὁ τυχὼν ἂν βάλλοι. Σημείωσαι δὲ καὶ, ὡς [7] τὸ μὲν ἑκηβόλος, Ἀπόλλωνος ἐπίθετον εἶναι θέλει ὁ Ποιητής· τὸ δὲ θηλυκὸν παράγωγον τὴν ἐκηβολίαν,

εἰκ

aliquando genere neutro. Præterea hoc loci συλεύειν dicit, quod eſt σκυλεύειν, ſpoliare, ſeu ſpolia alicui detrahere, eo quia τὰ σκῦλα, ſpolia, dicta etiam σῦλα. unde τὸ συλαγωγεῖν, ſpolia abducere, prædas agere, deprædari. Congruenter autem atque appoſitè inferorum tenebras vocat στυγερὸν, horribiles, a Stygiâ illic palude.

Filium porrò Strophii Scamandrium, peritum venationis,
Atrides Menelaus interfecit haſtâ acutâ,
Bonum venatorem. Docuerat enim Diana ipſa
Jaculis petere genus omne ferarum, quas nutrit in montibus ſylva.

XXI. Scamandrium quemdam occiſum narrat a Menelao, venationis αἵμονα, videlicet ἐπιστήμονα, *peritum, atque intelligentem*, bonum venatorem, ſcientiâ eminens jaculandi ornatum, quem Diana ipſa jaculis ferire docuerat omne genus ferarum, quas nutrit in montibus ſylva. Laudes hæ venatoris. Studioſam porrò venationis Dianam fabulæ paſſim memorant. Quemadmodum verò artificem, qui tractandi æris, ſive etiam ferri, ſummâ virtute excellat, docuiſſe fertur Vulcanus, itemque jaculatoris, & ſagittarii magiſter fuiſſe dicitur Apollo; nec non qui magnâ eſt in furando dexteritate, Mercurii diſcipulus fingitur, faber autem lignarius Minervæ, ut paullò poſt Phereclus; ſic etiam ſtudioſum hunc venationis Scamandrium Dianæ, quippe venationis præſes, venandi artem docuiſſe dicitur, non per unum aliquem, qui venandi præcepta traderet, aut ea præcepta exſequeretur, atque exerceret; ſed ipſa illa Diana. quod utique, quum pro eximiâ quadam, ac præcipuâ excellentiæ notâ dictum ſit, tacitè ſignificat, Scamandrium ab arte illâ eſſe maximè inſtructum, tamquam hominem ingenioſum, aut divinâ ſapientiâ præditum. Sic & ſtatim Phereclus in amore, ac deliciis Minervæ eſſe comperietur, tamquam bonus, ac peritus navium ædificator. Sciendum autem eſt, τὸ ἐσθλὸν θηρητῆρα, *bonum venatorem*, explicationem quamdam eſſe τοῦ αἵμονα θήρης, *gnarum, ſeu peritum venationis*. ſicuti etiam quod dicit: Ἄρτεμις αὐτὸν ἐδίδαξε. *Diana eum docuerat*. Eſt autem αἵμων, *gnarus, ſeu peritus*, quaſi δαίμων, ſive δαήμων, ideſt, ſciens, ſeu intelligens, is, qui aliquid didicerit. cui oppoſitum, ἀδαήμων, *ignarus, inſciens, imperitus*. ut: μάχης ἀδαήμονι φωτί. *pugnæ homini imperito*. Quin & Poëta Tragicus nomen habet proprium, Αἵμονα, *Hæmonem*. Sapienter, & pro ratione philoſophicâ adjectum eſt illud: ἃ τρέφει οὔρεσιν ὕλη. *quæ nutrit in montibus ſylva*. Agreſtia enim ſuapte naturâ, ac fera, animantia omnia, quæ carent ratione: a quibus longè differt homo cicuri ſuo, ac manſueto ingenio. Venator autem, qui canes in venando adhibet, non is certè dicitur, qui omnes generatim feras jaculis petit; ſed qui feras montanas. Beſtias enim domeſticas, & cohortales, ſeu eas, quæ intra ſepta continentur ſunt, atque circumcluſæ, homo quilibet de vulgo jaculis confoderit. Obſerva præterea, ut velit quidem Poëta τὸ ἑκηβόλος, *eminus jaculans, ſeu eminus feriens jaculando*, epitheton eſſe Apollinis; & tamen femininum inde derivatum, ideſt, τὴν ἐκηβολίαν,

jacu-

1. διότι καὶ τὰ σκῦλα, σῦλα λέγεται) σῦλα alicubi σκῦλα, ut in ſacris literis Sciboleth, alibi Siboleth, diſcrimen inter ſuos, & hoſtes, a pronunciatione excogitatum. *Salvinus.*

2. παρὰ τὴν ἐκεῖσε Στύγα) Hinc Virg. Georg. l. 4. 478.

tardâque palus inamabilis undâ
Alligat & novies Styx interfuſa coërcet.

Στύξ, eo quòd στυγερά. Salvinus.

3. θήρης αἵμονα) Heſychius: αἵμονα, ἐπιστήμονα, ἔμπειρον. Etymologici Magni Auctor: αἵμων, ὁ ἔμπειρος. Politus.

4. Ἀθηνᾶς δὲ ὁ τέκτων) Sic Argo navem a Minervâ fabricatam tradidere. Equum Trojanum Epeus divinâ Palladis arte Ædificat. Salvinus.

5. οἱονεὶ δαίμων, ἤτοι δαήμων) Etymologici Magni Auctor: δαίω τὸ μανθάνω, ἐξ οὗ καὶ δαίμων, οἱονεὶ δαήμων τις ὤν. ἢ παρὰ τὸ δαίω τὸ γινώσκω γίνεται δαίμων, ὁ πάντα ἐπιστάμενος, καὶ γινώσκων· καὶ ἀφαιρέσει δ', αἵμων. αἵμονα θήρης. Politus.

6. Ἡ δὲ Τραγῳδία) Antigone Sophoclea. *Politus.*

7. τὸ μὲν ἑκηβόλος Ἀπόλλωνος ἐπίθετον εἶναι) Quippe Apollo, ſol. *Unde*, Macrobio auctore, ἑκηβόλος, *dictus*, καὶ ἑκατηβόλος, ὅπερ ἐστὶ τὰς ἀκτῖνας βάλλων, *e longiſſimo, altiſſimoque radios in terram uſque demittens.* Politus.

jaculorum e longinquo emiſſionem, ſeu ictum inflictum per jacula eminus emiſſa, uſurpare non dubitat de homine etiam mortali. quemadmodum hic Scamandrio eam ipſam ἑκηβολίαν attribuit. Quamquam autem ὁ ἑκηβόλος, *eminus jaculans, ac feriens*, pariter atque ἡ ἑκηβολία, *jaculorum facta eminus emiſſio*, voces ſunt compoſitæ ex ἑκὰς βάλλειν, *eminus, ſeu e longinquo, jaculari, ac ferire*; tamen, ob brevium ſyllabarum crebritatem, mutarunt τὸ ᾰ alterius a principio ſyllabæ in longum τὸ η, ad dactylum conficiendum. Quæ eadem cauſſa fuit, cur τὴν ἐλαφοβολίαν, *jaculorum in cervos emiſſionem*, dicerent ἐλαφηβολίαν, & τὸν σταχυολόγον, *eum, qui ſpicilegium facit, ſeu qui legit ſpicas*, σταχυηλόγον, & τὸν λαμπαδοφόρον, *eum, qui lampada, ſeu facem, geſtat*, λαμπαδηφόρον.

Sed non ei tunc profuit Diana gaudens ſagittis,
Neque peritia jaculandi eminus, qua antea inſtructus fuerat;
Sed eum Atrides haſtâ inclytus Menelaus,
Ante ſe fugientem, haſtâ in tergo vulneravit
Humerorum in medio, & per pectus trajecit.
Cecidit autem pronus, ſtrepitumque arma ſuper ipſo dederunt.

XXII. Verba illa: Ἀλλ' οὔ οἱ τότε χραῖσμεν Ἄρτεμις. *Sed non ei tunc profuit Diana*; ſic generatim candidè, atque ingenuè adjecit Poëta, non ut Dianam ludibrio haberet, quaſi ipſa ſcilicet venatori, diſcipulo ſuo, Scamandrio, auxilium præſtare minimè potuerit; ſed ut rem ipſam ſimpliciter extra diſſimulationem indicaret, nihil ſcilicet Scamandrio ſagittariam artem profuiſſe. Sunt autem & alia hujuſcemodi apud Poëtam figurata loquendi genera, ut, quando, uno aliquo homine interfecto, qui hoſpitio alios excipere conſueviſſet, nihil tunc ei hoſpitalitatem profuiſſe, poſitaſque ſecùs viam ædes, ad omnes amicè benignèque excipiendos. Non enim illic inhumanè irridet humana officia hoſpitalitatis; ſed veritatis ſtudio narrat, qualis ille tandem fuerit, qui hunc vitæ exitum habuit.

Meriones porrò Phereclum interfecit, fabri filium
Harmonidæ, qui manibus noverat ingenioſa omnia
Fabricare. eximiè enim eum diligebat Pallas Minerva:
Qui & Alexandro naves æquales ædificaverat,
Originem malorum, quæ omnibus exitio Trojanis fuerunt,
Eique ipſi. quoniam deorum oracula minimè noverat.

XXIII. Occiditur hic a Merione Phereclus, fabri Harmonidæ filius, qui quum maximè in deliciis eſſet, ut ait, Minervæ, facere manibus noverat, quidquid ingenioſum erat, & Dædalo dignum artifice atque auctore. qui & Alexandro naves æquales, malorum originem, ædificaverat, quæ Trojanis omnibus, eique ipſi, perniciem, atque exitium attulerunt. Sciendum autem eſt, Lacedæmoniis, ut fama eſt, preſſis atque afflictis peſtilentiâ, quum oraculum conſuluiſſent, Apollinem reſpondiſſe, ut Teucrorum, Ilienſium videlicet, deos placarent. Menelaum igitur, Ilium profectum, mandata peregiſſe; eumque

ὡς οἰκεῖ καὶ ἀνδρὶ θνητῷ ἐπιλέγειν. ὥσπερ ἐνταῦθα τῷ Σκαμανδρίῳ αὐτὴν προσμαρτυρεῖ. Ἐκ τοῦ ἑκὰς δὲ βάλλειν ὁ ἑκηβόλος συντεθεὶς, καθὰ καὶ ἡ ἑκηβολία, ὅμως, διὰ τὸ συχνὸν τῶν βραχειῶν συλλαβῶν, ἔτρεψαν τὸ ᾰ τῆς δευτέρας μετὰ τὴν ἀρχῆθεν συλλαβῆς εἰς μακρὸν τὸ η, διὰ συντέλειαν δακτυλικήν. Τὸ δ' αὐτὸ αἴτιον καὶ τὴν ἐλαφοβολίαν, ἐλαφηβολίαν, ἔφρασε, καὶ τὴν σταχυολόγον σταχυηλόγον, καὶ τὸν λαμπαδοφόρον λαμπαδηφόρον. Rom. p. 521.

Ἀλλ' οὔ οἱ τότε γε χραῖσμ' Ἄρτεμις ἰοχέαιρα,
Οὐδὲ ἑκηβολίαι, ᾗσιν τὸ πρίν γ' ἐκέκαστο·
Ἀλλά μιν Ἀτρείδης δουρικλυτὸς Μενέλαος
Πρόσθεν ἕθεν φεύγοντα, μετάφρενον οὔτασε δουρὶ
Ὤμων μεσσηγὺς, διὰ δὲ στήθεσφιν ἔλασσεν.
Ἤριπε δὲ πρηνὴς, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.

κβ'. Τὸ, Ἀλλ' οὔ οἱ τότε χραῖσμεν Ἄρτεμις, ἁπλῶς οὕτω παρέῤῥιψεν ἀφελῶς ὁ Ποιητὴς, οὐ σκώπτων τὴν Ἄρτεμιν, ὡς μὴ ἰσχύσασαν τῷ μαθητῇ κυνηγῷ Σκαμανδρίῳ βοηθεῖν, ἀλλ' αὐτὸ λέγων ἀπλαϊκῶς, δίχα εἰρωνείας, τὸ πρᾶγμα, ὅτι, δηλαδὴ οὐδὲν ἀλυσιτελὴς τῷ Σκαμανδρίῳ ἡ τοξικὴ τέχνη. Εἰσὶ δὲ καὶ ἄλλα τοιαῦτα παρὰ τῷ Ποιητῇ σχήματα, καθὰ καὶ ὅτε, ξενοδόχου τινὸς πεσόντος, φησὶν, ὡς οὐδέν τι τότε αὐτῷ ἔχραισμεν ἡ φιλοξενία, καὶ τὸ πάντας φιλεῖν ὁδῷ ἔπι οἰκία ἔχοντα. Καὶ ἐκεῖ γὰρ οὐ σκώπτει ἀπανθρώπως τὸ τῆς φιλοξενίας φιλάνθρωπον, ἀλλὰ φιλαλήθως ἱστορεῖ, οἷος ἐκεῖνος ὢν, οἷον ἔπαθεν.

Μηριόνης δὲ Φέρεκλον ἐνήρατο, τέκτονος υἱὸν
Ἁρμονίδεω, ὃς χερσὶν ἐπίστατο δαίδαλα πάντα
Τεύχειν. ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη·
Ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας
Ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο,
Οἷ τ' αὐτῷ· ἐπεὶ οὔτι θεῶν ἐκ θέσφατα ᾔδη.

κγ'. Ἀναιρεῖται ἐνταῦθα ὑπὸ Μηριόνου Φέρεκλος, τέκτονος υἱὸς Ἁρμονίδου, ὃς ὑπὸ Ἀθηνᾶς, φησὶν, ἔξοχα φιλούμενος, χερσὶν ἠπίστατο [3] δαίδαλα πάντα τεύχειν. ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο, οἷ τ' αὐτῷ. Ἱστέον δὲ, ὡς φέρεται λόγος, ὅτι Λακεδαιμονίοις, λοιμῷ πιεζομένοις, ἔχρησεν Ἀπόλλων, ἐξιλάσκεσθαι τοὺς τῶν Τεύκρων, ἤγουν τῶν Ἰλιέων, δαίμονας. Μενέλαος οὖν ἀφικόμενος εἰς Ἴλιον, ἐποίει τὸ προσαχθὲν

1. Εἰσὶ δὲ καὶ ἄλλα τοιαῦτα παρὰ τῷ Ποιητῇ σχήματα) Pmidi, quando fuit occiſus, Hometas ait, quid οὐδὲ χραίσμησεν κίθαρις, καὶ ἀοιδή. *nihil profuit cithara, & cantus.* Virg. l. XI. *Nec tibi deſerta in dumis coluiſſe Dianam Profuit.* & l. XII. *Dedit obvia ferro Pectora, nec miſero clypei mora profuit aenei.* Lucr. l. 1.
Nec miſera prodeſſe in tali tempore quibat,
Quod patrio princeps donarat nomine Regem.
(loquitur de Iphigenia). *Salvinus.*
Hector ad Paridem:
Οὐκ ἄν τοι χραίσμῃ κίθαρις, τά τε δῶρ' Ἀφροδίτης.
Politus.

2. αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο) Hinc Ennius e Poëtâ Tragico:
Utinam ne in nemore Pelio ſecuribus
Caſa olim cecidiſſet ad terram trabes!
Salvinus.

3. δαίδαλα πάντα τεύχειν) Quicquid erat ingenioſum, & affabrè factum, dicebatur *dadalum*, & *dadaleum*. δαιδάλεον. Lucretius: *tibi ſuaves Dadala tellus Submittit flores.* Horat. *ceratis ope Dædaleâ Nititur pennis.* Hic alludit ad Icarum. *Salvinus.*

κἀκεῖθεν συμπλεύσαντος αὐτῷ Ἀλεξάνδρου, συμπαραγένοιτο εἰς Δελφούς. καὶ αὐτὸς μὲν ἐζήτει χρησμὸν λήψεσθαι περὶ παίδων γενέσεως· Ἀλέξανδρος δὲ περὶ γυναικὸς ἐμαντεύετο. Χρᾷ οὖν αὐτοῖς ἡ Πυθία·

Τίπτε δύω βασιλῆες, ὁ μὲν Τρώων, ὃ δ' Ἀχαιῶν,
Οὐκέθ' ὁμὰ φρονέοντες, ἐμὸν δόμον εἰσανέβητε;
Ἤτοι ὁ μὲν παίδων γόνον δίζημενος ἥρως·
Αὐτὰρ ὃ πάλιν ἑλεῖν. τίνα μήσεαι, ὦ μεγάλε Ζεῦ;

τοὺς δὲ, μὴ νοήσαντας τὸ λόγιον, χωρισθῆναι. Διὸ καὶ Ὅμηρός φησιν, ὅτι αἱ νῆες κα-
Baſ. p. 395. κὸν ἐγένοντο τοῖς Τρωσὶ, καὶ τῷ ναυπηγησαμένῳ· ἐπεὶ οὔ τι θεῶν ἐκθέσφατα ᾔδη, τὸν ῥηθέντα δηλαδὴ χρησμὸν, ἢ ἃ ὤφειλεν εἰδέναι. Πυθέσθαι γὰρ ἐχρῆν, καὶ μαθεῖν θεόθεν, εἰ ναυπηγητέον. Οἱ δέ φασιν, ὅτι θέσφατα λέγει ὧδε ὁ Ποιητὴς τὸν χρησμὸν, ὃς δοθεὶς τοῖς Τρωσὶν, ἐκέλευε ναυτιλίας μὲν ἀπέχεσθαι· γεωργίᾳ δὲ προσέχειν τὸν νοῦν, μή ποτε θαλάσσῃ χρώμενοι, σφᾶς τε αὐτοὺς, καὶ τὴν πόλιν ἀπολέσωσιν. Ἰστέον δὲ, ὅτι τὸ τέκτονος υἱὸν, οἱ μὲν ἀκριβέστεροι, ἐπίθετόν φασιν, [1] ἅτε τέκτονος λεγομένου καὶ τοῦ ναυπηγοῦ, ὡς δηλοῖ τὸ, τεκτήνατο νῆας ἐΐσας. ὥστε εἶναι ἐνταῦθα δύο πρόσωπα, υἱὸν μὲν, τὸν Φέρεκλον, πατέρα δὲ, τὸν Ἁρμονίδην. Τινὲς δὲ κύριον ἐνόησαν ὄνομα καὶ τὸν Τέκτονα, καὶ τρία φασὶ πρόσωπα, ἵνα ὁ μὲν Φέρεκλος, ᾖ Τέκτονος υἱός· ὁ δὲ Τέκτων, υἱὸς τοῦ Ἅρμονος. [2] Καὶ ὅρα, ὅπως οἰκεῖα ναυπηγοῖς τὰ ὀνόματα. Ὁ γὰρ νῆα τεκταινόμενος, κλᾷ τε φερόμενα τὰ ξύλα, καὶ εὖ δὲ συναρμόττει αὐτά. Οὕτω δὲ καὶ πρὸ ὀλίγου Δάρητά τινα ἔλεξεν ἱερέα, καὶ υἱὸν αὐτοῦ ἱστορεῖ Φηγέα. Ἐκδέρειν γὰρ δεῖ τὰ θυόμενα, καὶ φηγοῖς καίειν, τουτέστι, ξύλοις.

κδ'. Τὸ δὲ, ὃς ἠπίστατο δαίδαλα τεύ-
Rom. p. 522. χειν. καὶ, ὃς Ἀλεξάνδρῳ τεκτήνατο νῆας, τινὲς μὲν περὶ τοῦ Φερέκλου νοοῦσιν. ὃ καὶ κάλλιον. Οὕτω γὰρ ἱστοροῦσι πολλοί, [3] ὧν καὶ ὁ Λυκόφρων ἐστί. Τινὲς δὲ, περὶ τοῦ Ἁρμονίδου. Καὶ ἔστιν ὁ τρόπος, ἀμφιβολία. Ἀθηνᾶ δὲ λέγεται τοῦ τέκτονος τούτου διδάσκαλος· ἐπεὶ αἱ κατὰ χειρῶν ἀξίαν τοιαῦται τέχναι, τὴν Ἀθηνᾶν ἐπιστάτιν ἐπιγράφονται, ὡς καὶ ἐν τοῖς ἑξῆς δηλωθήσεται. Τὰ δὲ, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο, τρόπος ἐτυμολογίας ἐστίν. Ἵνα γὰρ μή τις νοήσῃ κοινὸν πάσης νηὸς ἐπίθετον τὸ ἀρχέκακον, διαφωτίζει τὸ ἀσαφὲς ὁ Ποιητὴς, εἰπὼν, ὅτι [4] αὗται αἱ νῆες

que inde renavigantem, itineris ſocio uſum eſſe Alexandro, ſimulque cum illo Delphos acceſſiſſe. Atque ipſum quidem reſponſum ſibi dari de liberis ſuſcipiendis voluiſſe; Alexandrum verò ex oraculo fuiſſe de uxore ſciſcitatum. Itaque Pythiam ſic iis reſpondiſſe:

Cur duo nunc reges, unus Troum, alter Achivûm,
Non concordi animo, noſtras conſcenditis ædes?
Ut pater hic generoſa prole, ut ille puellæ
Sit compos. Quid tu facias, rex ſumme deorum?

Eos autem, vi oraculi minimè perceptâ, diſceſſiſſe. Ideoque Homerus ait, naves exitio Trojanis fuiſſe, eique etiam, qui ipſas ædificaverat: quoniam deorum oracula nequaquam noverat, illud nimirum, quod diximus, reſponſum, aut ea certè oracula, quæ eum cognoviſſe oportebat. Sciſcitandum enim erat ei, diſcendumque ex deo de navibus, an eæ eſſent ædificandæ. Sunt tamen nonnulli, qui volunt, θέσφατα, *divina reſponſa*, intelligi hic a Poetâ datum Trojanis oraculum, quo ſcilicet oraculo abſtinere ipſi a navicularià jubebantur, & ad agrorum culturam mentem animumque convertere, ne, ſi navali umquam rei operam darent, ipſi ſeſe, urbemque ſimul ſuam perderent. Quod autem ſciendum eſt, τὸ τέκτονος υἱὸν, *fabri filium*, diligentiores accuratioreſque Grammatici epitheton dicunt: quaſi ſcilicet τέκτων, *faber*, is etiam vocetur, qui naves compingit, atque ædificat, ut patet ex his verbis: τεκτήνατο νῆας ἐΐσας. *naves æquales ædificaverat, atque conſtruxerat.* adeo ut perſonæ hîc ſint duæ, filius Phereclus, pater Harmonides. Verùm alii proprium nomen intelligunt τὸν Τέκτονα, *Tectonem*, perſonaſque tres ſtatuunt, ita ut Phereclus, filius ſit Tectonis; Tecton, filius Harmonis. Ac vide, quàm apta, & appoſita hæc ſint nomina iis, qui naves compingunt, atque fabricant. Qui enim navem τεκταίνεται, *conſtruit*, tum κλᾷ φερόμενα τὰ ξύλα, *frangit allata ſibi ligna*, tum etiam ea bene συναρμόττει, *inter ſe committit, atque conjungit*. Atque ita etiam paullò ante ſacerdotem quemdam nominat Δάρητα, *Daretem*, filiumque ejus memorat Φηγέα, *Phegeum*. Oportet namque victimas ἐκδέρειν, *pelle exuere*, eaſque cremare φηγοῖς, *fagis*, hoc eſt, lignis.

XXIV. Illud, ὃς ἠπίστατο δαίδαλα τεύχειν, *qui noverat ingenioſa opera facere*; itemque, ὃς Ἀλεξάνδρῳ τεκτήνατο νῆας, *qui Alexandro naves ædificaverat*; nonnulli de Pherecle intelligunt. quod & multò melius. Sic enim plerique narrant, in quibus etiam Lycophron. Alii tamen de Harmonide. Atque hic modus ambiguè loquendi pertinet ad amphiboliam. Minerva autem, magiſtra hujus fabri dicitur: quoniam hujuſcemodi artes, quæ, pro ratione, ac dignitate, manibus tractantur, præſidem ſibi adſcribunt, atque vindicant Minervam, ut & poſtea ſumus oſtenſuri. Τὸ, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο, *quæ exitio omnibus Trojanis fuerunt*, tropus eſt, ſeu loquendi modus etymologicus. Etenim, ut nequis exiſtimaret, cujuſcumque navis commune eſſe epitheton τὸ ἀρχέκακον, *originem, & cauſſam malorum*, dilucidius facit Poëta id, quod erat obſcurius, dum ait, has ipſas naves dictas nunc

1. ἅτε τέκτονος λεγομένου καὶ τοῦ ναυπηγοῦ) Heſychius: τέκτων, πᾶς τεχνίτης. Politus.

2. Καὶ ὅρα, ὅπως οἰκεῖα ναυπηγοῖς τὰ ὀνόματα) Sic *Brontesque Steropesque, & nudus membra Pyracmon*, appoſita Cyclopibus nomina. *Salvinus*.

3. ὧν καὶ ὁ Λυκόφρων ἐστί) Lycophron:
Τρόμπις σ' ὀχήσει, καὶ Φερέκλειοι πόδες.
Pedes Pheréclei, Lycophroni ſunt naves, quas Phereclus ædificaverat. ὄχος γὰρ, ut ait Scholiaſta, κατασκευάσαντος τοῦ Ἀλεξάνδρου ναῦς, πρὸς τὴν Ἑλένης ἁρπαγήν. Nicolaus Heinſius videtur legiſſe apud Lycophronem, Φαλακραῖοι πόδες, videlicet pro Φερέκλειοι, ſed lapſu, ut ſuſpicor, memoriæ. Epiſt. Paridis ad Helenam: *ſed Longa Phereclea per freta puppe vias*. Politus.

4. πάσας αἱ νῆες λέγονται καὶ ἀρχέκακοι, ὡς κακὸν κατάρξασαι) Sic eleganter Nazianzenus Orat. 26. ventrem vocat βορᾶς φορτίον, καὶ ἀρχέκακον. Politus.

nunc ἀρχεκάκους, *exordia malorum*, quatenus origo, & cauſa malorum Trojanis πᾶσι, *omnibus*, extiterunt. Ac vide τὸ πᾶσιν, *omnibus*. Etſi enim malorum initium Græcis quoque fuerunt; maximè tamen Trojanis. Siquidem propter eas naves, Græcorum quidem multi perierunt; ſed de Trojanis parùm abfuit, quin perierint omnes, quippe deleti uſque ad internecionem. Volo autem, obſerves, ut idem prorſus eſt dicere compoſitâ voce ἀρχέκακον, *maleficum*, atque, vocibus diſſolutis, ſecundùm Jonas, ἀρχὴν κακοῦ, *principium, & cauſam mali*. Quippe memorat Herodotus naves quaſdam Atticas, quæ miſſæ, ut ait, Jonibus auxilio, ἀρχὴ κακῶν ἐγένοντο Ἕλλησί τε, καὶ Βαρβάροις, *initium malorum tum Græcis, tum Barbaris extiterunt*. Tale etiam apud eum τὸ, αἱρεθεὶς ἐς ἀρχὴν, *deſignatus magiſtratus*: ex quo poſtea compoſitum eſt τὸ ἀρχαιρεσιάζειν, *deſignare, ſeu creare in comitiis magiſtratum*; & τὸ, θέης ἄξιος, *ſpectatu dignus*, pro ἀξιοθέατος, *ſpectandus, ſpectabilis, adſpectabilis*; aliaque hujuſcemodi. Τὸ, οἱ τ' αὐτῷ, *ſibique ipſi*, exemplum præbuit, primùm Heſiodo, deinde etiam Callimacho, ut gnome illâ, ſeu ſententioſo dicto uterentur:

Fabricat ipſe ſibi, quiſquis mala fabricat illi.

Quod utique Phereclo etiam contigit. Quod ait, θεῶν θέσφατα, *deorum reſponſa, ſive oracula divina*, quum veluti etymologicum modum, ac tropum præ ſe ferat; tamen dictum eſt ad diſtinctionem θεοφάτων, *divinorum eorum reſponſorum, ac vaticiniorum*, quæ non deus ipſe loquitur; ſed quæ ex arte, & diſciplinâ loquitur divinatio. Quum verò hic Homerus dixerit: ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη. *eximiè enim ipſum diligebat Pallas Minerva*; vide τὸ ἐφίλατο, *diligebat*, clarè eſſe declinatum, ut τὸ ἵστατο, *ſtabat*. ex quo, ſecundùm nonnullos, poſtea illud: νῦν με φίλαι, Ἀθήνη. *nunc me ama, Minerva*. pro φίλησον, *ama*, tamquam ab ἐφιλάμην, *amavi*, ad exemplum τοῦ ἐτυψάμην, *verberavi*, τύψαι, *verbera*. Porro autem ἡ ἐΐση, *æqualis*, non navium modò eſt epitheton; ſed etiam cœnæ, ſeu epuli, ut paſſim conſtat. Denique τὸ, οἱ αὐτῷ, *ſibi ipſi*, ſcriptores poſt Homerum, compoſitâ voce, dicunt ἑαυτῷ. ſicuti etiam τὸ, αὐτόν μιν, *ſe ipſum*, ἑαυτόν. & τὸ, ἔμ' αὐτὸν, *me ipſum*, ἐμαυτόν.

πoιες λέγονται νῦν ἀρχέκακοι, ὡς κακῶν καταρξάσαι τοῖς Τρωσὶ πᾶσι. Καὶ ὅρα τὸ πᾶσιν. Ἐγένοντο μὲν γὰρ ἀρχὴ κακοῦ καὶ τοῖς Ἀχαιοῖς· ἀλλὰ μάλιστα τοῖς Τρωσίν. Ἑλλήνων μὲν γὰρ πολλοὶ, δι' αὐτὰς ὤλοντο· οἱ Τρῶες δὲ μικροῦ δεῖν πάντες, παθόντες πανωλεθρίαν. Σημείωσαι δὲ, ὅτι ταυτὸν εἰπεῖν συνθέτως ἀρχέκακον, καὶ διαλελυμένως, ἀρχὴν κακοῦ, κατὰ Ἴωνας. Φησὶ γοῦν Ἡρόδοτος Ἀττικάς τινας νῆας, αἳ τοῖς Ἴωσι πεμφθεῖσαι, φησὶν, εἰς βοήθειαν, [1] ἀρχὴ κακῶν ἐγένοντο Ἕλλησί τε, καὶ Βαρβάροις. [2] Τοιοῦτον παρ' αὐτῷ καὶ τὸ, αἱρεθεὶς εἰς ἀρχήν· [3] ἀφ' οὗ ὕστερον τὸ ἀρχαιρεσιάζειν συντέθειται· καὶ τὸ, θέης ἄξιος, ἀντὶ τοῦ ἀξιοθέατος· καὶ ἕτερα. Τὸ δὲ, οἷ τ' αὐτῷ, ἀρχὴ γέγονε γνωμικοῦ, πρῶτα μὲν Ἡσιόδῳ, εἶτα καὶ Καλλιμάχῳ, τοῦ εἰπόντος, [4] ὡς ὁ τεύχων ἑτέρῳ κακὸν, ἑῷ ἥπατι τεύχει. ὃ δὴ καὶ τῷ Φερέκλῳ συνέπεσε. Τὸ δὲ, θεῶν θέσφατα, ἔστι μὲν εἶδος ἐτυμολογικὸς τρόπος· εἴρηται δὲ πρὸς διαστολὴν θεσφάτων, ἅπερ οὐκ αὐτὸς θεὸς λέγει, ἀλλὰ τέχνη μαντική. Ἐν δὲ τοῖς ῥηθεῖσιν εἰπόντος Ὁμήρου, ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη, ὅρα τὸ ἐφίλατο, κλιθὲν φανερῶς, ὡς τὸ ἵστατο, ἀφ' οὗ, κατά τινας, ἐν τοῖς ἑξῆς τὸ, [5] νῦν με φίλαι, Ἀθήνη. ἀντὶ τοῦ φίλησον, ὡς ἀπὸ τοῦ ἐφιλάμην, καθ' ὁμοιότητα τοῦ ἐτυψάμην, τύψαι. Ἡ δὲ ἐΐση, οὐ μόνον ἐστὶ νηῶν ἐπίθετον, ἀλλὰ καὶ δαιτὸς, ὡς πολλαχοῦ φαίνεται. Τὸ δὲ, οἱ αὐτῷ, συνθέτως ἑαυτῷ φασιν οἱ μεθ' Ὅμηρον. ὡς καὶ τὸ αὐτόν μιν, ἑαυτόν· καὶ τὸ, ἔμ' αὐτὸν, ἐμαυτόν.

Hunc quidem Meriones quum inſequendo jam eſſet aſſecutus,
Percuſſit ad clunem dextram, ac penitus
E regione juxta veſicam ſub oſſe adacta eſt cuſpis.
Cecidit ille in genua ingemiſcens, eumque mors circumtexit.

Τὸν μὲν Μηριόνης, ὅτε δὴ κατέμαρπτε διώκων,
Βεβλήκει γλουτὸν κατὰ δεξιόν· ἡ δὲ διαπρὸ
Ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἤλυθ' ἀκωκή.
Γνὺξ δ' ἔριπ' οἰμώξας, θάνατος δέ μιν ἀμφεκάλυψεν.

XXV. Γλουτὸς, *clunis, ſeu nates*, prout veteres explicant, pars eſt acetabuli teres, & globoſa, circa femur. Rufus autem, quum partes carnoſas poſt lumbos, in quibus conſidemus, πυγὰς, *nates*, dixiſſet, verba hæc ſubjicit: Alii tamen γλουτοὺς, *clunes*, vocant. Quare etiam Etymologi appellationis ejus originem deducunt παρὰ τὸ γλοιὸν, *a ſtrigmento, & ſorde olei*, eo quòd clu-

κε'. [6] Γλουτὸς, κατὰ τοὺς παλαιοὺς, τὸ σφαίρωμα τῆς κοτύλης, κατὰ τὸν μηρόν. Ῥοῦφος δὲ, [7] τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη, ἐφ' ὧν καθίζομεν, πυγὰς εἰπὼν, ἐπάγει· ἄλλοι δὲ γλουτοὺς καλοῦσι. Διὸ καὶ οἱ Ἐτυμολόγοι, [8] παρὰ τὸν γλοιὸν ἐτυμολογοῦσιν αὐτοὺς, διὰ τὸ ἐν

1. ἀρχὴ κακῶν) Vulgò ἀρχαὶ apud Herodotum. Sed MS. Mediceus liber, quo in reſtituendo Herodoto uſus eſt Gronovius, planè, ut Euſtathius, ἀρχή. l. 5. n. 97. αὗται δὲ αἱ νῆες ἀρχὴ κακῶν ἐγένοντο Ἕλλησί τε, καὶ Βαρβάροισι. Politus.

2. Τοιοῦτον παρ' αὐτῷ καὶ τὸ, αἱρεθεὶς εἰς ἀρχήν) Unde apud Herodotum ἀρχαιρεσίη lib. 6. n. 58. Politus.

3. ἀφ' οὗ ὕστερον τὸ ἀρχαιρεσιάζειν συντέθειται) Harpocration: ἀρχαιρεσιάζειν, τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα. Uſus Dinarchus. Politus.

4. ὡς ὁ τεύχων ἑτέρῳ κακὸν, ἑῷ ἥπατι τεύχει) Heſiod. Oper.
Οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ, ἄλλῳ κακὰ τεύχων.
Lucillius in Epigrammate:
Ὃς δ' ἄλλῳ κακὰ τεύχει, ἑῷ κακὸν ἥπατι τεύχει.
Politus.

5. νῦν με φίλαι, Ἀθήνη), Φίλαι, ideſt, φίλησον. Imperativi Aoriſtus medius. Salvinus.

6. Γλουτὸς, κατὰ τοὺς παλαιοὺς, τὸ σφαίρωμα τῆς κοτύλης) Heſychius: γλουτοὶ, τὰ τῆς κοτύλης σφαιρώματα. Etymologici Magni Auctor: γλουτὸς, τὸ σφαίρωμα τῆς κοτύλης. Suidas: γλουτὸν, τὸ σφαίρωμα τῆς κοτύλης. Polit.

7. τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη, ἐφ' ὧν καθίζομεν) unde dicta ἑδράσματα. Rufus De Partibus Hominis: πυγαὶ δὲ τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη, καὶ ἑδράσματα, ἐφ' ὧν καθίζομεν. ἄλλοι δὲ γλουτοὺς καλοῦσι. τὰ δὲ ὑπὸ τοὺς γλουτοὺς, ὑπογλουτίδες. & rurſus: τὰς δὲ ὀσφύος παρ' ἑκάτερα, γλουτοί· πυγαὶ δὲ τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη, καὶ ἑδράσματα καλοῦνται. Politus.

8. παρὰ τὸν γλοιὸν ἐτυμολογοῦσιν αὐτούς) γλουτοὶ Etymologici Magni Auctori, διὰ τὸ τρυφερὸν, καὶ ἁπαλὸν, καὶ γλοιῶδες, οἱονεὶ γλοιοί τινες ὄντες. καὶ γὰρ οὗτοι μετὰ λιπότητος ἔνυγροί εἰσι. Polit.

Digitized by Google

αὐτοῖς τρυφερὸν, φασὶ, καὶ ἁπαλὸν, καὶ γλοιώδες. κατὰ δέ τινας, [1] λαγόνα, φασὶν, ὁ γλουτὸς σημαίνει. Ὅμηρος δὲ, καθὰ πρὸ βραχέων διεσάφησε τὸ μετάφρενον ἐκ τοῦ ἀντικρὺ τόπου, ὅς ἐστι τὰ στήθη, οὕτω πως καὶ τὸν γλουτὸν, εἰπών· Βεβλήκει γλουτὸν κατὰ δεξιόν· ἡ δὲ [2] διὰ πρὸ Ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἤλυθ' ἀκωκή. Δοκεῖ γὰρ λέγειν, ἀντικρὺ ἑτέρωθεν τοῦ ῥηθέντος γλουτοῦ κεῖσθαι τὴν κύστιν. [3] ἣ καὶ ἀπὸ τοῦ κεύθω γενομένη, ἐξῶσε τὸ ε, ὁμοίως τῷ πεύθω πύστις ἡ μάθησις, καὶ ἑτέροις πολλοῖς δηλουμένοις ἀλλαχοῦ. Ἰστέον δὲ, ὅτι μετ' ὀλίγα, ὁμοίᾳ μεθόδῳ ἑρμηνεύσει καὶ τὸ κατὰ κεφαλὴν ἰνίον, τοῦ ἐστι τῆς κεφαλῆς. Πολλὰς [4] ἐν τοῖς παροῦσι Τρωϊκὰς ἱστορίας ὁ Ποιητὴς παραπλέκει. Ἕκαστον γὰρ τῶν πιπτόντων ὑπὸ τοῖς Ἕλλησι Τρώων γενεαλογεῖ· τὸν τοῦ Δάρητος Φηγέα, ὃν ἀνεῖλεν ὁ Διομήδης· τὸν Ὀδίον, ὃς ἔπεσεν ὑπὸ Ἀγαμέμνονος· τὸν Φαῖστον, οὗ περιεγένετο Ἰδομενεύς· τὸν Σκαμάνδριον, ὃς ὑπὸ Μενελάου πέπτωκε· τὸν ὑπὸ Μηριόνου πεσόντα Φέρεκλον· τὸν ῥηθησόμενον Πήδαιον, ὃν ἔπεφνε Μέγης· τὸν Ὑψήνορα, ὃν μετ' ὀλίγα ὁ Εὐρύπυλος πρόσθεν αὐτοῦ φεύγοντα, μεταδρομάδην ἤλασεν ὦμον. Ποιεῖ δὲ ταῦτα, καὶ πυκναῖς ἱστορίαις ἀρτύει τὸν τόπον τοῦτον, ἅμα καὶ τοὺς ἀκροατὰς ἐνάγων εἰς πολυμάθειαν, ὡς καὶ ἐν ἄλλοις τόποις, καὶ τοὺς ἀριστέας τῶν Ἀχαιῶν σεμνύνων, ὡς ἀξιολόγων Τρώων περιγινομένους, καὶ τὴν ποίησιν καταποικίλλων, καὶ τὸ ὕπτιον δὲ
Rom. p. 523. τῆς διηγήσεως ἀνιστῶν εἰς γοργότητα τῇ παρεμπλοκῇ τῶν ἱστοριῶν, καὶ ἑαυτὸν δὲ δεικνύων ἐν ἱστορίαις πολύϊδριν. Τοῦτο δὲ καὶ ἀλλαχοῦ ποιήσει ἐν πολλοῖς τόποις διὰ τὰς αὐτὰς αἰτίας.

κϛʹ. Σημείωσαι δὲ καὶ, ὅτι πολλαχῶς καὶ ἐνταῦθα σχηματίζει τὰ πράγματα. Τῶν γὰρ πιπτόντων, ὁ μὲν ἐκβάλλεται τοῦ δίφρου, βάθος τι δηλαδὴ ἔχοντος, ὡς δηλοῖ μετ' ὀλίγα καὶ τὸ, ἐξ ἵππων βῆσεν· ὁ δὲ, νύττεται
Baſ. p. 396. ἔγχει, ἵππων ἐπιβησόμενος. ὁ δὲ, πεζὸς φεύγων, οὐτάζεται τὸ μετάφρενον. καὶ ὅλως, πολλὴ διὰ πάντων ἡ τῆς πολυσχημοσύνης διάθεσις παρὰ τῷ Ποιητῇ· ὃς καὶ ἑκάστῳ τῶν πιπτόντων τοιαῦτα ἐπιλέγει· Δούπησε δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. καὶ, Ἤριπε δ' ἐξ ὀχέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλε. καὶ, Ἤριπε δὲ πρηνὴς, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. καὶ, Γνὺξ δ' ἔριπ' οἰμώξας, θάνατος δέ μιν ἀμφεκάλυψε. καὶ, Ἤριπε δ' ἐν

nes molles ſint, ut ajunt, atque teneræ, ſtrigmentique in modum craſſæ, & viſcoſæ. Verùm, ſecundùm alios, ὁ γλουτὸς ſignificare dicitur ilia. At enim Homerus, ſicuti paullò ante τὸ μετάφρενον, *tergum*, *ſeu dorſum*, explicavit a parte objectâ, ſive ſitâ ex ejus regione, hoc eſt, a pectore; ſic quodammodo explicat τὸν γλουτὸν, *clunem*, his verbis: Βεβλήκει γλουτὸν κατὰ δεξιόν· ἡ δὲ διαπρὸ Ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἤλυθ' ἀκωκή. *Percuſſit clunem ad dextram; ac penitus e regione juxta veſicam ſub oſſe adacta eſt cuſpis.* Videtur enim dicere, e regione ab alterâ parte hujus ipſius γλουτοῦ, *clunis*, ſitam eſſe τὴν κύστιν, *veſicam*. quæ vox tametſi derivata eſt ex verbo κεύθω, *occulto*, *ſive abſcondo*; tamen expellit τὸ ε, ſimiliter atque ex πεύθω, *audio*, *interrogo*, *diſco*, *intelligo*, fit πύστις, ideſt, diſciplina, ſeu cognitio. qualiter etiam fiunt pleraque alia, quæ alibi declarentur. Sciendum autem eſt, ſimili ratione paullò poſt exponi a Poëta τὸ ἰνίον, *occipitium*, quod ad caput quidem pertinet, ubi per modum interpretationis adjectum eſt τοῦ κεφαλῆς, *capitis*. Multas in præſentiâ Trojanarum rerum hiſtorias adtexit, atque admiſcet Poëta. Unumquemque enim Trojanorum, qui Græcorum manu occubuerunt, a genere laudat, atque exornat: Phegeum Daretis filium, quem interfecit Diomedes; Odium, qui ſtratus eſt ab Agamemnone; Phæſtum, quem Idomeneus ſuperavit; Scamandrium, qui a Menelao eſt occiſus; Phereclum, qui interfectus eſt a Merione; Pedæum, de quo infra, quem Meges occidit; Hypſenorem, quem paullò poſt Eurypylus ante ſe fugientem, inter currendum, in humero percuſſit. Ideo autem ſic facit, & frequentibus crebriſque hiſtoriis, veluti quodam condimento, locum hunc apparat, ut ſimul & auditores ſuos, quemadmodum etiam in aliis locis, in multarum rerum notitiam adducat, & fortiſſimos, ac principes Græcorum extollat, quòd viros de Trojanis percelebres ſuperaverint, & Poëſin ſuam multâ varietate adſpergat; nec non ut ſupinum illum ſtylum narrationis, interpoſitu, interjectuque hiſtoriarum, ad incitatum, atque acre dicendi genus aſſurgere faciat; denique ut ſemet ipſe in hiſtoriis verſatiſſimum oſtendat. Quod & alibi pleriſque in locis eaſdem ob cauſſas poſtea exſequitur.

XXVI. Præterea obſerva, quàm multis variiſque modis hoc loci res geſtas fingat, ac componat. Occumbentium namque unus e curru deturbatur, altitudinem nimirum quamdam habente, ut manifeſtum paullò poſt fit ex illis verbis: ἐξ ἵππων βῆσε. *de curru dejecit*. Alter haſtâ confoditur, dum jam equos eſſet conſcenſurus. Alius, dum pedibus fugeret, vulnus in tergo accipit. In ſummâ, magnâ ubique rerum in hunc, aut illum modum multifariè conformatarum, atque diſpoſitarum variatio apud Poëtam: qui & de unoquoque morientium hæc ſtatim verba adjicit: *Sonuit autem cadens, armaque ſuper ipſo ſtrepuerunt*. Et: *Decidit autem ex curru, horribiliſque eum tenebræ corripuerunt*. Et: *Cecidit autem pronus, armaque ſuper ipſo ſtrepuerunt*. Et: *In genua cecidit ingemens, eumque mors circumtexit*. Et: *Cecidit autem in pulverem*,

1. λαγόνα, φασὶν, ὁ γλουτὸς σημαίνει) Etymologici Magni Auctor v. γλουτός. ἢ τὰς λαγόνας σημαίνει. Etymologum videtur hic reſpicere Euſtathius. *Politus*.

2. διὰ πρὸ) Alii junctim διαπρό. Polit. quoniam illæ duæ particulæ faciunt (ut Devarii de particulis linguæ Græcæ verbis utar) aggregatum quoddam formale. *Salvinus*.

3. ἣ καὶ ἀπὸ τοῦ κεύθω γενομένη) Etymologici Magni Auctor: κύστις, ἀπὸ τοῦ κεύθειν τὸ οὖρον. Polit.

4. ἐν τῷ παρόντι) l. ἐν τοῖς παροῦσι. Polit.

rem, *frigidumque mordicus æs prehendit*. Ubi etiam volo, obſerves, acerbum illum vulnerati hominis dolorem, præ cujus doloris magnitudine ferrum dentibus conſtrinxit. Et rurſus: *ejus autem oculos occupavit purpurea mors, & fatum violentum*. Adeo multiloqua, verbiſque adeo affluens lingua eſt Homeri. Atque hic etiam obſerva, quàm appoſita, & opportuna vox eſt, tamquam in carmine, τὸ ἐριπεῖν, *labi, ſeu cadere*. Ideoque eâ in voce diu per epimonen permanet Poëta: quum tamen τῷ πεσεῖν, *cadere*, ſemel hic dumtaxat, atque iterum utatur, ubi ſcilicet ſic ait: δούπησε δὲ πεσών. *Sonuit autem cadens*. &, αἱματόεσσα χεὶρ ἐν πεδίῳ πέσεν. *Sanguinolenta manus in campum cecidit*.

Pedæum porro interfecit Meges Antenoris filium,
Qui nothus erat, ſed ſtudioſè eum educaverat diva Theano
Æquè ac ſuos filios, gratificans marito ſuo.
Hunc Phylides, haſtâ inclytus, quum prope acceſſiſſet,
Percuſſit in occipitio acutâ haſtâ,
Atque e regione per dentes linguam ei ſubſecuit.
Cecidit autem in pulverem, frigidumque æs dentibus prehendit.

XXVII. Eſt hic novercam bonam intueri, Theano, Antenoris conjugem, quæ, ut marito ſuo gratificaretur, Pedæum, filium nothum, æquè ac filios ſuos ipſius, magnâ cura enutrivit. Et obſerva, benignitatem hanc, & humanitatem novercæ tributam privigno, non privigni ipſius cauſsâ; ſed quia maritum ipſa ſuum impenſiùs diligebat. Sic autem loquitur hoc loci Poëta: *Pedæum Antenoris filium, quem, tametſi nothus erat, ſtudioſè tamen, ac diligenter, æquè ac filios ſuos, Theano divina educaverat, ut marito ſuo rem gratam faceret*. Tum narrat, ut Pedæum hunc Meges, quum prope ad eum acceſſiſſet, βεβλήκει, *teli ictu ſauciavit*. Ubi vide dictum eſſe τὸ βεβλήκει pro ἔκρουσε, *percuſſit*, ἔτυψε, *feriit*, ἔτρωσε, *vulneravit*. Non enim ictum e longinquo, ſeu eminus inflixit, ſed quum propiùs acceſſiſſet, ut ii, qui cominus vulnerant. Ἰνίον, *occiput, ſive occipitium*, dicitur pars capitis a vertice poſterior. Itaque eò haſta impacta, ad alteram uſque partem penetravit; atque e regione per dentes ferrum linguam ſubſecuit. Alii tamen ἰνίον dicunt cavam, & ſinuoſam partem tendinis, aut latum ipſum craſſumque nervum, qui a capite ad cervicem deſcendit. Et obſerva, quàm ſtudioſè Poëta non modò hoc loci, ſed etiam in aliis locis, ut alibi quoque fit manifeſtum, partes quaſdam corporis oſtendere, ac declarare voluerit per eas, quæ ſunt ipſis e regione ab alio latere oppoſitæ. Etenim, quando dixit, percuſſo quodam τὴν κόρσην, *in tempore*, haſtam διελθεῖν ἑτέρου κροτάφου, *per tempus alterum penetraſſe*; τῷ κροτάφῳ, *tempore*, quod e regione oppoſitum erat, explicavit quoque τὴν κόρσην, *tempus*, ut ibi dictum eſt. Tale etiam illud: Βεβλήκει γλουτὸν κατὰ δεξιόν· ἀντικρὺ δὲ κατὰ κύστιν ὑπ' ὀστέον ἤλυθ' ἀκωκή· *Percuſſit ad clunem dextram; atque e regione juxta veſicam ſub oſſe adacta eſt cuſpis*. quod etiam paullò ante eſt declaratum. Ac rurſus quando, percuſſo quodam τὰ μετάφρενα, *in tergo, ſeu in dorſo*, haſtam dixit per pectus trajectam fuiſſe, locum expoſuit

ἐν κονίῃ, ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν. Ἔνθα καὶ σημείωσαι τὴν τοῦ βληθέντος ὀδύνην, δι' ἣν κατέσφιγξε τοῖς ὀδοῦσι τὸν σίδηρον. καὶ αὖθις· τὸν δὲ κατ' ὄσσε ἔλλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή. Οὕτω πολύφωνόν τι χρῆμα ἡ Ὁμηρικὴ γλῶσσα. Ἐν τούτοις δὲ σημείωσαι καὶ, ὅπως καιρία λέξις ἐστὶν, ὡς ἐν ποιήσει, τὸ ἐριπεῖν. Διὸ καὶ ἐνέμεινεν αὐτῇ ὁ Ποιητὴς ἐπὶ πολύ. τῷ δὲ πεσεῖν, δὶς μόνον ἐνταῦθα ἐχρήσατο ἐν τῷ, δούπησε δὲ πεσών. καὶ, αἱματόεσσα χεὶρ ἐν πεδίῳ πέσεν.

Πήδαιον δ' ἄρ' ἔπεφνε Μέγης Ἀντήνορος υἱὸν,
Ὅς ῥα νόθος μὲν ἔην, πύκα δ' ἔτρεφε δῖα Θεανὼ
Ἶσα φίλοισι τέκεσσι, χαριζομένη πόσεϊ ᾧ.
Τὸν μὲν Φυλεΐδης δουρικλυτὸς, ἐγγύθεν ἐλθὼν,
Βεβλήκει κεφαλῆς κατὰ ἰνίον ὀξέϊ δουρί·
Ἀντικρὺ δ' ἀν' ὀδόντας ὑπὸ γλῶσσαν τάμε χαλκός.
Ἤριπε δ' ἐν κονίῃ, ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσι.

κζ. Ἔστιν ἐνταῦθα ἰδεῖν μητρυιὰν ἀγαθὴν, Θεανὼ, τὴν Ἀντήνορος γυναῖκα, ἥτις νόθον ὄντα τὸν Πήδαιον, ἔτρεφεν ἐπιμελῶς, ἶσα φίλοις τέκνοις, χαριζομένη τῷ ἀνδρί. Καὶ σημείωσαι τὴν ἀγαθότητα τῆς μητρυιᾶς γενομένην οὐ διὰ τὸν πρόγονον, ἀλλὰ διὰ τὸ φίλανδρον. Φράζει δ' ἐνταῦθα ὁ Ποιητὴς οὕτω· Πήδαιον Ἀντήνορος υἱὸν, ὅς ῥα νόθος μὲν ἔην, πύκα δ' ἔτρεφε δῖα Θεανὼ, ἶσα φίλοισι τέκεσσι, χαριζομένη πόσεϊ ᾧ. Λέγει δὲ καὶ, ὅτι τοῦτον Μέγης, ἐγγύθεν ἐλθὼν, βεβλήκει. Ἔνθα ὅρα τὸ βεβλήκει ῥηθὲν ἀντὶ τοῦ ἔκρουσεν, ἔτυψεν, ἔτρωσεν. Οὐ γὰρ πόρρωθεν, ἀλλ' ἐγγὺς ἐλθὼν, ἔβαλε, κατὰ τοὺς οὐτάζοντας. [1] Ἰνίον λέγεται, τὸ μετὰ κορυφὴν ὄπισθεν τῆς κεφαλῆς. Δόρυ γοῦν ἐκεῖ που ἐμπαγὲν, διεξέδυ· ἀντικρὺ δ' ἀν' ὀδόντας ὑπὸ γλῶσσαν τάμε χαλκός. Οἱ δὲ, ἰνίον φασὶ τὸ κοῖλον τοῦ τένοντος, ἢ [2] τὸ πλατὺ, καὶ παχὺ νεῦρον, τὸ καθῆκον ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν αὐχένα. Σημείωσαι δὲ, ὡς οὐ μόνον ἐνταυθοῖ, ἀλλὰ καὶ ἑτέρωθι πεφιλοτίμηται ὁ Ποιητὴς, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, μέρη τινὰ σωματικὰ ὑποδηλῶσαι διὰ τῶν ἀντικρὺ αὐτοῖς ἀντικειμένων ἑτέρωθεν. Καὶ ὅτε γοῦν εἶπεν, ὅτι, πληγέντος τινὸς τὴν κόρσην, τὸ δόρυ διῆλθεν ἑτέρου κροτάφου, τῷ ἀντικρὺ κροτάφῳ ἐδήλωσε καὶ τὴν κόρσην, ὡς ἐκεῖ ἐῤῥέθη. Ὅμοιον καὶ τὸ, Βεβλήκει γλουτὸν κατὰ δεξιόν· ἀντικρὺ δὲ κατὰ κύστιν ὑπ' ὀστέον ἤλυθεν ἀκωκή. ὡς καὶ αὐτὸ πρὸ ὀλίγου ἐδηλώθη. καὶ ὅτε δὲ, τὰ μετάφρενα πληγέντος τινὸς, τὸ δόρυ διὰ τοῦ στήθους εἶπεν ἐλαθῆναι, τὴν

1. Ἰνίον λέγεται, τὸ μετὰ κορυφὴν ὄπισθεν τῆς κεφαλῆς) Ariſtoteles De Hiſt. Animal. lib. 1. cap. 9. τούτου δὲ (κρανίου) μέρη, τὸ μὲν πρόσθιον, βρέγμα, ὑστερογενές· τελευταῖον γὰρ τῶν ἐν τῷ σώματι πήγνυται ὀστῶν· τὸ δ' ὄπισθεν, ἰνίον. μέσον δ' ἰνίου καὶ βρέγματος, κορυφή. Polit.

2. τὸ πλατὺ, καὶ παχὺ νεῦρον, τὸ καθῆκον ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν αὐχένα) Heſychius: ἰνίον, τὸ ὄπισθεν τοῦ τραχήλου νεῦρον. Polit.

τὴν τῶν μεταφρένων θέσιν ἐδήλωσεν, ὡς καὶ τοῦτο πρὸ μικροῦ εἴρηται.

Εὐρύπυλος δ' Εὐαιμονίδης Ὑψήνορα δῖον,
Υἱὸν ὑπερθύμου Δολοπίονος, ὅς ῥα Σκαμάνδρου
Ἀρητὴρ ἐτέτυκτο, θεὸς δ' ὡς τίετο δήμῳ·
Τὸν μὲν ἄρ' Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱὸς,
Πρόσθεν ἕθεν φεύγοντα, μεταδρομάδην ἔλασ' ὦμον,
Φασγάνῳ ἀΐξας, ἀπὸ δ' ἔξεσε χεῖρα βαρεῖαν.
Rom. p. 524. Αἱματόεσσα δὲ χεὶρ πεδίῳ πέσε· τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή.

κη. Δολοπίονά τινα ἱστορῶν Ὅμηρος, ὡς ἀγαθὸν ἱερέα, φησίν· ὅς ῥα Σκαμάνδρου ἀρητὴρ ἐτέτυκτο, θεὸς δ' ὡς τίετο δήμῳ. Ὁ δὲ τοιοῦτος, θεοείκελος ἂν εἴη, καὶ θεοειδής. Οἱ ἀρχαῖοι καὶ ἐν μέσῳ λέξεων ἐπνευμάτιζον καὶ τὰ φωνήεντα, καὶ τὸ ρ. Εὕρηται οὖν ἐν ὑπομνήμασι παλαιῶν τοιαῦτά τινα· ὅτι τοῦ Εὐαίμων τὴν αι δίφθογγον, κἂν ἐκ τοῦ αἷμα γίνεται, ὅμως ψιλοῖ ὁ Ἀσκαλωνίτης, ἵνα κύριον γένηται ὄνομα· ὥσπερ καὶ τὸ [1] Φίλιππος, καὶ Μελάνιππος. Καὶ ἐν αὐτοῖς γὰρ ἐψίλουν τὸ πρὸ τοῦ π δίχρονον, διὰ τὸ κύρια εἶναι, κἂν ἐκ τοῦ ἵππος παράγωνται. Φασὶ δὲ καὶ, ὅτι ἐν τῷ ταλαύρινος, ὃ δηλοῖ τὸν εὔτολμον, καὶ ἰσχυρὸν, Ἀρίσταρχος μὲν ψιλοῖ τὸ ρ, λέγων, οὐ σύνθετον εἶναι σχηματισμὸν, ἀλλὰ ἔννοιαν ἁπλῆν· Τρύφων δὲ ἀρέσκεται, [2] σύνθετον εἶναι τὴν λέξιν παρὰ τὸ ταλαὸν, καὶ τὸ ῥινός. διὸ καὶ ἐδάσυνε τὸ ρ. Λέγουσι δὲ οἱ παλαιοὶ καὶ, ὅτι εἴτε λεκτὸν τὸ ἐπὶ τέλους φωνῆεν, εἴτε καὶ παρέλκει, φυλαττέσθω τὸ πνεῦμα. καὶ ὅτι εὕρηται [3] τὸ Πάνορμος, δασυνόμενον, καὶ τὸ μελιηδὴς οἶνος. καὶ ὅτι κακῶς
Baſ. p. 397. δασύνουσί τινες τοῦ Ἐνυὼ τὸ υ. Ἄμεινον γάρ φασι ψιλοῦν, διότι οὐκ ἔστι κύριον, ἀλλὰ τὴν πολεμικὴν δηλοῖ, ἀφ' ἧς καὶ ὁ Ἐνυάλιος· ἢ καὶ διότι ἀπὸ τοῦ ἐναίειν γίνεται, κατὰ Ἀπολλόδωρον, ὅ ἐστιν ἐμφωνεῖν· ἢ, ὡς ὁ Ἡρακλέων φησίν, [4] ἀπὸ τοῦ ἔνω τὸ φονεύω. ὅθεν καὶ αὐθέντης, καὶ αὐθέντης ὁ αὐτοφόντης. Εὕρηνται δὲ λέγοντες οἱ παλαιοὶ καὶ, ὅτι ἡ ἁλὸς γενικὴ ἐπὶ μὲν κυρίων ὀνομάτων συνθέτων, ψιλὸν ἀποφέρεται πνεῦμα, οἷον Εὐρύαλος. Ἀστύαλος· ἐπὶ δὲ ἐπιθετικῶν, τὸ ἴδιον τηρεῖ πνεῦμα, οἷον, ἐν ἀμφιάλῳ Ἰθάκῃ. [5] ὕφαλος. πάραλος. καὶ ὅτι τὸ ἄεκων δασύνει τὸ ε. στέρησις γάρ ἐστι τοῦ ἑκόντος, καὶ ἐξ αὐτοῦ κατὰ κρᾶσιν τὸ ἄκων. Ἀπὸ γοῦν τῶν τοιούτων, καὶ ἑτέρων δὲ πλειόνων, σημειούμεθα, ὡς οἱ ἀρχαῖοι, οὐ μόνον ἐν ταῖς ἀρχαῖς τῶν λέξεων τὸ ρ στοιχεῖον, καὶ τὰ φωνήεντα ἐπνευμά-

Eurypylus verò Euæmonides Hypſenora divinum,
Filium magnanimi Dolopionis, qui Scamandri
Sacerdos erat, deique inſtar a populo honorabatur:
Hunc igitur Eurypylus, Euæmonis clarus filius,
Ante ſe fugientem, in ipſo curſu percuſſit in humero,
Enſe impetum faciens, manumque gravem abſcidit,
Sanguinolenta autem manus in campum cecidit, ejuſque oculos
Occupavit mors, & fatum violentum.

XXVIII. Dolopionem quemdam memorat Homerus, veluti bonum, ac præſtantem ſacerdotem, in illis verbis: *qui Scamandri ſacerdos creatus erat, deique inſtar a populo honorabatur*. Vir autem iſtiuſmodi, dici poſſet θεοείκελος, *ſimilis deo*, & θεοειδὴς, *formâ divinâ præditus, ſeu deum referens*. Priſci vel in mediis vocibus tum vocales, tum litteram ρ ſpiritibus afficiebant. Quippe in veterum commentariis hæc iſta reperta ſunt: ut ſcilicet diphthongum αι τοῦ Εὐαίμων, *Euæmon*, tametſi id oritur ab αἷμα, *ſanguis*; tamen tenuat Aſcalonita, ut nomen ſit proprium: ſicuti etiam τὸ Φίλιππος, *Philippus*, & Μελάνιππος, *Melanippus*. Nam & in iis nominibus ancipitem litteram ante τὸ π tenuabant, eo quia erant propria, tametſi ab ἵππος, *equus*, deducerentur. Tradunt etiam, in τῷ ταλαύρινος, quæ vox audacem ac fortem ſignificat, tenuari ab Ariſtarcho τὸ ρ, eo quòd hic velit, non eſſe nomen formæ compoſitæ, ſed ſimplicis notionis; Tryphoni verò placere, compoſitam eſſe hanc vocem ex ταλαὸν, *miſerum, ſive ærumnoſum*, & ῥινὸς, *pellis*; ideoque ab eo denſatum τὸ ρ. Addunt veteres, ſervandum eſſe ſpiritum, ſive exprimenda in fine ſit vocalis, ſive ea abundet, ac ſuperfluat. Ad hæc, eum adſpiratione prolatum inveniri τὸ Πάνορμος, *Panhormus*, & τὸ μελιηδὴς οἶνος, *vinum mellitum, ſeu melleâ dulcedine præditum*. Deinde perperam eum adſpiratione a nonnullis efferri τὸ υ τοῦ Ἐνυὼ, *Enyo*. Præſtat enim, inquiunt, id tenuare, quia non eſt nomen proprium; ſed deam bellicam, ſeu Bellonam, ſignificat, a qua dictus etiam ὁ Ἐνυάλιος, *Enyalius, deus bellicus*: aut etiam quia, ſecundùm Apollodorum, fit a verbo ἐναίειν, hoc eſt, ἐμφωνεῖν, *inclamare*; ſive, ut ait Heracleon, ab ἔνω, hoc eſt, occido. unde αὐθέντης, & αὐθέντης, homicida ſui, ſeu qui ſuâ ipſe manu ſe occidit. Reperti ſunt quoque de veteribus, qui doceant, genitivum ἁλὸς, *maris*, in nominibus quidem propriis compoſitis tenuem ſpiritum referre, cujuſmodi ſunt Εὐρύαλος, *Euryalus*, Ἀστύαλος, *Aſtyalus*; in adjectivis verò nominibus ſpiritum ſuum ſervare, cujuſmodi ſunt, ἐν ἀμφιάλῳ Ἰθάκῃ, *in Ithacâ a mari circumdatâ*. ὕφαλος, *mari ſubmerſus, vel marinis ſub aquis deliteſcens*. πάραλος, *maritimus*. Denſari item τὸ ε in ἄεκων, *invitus*. Eſt enim privatio τοῦ ἑκόντος, *volentis, ac facientis ſponte*; & ex eo per craſin τὸ ἄκων, *nolens, ſeu invitus*. Ex iis igitur, aliiſque pluribus obſervamus, priſcos homines non ipſarum tantùm vocum initio; ſed etiam ubicumque, litteram ρ, ac

1. Φίλιππος, καὶ Μελάνιππος) Scribe, Φίλιππος καὶ Μελάνιππος. Polit.

2. σύνθετον εἶναι τὴν λέξιν παρὰ τὸ ταλαὸν, καὶ τὸ ῥινός) Etymologici Magni Auctor: ταλαύρινον, πολὺν ὑπομενετικὸν ἐν τῇ μάχῃ. παρὰ τὸ ταλαὸν, καὶ ῥινὸν γίνεται σύνθετον. Politus.

3. τὸ Πάνορμος, δασυνόμενον) In veteribus inſcriptionibus invenitur *Euhodus*, nomen proprium, cum aſpiratione in medio, quia eſt ab ὁδός. Latinis etiam ſcribitur *Prohœmium*, ab οἴμη. via. Salvinus.

4. ἀπὸ τοῦ ἔνω τὸ φονεύω) Ab ἔνω, *occido*, ἐναρίζω, derivantur ἔντεα, *arma*. Hom. κεῖτ' ἔντεα, καὶ μέλαν αἷμα. Salvin.

5. ὕφαλος) Sic etiam ἀγχίαλος, & πλησίαλος. Politus.

ν, ac voceles ſpiritibus ſuis affeciſſe. Quippe Attici, ut ait Athenæus, circumflectebant ſimul, ac denſabant ultimam τῦ ταῶς, pavo: ſicuti e contrario tenuabant ultimam τῦ λαός, populus, κριός, aries, ἰός, ſagitta, ſeu rubigo, aliarumque vocum ſimilium. Herodianus autem de ſpiritu, quo, ut dictum eſt, notari debet vox hæc Φίλιππος, Philippus, ſeu equorum amans, ſententiam refert Grammaticorum, a quibus ipſe tamen diſſentit, qui quidem Grammatici enunciandum eſſe cenſent Φίλιππον, Philippum, cum ſpiritu tenui, ſi eſt nomen proprium; cum adſpiratione verò, ſi epitheton, ſeu nomen adjectivum: quum hi penitus ignorent, poſſe utrumque uno eodemque ſpiritu notari, atque affici. Etenim λεύκιππος, equos habens albos, dicitur apud Steſichorum adjectivè. Sed & Λεύκιππος, Leucippus, ſimiliter nominatur pater Phœbes, & Helairæ. Quamobrem in utroque hoc nomine, & non tantùm in proprio, donat ipſe ſpiritu tenui primam τῦ ἵππος, equus. Extat etiam apud Sophoclem exemplum nominis hujus adjectivi, λευκίππος, habens equos albos, ubi ſic ait: λεύκιππος Αἰνιὰν γένος. habens equos albos Ænian genere. quod ſanè, ſicuti ex εἷμα, indumentum, ſeu veſtimentum, dicitur λευχείμων, albis veſtibus indutus; ſic & ipſum ex ἵππος, equus, communiùs diceretur λεύχιππος, leuchippus.

XXIX. Quemadmodum τὸ ἐπιτροχάδην, citatim, velociter, curſim, de linguâ, ut alicubi dictum eſt de Menelao; ita τὸ μεταδρομάδην, inter currendum, ac perſequendum, de pedibus, ut hoc loci: μεταδρομάδην ἤλασεν ὦμον. inter currendum percuſſit in humero. Et obſerva, ut, quamvis ambæ hæ voces ſimilem quodammodo paragogen, ac derivationem habeant; tamen diverſa eſt earum ſignificatio. Etſi enim idem eſt τρόχος, atque δρόμος, curſus; tamen ecce tibi linguæ eſt τὸ ἐπιτροχάδην, curſim, citatim, celeriter; pedum verò τὸ ἐπιδρομάδην, inter currendum, atque inſequendum. Atque ita etiam τὸ πανοῦργος, callidus, verſutus, fraudulentus, is, qui prompto eſt paratoque ingenio ad quidlibet agendum, & τὸ πανεργὸς, rerum omnium apifex, ſeu mundi totius ædificator, tametſi utrobique vox eadem ineſt, nimirum τὸ ἔργον, res, opus; tamen apud poſteriores habent differentiam. Quamquam Sophocles, cum Ulyſſem, hominem vocat πανοῦργον, vafrum, ac verſipellem, in eadem ſignificatione utrumque accipere videatur. Quo loci ait: ἀπὸ δ' ἔξεσε χεῖρα βαρεῖαν. Αἱματόεσσα δὲ χεὶρ πεδίῳ πέσε. Abſciditque manum gravem. Sanguinolenta autem manus in campum cecidit; τὸ ἀπέξεσεν, ubraſit, ſumptum eſt pro ῥᾷστα ἀπέκοψε, facillimè abſcidit. Facilius eſt enim radere, quàm ſcindere. Idque etiam dicitur ἀπαράσσειν, amputare. Purpuream Homerus mortem vocat, non eam modò, quæ eſt ex ſanguine, ac cæde,

ματίζον, ἀλλὰ καὶ ὁπηδήποτε. [1] Οἱ γοῦν Ἀττικοὶ καὶ, ὡς Ἀθήναιός φησι, τοῦ ταῶς τὴν λήγουσαν περιέσπων τε, καὶ ἐδάσυνον· ὥσπερ αὖ πάλιν τοῦ λαοῦ, κριοῦ, ἰοῦ, καὶ τῶν ὁμοίων, τὰ τέλη ἐψίλουν. Ἡρωδιανὸς δὲ περὶ τοῦ, ὡς ἐῤῥέθη, κατὰ τὸ Φίλιππον πνευματισμοῦ νοήσας ἑτεροῖόν τι, φησὶν, ὅτι Φίλιππον μὲν τὸ κύριον, ἀξιοῦσιν οἱ Γραμματικοὶ ψιλῶς λέγεσθαι· δασέως δὲ τὸ ἐπίθετον· ἀγνοοῦντες, ὅτι καθ' ἓν ἑκάτερα δύνανται εἶναι. Καὶ γὰρ [2] λεύκιππος λέγεται παρὰ Στησιχόρῳ ἐπιθετικῶς. Ἀλλὰ καὶ Λεύκιππος ὀνομάζεται ὁμοίως ὁ Φοίβης, καὶ [3] Ἐλαείρας πατήρ. ὥστε ψιλοῖ αὐτὸς ἐν ἀμφοῖν τούτοιν τοῦ ἵππος τὴν ἄρχουσαν, καὶ οὐκ ἐν μόνῳ τῷ κυρίῳ. Χρῆσις δὲ τοῦ ἐπιθετικοῦ λευκίππου καὶ παρὰ Σοφοκλεῖ, ἐν τῷ, λεύκιππος Αἰνιὰν γένος. ὃ, καθὰ [4] ἐκ τοῦ εἷμα λευχείμων, οὕτω καὶ αὐτὸ ἐκ τοῦ ἵππος, [5] λεύχιππος ἂν ἦν κοινότερον.

κθ'. Τὸ μὲν, [6] ἐπιτροχάδην, ἐπὶ γλώσσης, ὡς που ἐπὶ Μενελάου εἴρηται· [7] τὸ δὲ μεταδρομάδην, ἐπὶ ποδῶν, ὡς ἐνταῦθα· μεταδρομάδην ἤλασεν ὦμον. Καὶ σημείωσαι, ὅπως, εἰ καὶ ὁμοίαν πως ἔχουσιν αἱ λέξεις ἄμφω παραγωγὴν, ἀλλὰ τὸ σημαινόμενον αὐταῖς διάφορον. Εἰ γὰρ καὶ τρόχος, καὶ δρόμος ταυτὸν, ἀλλ' ἰδοὺ γλώσσης μὲν, τὸ ἐπιτροχάδην· ποδῶν δὲ, τὸ ἐπιδρομάδην. Οὕτω καὶ τὸ πανοῦργος, καὶ τὸ πανεργὸς, εἰ καὶ λέξις ἡ αὐτὴ ἀμφοῖν ἔγκειται, τὸ ἔργον δηλαδὴ, ἀλλ' ἔχουσι διαφορὰν παρὰ τοῖς ὕστερον. εἰ καὶ [8] Σοφοκλῆς, ἄνδρα πανοῦργον τὸν Ὀδυσσέα εἰπὼν, εἰς ταυτὸν ἄγειν δοκεῖ ἑκάτερα. Ἐν τῷ, ἀπὸ δ' ἔξεσε χεῖρα βαρεῖαν. Αἱματόεσσα δὲ χεὶρ πεδίῳ πέσε· τὸ ἀπέξεσεν, ἀντὶ τοῦ ῥᾷστα ἀπέκοψεν εἴληπται. ῥᾷον γὰρ τὸ ξέειν τοῦ κόπτειν. τοῦτο δὲ καὶ ἀπαράσσειν λέγεται. Πορφύρεον Ὅμηρος θάνατον λέγει, οὐ μόνον [9] τὸν ἐξ αἵματος, [10] ἢ τὸν μέλανα, ὡς καὶ κῦμα πορφύ-

1. Οἱ γοῦν Ἀττικοὶ καὶ, ὡς Ἀθήναιός φησι, τοῦ ταῶς τὴν λήγουσαν περιέσπων τε, καὶ ἐδάσυνον) Athenæus lib. 9. c. 12. Ταὼς δὲ λέγουσιν Ἀθηναῖοι, ὥς φησι Τρύφων, τὴν τελευταίαν συλλαβὴν περισπῶντες, καὶ δασύνοντες. καὶ ἀναγινώσκουσι μὲν οὕτως παρ' Εὐπόλιδι ἐν Ἀστρατεύτοις· τρέφεσθαι δὲ τὸ μαρτύριον. Eupolidis locum paulò ante Athenæus hunc adduxerat: μὴ ποτε θρέψαι παρὰ Περσεφόνῃ τοιοῦτο ταὧν, ὃς τοὺς εὕδοντας ἐγείρει. Sic quidem legebant Attici. Politus.

Sic ταὧς cum ſpiritu denſo in ultimâ, apud Latinos factus eſt pavus, ſeu pavo. ut ἑςία, Veſta. ἕσπερος, veſper. Salvinus.

2. λεύκιππος λέγεται παρὰ Στησιχόρῳ) Referendum & hoc in Fragmenta Steſichori. Polit.

3. Ἐλαείρας) quæ Apollodoro Athenienſi lib. 3. Bibliothecæ Ἱλάειρα, itidemque Pauſaniæ, & Stephano. Polit.

4. ἐκ τοῦ εἷμα λευχείμων) Etymologici Magni Auctor: εἷμα, λευχείμων λευχείμονες. Polit.

5. λεύχιππος ἂν ἦν) l. λεύχιππος. Polit.

6 ἐπιτροχάδην, ἐπὶ γλώσσης) Etymologici Magni Auctor: ἐπιτροχάδην ἀγόρευε· ἀντὶ τοῦ ἐσπευσμένως, ὡς παρατρέχων, ἢ περιφλαμικῶς, ὃ ταχέως. Polit.

7. τὸ δὲ μεταδρομάδην, ἐπὶ ποδῶν) Etymologici Magni Auctor: μεταδρομάδην, ὑποδραμών· ὃ ἐν τῷ τρέχειν ὁμοῦ. Polit.

8. Σοφοκλῆς, ἄνδρα πανοῦργον τὸν Ὀδυσσέα εἰπὼν, εἰς ταυτὸν ἄγειν δοκεῖ ἑκάτερα) Suidas: Πανοῦργοι, πάντα πράττοντες, καὶ μηδὲν ὑποστελλόμενοι. ὁ πανοῦργος, καὶ ἀναιδής. Σοφοκλῆς· ἐστὶ πανούργου φρένας Ἐρρωμένον, ἀνδρὸς τοῦδ' ἀνάσσοντος κρατεῖν. Polit.

9. τὸν ἐξ αἵματος) Hinc & ipſe ſanguis purpureus. ρ' Il. αἷμα τε δὲ χθὼν δεύετο πορφυρέῳ. Plinius lib. 9. cap. 38. de purpurâ: Laus ei ſumma, color ſanguinis concreti, nigricans adſpectu, idemque ſuſpectu refulgens. Unde & Homero purpureus dicitur ſanguis. Politus.

Purpureus color ſatur in nigrum vergit. Salvinus.

10 ἢ τὸν μέλανα) Scholiaſtes Homericus: πορφύρεος, μέλας, ὁ διὰ αἵματος. Heſychius: πορφύρεος θάνατος, ὁ μέλας, καὶ βαθὺς, καὶ ταραχώδης. Etymologici Magni Auctor: πορφύρεον θάνατον λέγουσι τὸν μέλανα· καὶ κῦμα πορφύρεον, τὸ μέλαν. Polit.

φύρεον, ἀλλὰ καὶ τὸν ἐκ μιᾶς πληγῆς, ὡς καὶ ὁ Αἰλιανός φησιν, ἱστορῶν, τοὺς πορφυρέας [1] μιᾷ καταφορᾷ χειρὸς τὴν ζῶσαν πορφύραν συντρίβειν, ἵνα καλὸν οὕτω τὸ βάμμα τῆς πορφύρας γένηται. [2] ὅθεν καὶ θάνατος πορφύρεος, ὁποῖον ἂν πάθοι πορφύρα, μιᾷ καὶ αὐτὴ θανατουμένη πληγῇ. Γνωστὸν δὲ ἐξ ἱστορίας ἐστὶν, ὅτι πορφυρεύς τις δολιευσάμε-
Rom. p. 525. νος ἐν βαφῇ, καὶ ἀπαγόμενος εἰς θάνατον κατ' ἔθος, προυκαλέσατό ποθεν, [3] εἰς ἀστεῖον σκῶμμα ἐκ τῶν Ὁμήρου, τὸ, τόνδ' ἔλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή.

Ὣς οἱ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην.
Τυδείδην δ' οὐκ ἂν γνοίης, ποτέροισι μετείη,
Ἠὲ μετὰ Τρώεσσιν ὁμιλέοι, ἢ μετ' Ἀχαιοῖς.

λ'. Ἐμψύχου λόγου, καὶ ἀληθῶς ἐνδιαθέτου, καὶ θερμοῦ ἡ τοιαύτη παρ' Ὁμήρῳ πρὸς τὸν ἀκροατὴν ἀποστροφή· Τυδείδην δ' οὐκ ἂν γνοίης, ποτέροισι μετείη, ἢ μετὰ Τρώεσσιν ὁμιλέοι, ἢ μετ' Ἀχαιοῖς. Καὶ δηλοῦσι, κατὰ τοὺς παλαιοὺς, τὸ βεβακχευμένον τοῦ Διομήδους ἡ τῆς ἑρμηνείας ταύτης θερμότης. Σημείωσαι δὲ καὶ νῦν, ὡς καὶ πρὸ τούτων, ἐν τῷ, οὐδ' ἂν φαίης τόσσον λαὸν, καὶ ἑξῆς, ὅτι ταῖς τοιαύταις ἀποστροφαῖς, μυθικῶς μὲν ἡ Μοῦσα χρῆται πρὸς τὸν Ποιητήν· ἀληθῶς δὲ ὁ Ποιητὴς πρὸς τὸν ἀκροατήν. καὶ ὅτι τὸ, οὐκ ἂν γνοίης τὸν Διομήδην, εἴτε Τρωσὶν ὁμιλεῖ, εἴτε Ἕλλησιν, ἑφερμηνευτικόν ἐστι τοῦ, ὁποτέροισι μετείη. καὶ ὅτι ὁ λόγος οὗτος, ἐνθουσιῶν τὸν στρατηγὸν δηλοῖ, καὶ εἰς βάθος ἐρχεσθαι, ποτὲ μὲν τῶν Τρωϊκῶν τάξεων, ὡς δοκεῖν καὶ αὐτὸν Τρωϊκὸν εἶναι, ποτὲ δὲ τῶν Ἑλληνικῶν, ὀτρύνοντα ταύτας εἰς πόλεμον.

Θῦνε γὰρ ἂμ πεδίον ποταμῷ πλήθοντι ἐοικὼς
Χειμάῤῥῳ, ὅς τ' ὦκα ῥέων ἐκέδασσε γεφύρας.
Τὸν δ' οὔτ' ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσιν,
Οὔτ' ἄρα ἕρκεα ἴσχει ἀλωάων ἐριθηλέων
Ἐλθόντ' ἐξαπίνης, ὅτ' [4] ἐπιβρίσῃ Διὸς ὄμβρος·
Πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε καλ' [5] αἰζηῶν.
Ὣς ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες
Τρώων, οὐδ' ἄρα μιν μίμνον πολέες περ ἐόντες.

λα'. Ἐν παραβολῇ σεμνύνων τὸν τοῦ Διομήδους ἐνθουσιασμὸν, φησίν· Θῦνεν ἀνὰ πεδίον

cæde, aut nigram, ſeu atram, ut eum dicit κῦμα πορφύρεον, *fluctum purpureum*; verùm etiam eam, quæ uno ictu infertur: pariter atque dicit Ælianus, ubi purpurarios piſcatores narrat, unâ manus olliſione vehementiori vivam purpuram conterere, ut pulchra ſic fiat purpuræ ipſius tinctura. Unde & mors purpurea, qualis purpuræ contigerit: quum & uno ipſa ictu occidatur. Notum autem eſt ex hiſtoriâ de infectore quodam purpurario, eum, quòd in tingendi ratione fraudem adhiberet, quum, ob eam fraudem, ad ſupplicium pro more raperetur, in cauſsâ fuiſſe, cur alter quiſquam, inde motus, ſalsè, atque urbanè ei illuderet verbis hiſce Homeri: τὸνδ' ἔλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή.

Purpurea illum mors cepit, violentaque parca.

Sic hi quidem laborabant in acri prælio.
Tydidem verò nequaquam cognoviſſes, utris intereſſet,
Utrum cum Trojanis, an cum Achivis verſaretur.

XXX. Spirantis, verèque ex animi ſententiâ prolatæ, ac fervidæ orationis verba hæc ſunt, quibus Homerus per apoſtrophen avertit ſe ad auditorem ſuum: *Tydidem verò non cognoviſſes, utris intereſſet, utrum cum Trojanis verſaretur, an cum Achivis.* Cujus quidem orationis æſtus, ac vehementia, ex veterum animadverſione, apertè oſtendit, quàm furiosè debacchatus fuerit Diomedes. Et nunc etiam, ut & ſupra, quo loci ait: οὐδ' ἂν φαίης τόσσον λαὸν, &c. *Neque dixiſſes tantum exercitum*, &c obſerva, cum hoc modo avertitur per apoſtrophen oratio, fabulosè quidem Muſam verba facere ad Poëtam; ſed reverâ ſic loqui Poëtam ad auditorem. Deinde illud: οὐκ ἂν γνοίης τὸν Διομήδην, εἴτε Τρωσὶν ὁμιλεῖ, εἴτε Ἕλλησι. *neque Diomedem cognoviſſes, utrum cum Trojanis, an verò cum Græcis verſaretur*; valet ad explicandum, quis ſit ſenſus illorum verborum: ὁποτέροισι μετείη. *utris intereſſet*. Hæc iſta denique oratio oſtendit, ducem illum militarem fanatico veluti furore incitatum fuiſſe, & a fronte in medium penetraſſe, nunc Trojanorum ordinum, ita ut ipſe Trojanus eſſe videretur, nunc Græcorum, ut ad pugnam eos urgeret, atque cohortaretur.

Currebat enim per campum, fluvio inundanti ſimilis
Torrenti, qui velociter fluens pontes diſſipat.
Hunc neque pontes muniti coërcent,
Neque ſepta retinent vinearum perquam virentium
Derepente venientem, cum Jovis imber ingruerit:
Multaque ab eo egregia juvenum opera diruuntur.
Sic a Tydide denſæ phalanges turbabantur
Trojanorum, neque eum ſuſtinebant, quamvis eſſent multi.

XXXI. Diomedis furorem comparatione extollit, atque exornat, in hæc verba: *Currebat per*

1. μιᾷ καταφορᾷ χειρὸς) Ælianus lib. 16. de Animalib. c. 1. μιᾷ λίθου καταφορᾷ. Politus.

Uno lapidis ictu. Nam ſi ſecundo ictu petatur, propter agitationem doloris, vana, & inutilis tinctura eſt, ſi Æliano credimus. quare Homerum dixiſſe refert, purpureâ morte illos captos eſſe, qui uno ictu uccumbunt. Salvinus.

2. ὅθεν καὶ θάνατος πορφύρεος, ὁποῖον ἂν πάθοι πορφύρα) Ælianus: ταῦτά τοι καὶ Ὅμηρος εἰδὼς, φησί. καὶ τοὺς ἀποθνήσκοντας ἀθρόως μιᾷ πληγῇ, τῷ τῆς πορφύρας θανάτῳ καταλαμβάνεσθαί φησι, καὶ γινόμενον ἐν τοῖς ἐπιτῶ μάχαις ἀναιρεθέντων ἕκαστος· Ἔλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή. Polit.

3. εἰς ἀστεῖον σκῶμμα ἐκ τῶν Ὁμήρου) Dictum hoc Diogenis Cynici inter ceteras ejus faceriſſimas ex Homero parodias refert Laërtius in purpurarium furem manifeſtò deprehenſum: θεωρούμενος ποτὲ πορφυροπλεύστην περιφερόμενον, ἔφη· Ἔλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή. Salvinus.

Aliam parœdiam, atque hiſtoriam refert ex Athenæo Euſtathius ad lib. ά. Il. pag. 1023. Εἰς δὲ τὸ, πορφύρεος θάνατος, ἐνθυμητέον τὸν Ἀθήναιον ἱστοροῦντα, ὅτι, γράψαντος Ἀλεξάνδρου εἰς Ἰωνίαν καὶ πρώτοις Χίοις, ὅπως αὐτῷ πορφύραν ἀποστείλωσιν, ἀναγνωσθείσης τῆς ἐπιστολῆς, παρὼν Θεόκριτος ὁ σοφὸς, ἔφη, νῦν συνίημι τὸ παρ' Ὁμήρῳ εἰρημένον· Ἔλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή· αἰνιττόμενος ἐκεῖνος πορφύρεον θάνατον, ἢ διὰ ταχύτητα αἱ πορφύραι διὰ τὴν ἐξ αὐτῶν βαφὴν, ἢ καὶ ὅτι θανατηρά πάσχουσιν αἱ πορφυρίδες, ὅ τι ποιηθῶσιν περὶ τὴν ἄγραν τῆς πορφύρας. τὸ δ' ὅμοιον καὶ οἱ βάπται, ὅ τι βλάπτουσι τὰς πορφυρίδας. Dictum idem Homeri ad molliores feminas, quæ purpureis veſtibus plus omnio efficerentur, pulcherrimè aptavit Clemens Alexandrinus Pædagogi lib. 2. καὶ ἄνω αὐτὰς περὶ τὰς μεμαγμένας ταύτας, καὶ ἄβρας ἀληθῶς πορφύρας, κατὰ τὸ ποιητικὸν ἐκεῖνο, Ἔλαβε πορφύρεος θάνατος. Politus.

4. ἐπιβρίσῃ) Euſtathius ἐπιβρίσει. Polit. ἐρείσαις. Salvin.

5. αἰζηῶν) Hæc ego quondam in Homero meo adnotaveram: Editio Florentina αἰζηῶν ſine ἰ ſubſcripto. Quæ vera eſt ſcriptura. Eſt enim αἰζηὸς παρὰ τὸ ἀεὶ, καὶ τὸ ζῶ, αἰζηὸς, & per incrementum τοῦ ἰ, αἰζηός. Nec probo Apollonium, qui adſcribebat τὸ ἰ, perinde quaſi facta eſſet ea vox ex αἰζήιος. Politus.

Ita Etymologus in voce Αἰζηὸς rationemque addit, propterea quòd, ſi ab αἰζήιος eſſet αἰζηὸς, deberet circumflecti penultima, ut ab Acheloius Ἀχελῷος. Salvinus.

per campum, fluvio inundanti ſimilis torrenti, qui celeriter fluens, pontes diſſipat. Hunc neque pontes muniti coërcent, neque ſepta vinearum perquam virentium retinent derepente venientem, quandocumque Jovis imber ingruat, multaque ab eo egregia juvenum opera diruuntur. Sic a Tydide denſæ Trojanorum phalanges turbabantur, neque profecto ipſum ſuſtinebant, quamvis eſſent multi. Ubi ſciendum, Diomedem, ob fortia illa ad tempus facinora, non perenni flumini, ſed torrenti, aſſimilari: itemque illis verbis: ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος, cum Jovis imber ingruet, pluvia videlicet ex aëre, definitionem torrentis contineri, ſumptam ex ejus materiâ. Quid eſt enim torrens, niſi prorſus imber derepente veniens, & fortuitò fluens, quocumque id eveniat, ut quis dixerit, tempore? tametſi ex eo, quòd frequentiùs in hyeme accidit, appellatus ſit χείμαρρος, hyeme fluens, ut ſupra quoque dictum eſt. Immo & Heſiodus χείμαρρον, torrentem, vocat paxillum, ſeu clavum, in fundo navis poſitum, qui dicitur etiam ἴβδης. Idque lepidè facit, atque urbanè, eo quòd aqua pluvialis, per quemdam veluti torrentem, inde e navi defluat. Cautè admodum, & procul periculo erroris dictum illud: ὅτ' ἐπιβρίσῃ. quando magno cum pondere ingruet. Non enim certè pluit, cum leves ſunt præ calore ſuperiores vapores: ſed, calore deficiente, ii coguntur, ac condenſantur; itaque graves, atque onuſti, deorſum verſum feruntur. Τὸ πλήθειν, plenum eſſe, idem eſt, atque τὸ πλημμύρειν, inundare. Ex verbo enim πλήθω, impleo, ſeu plenus ſum, tum derivatur ἡ πλήμη, maris inundatio, ſeu alluentis maris æſtus, apud Geographum, tum quæ inde dicitur ἡ πλημμύρα, exundatio maris, ſive æſtuantis maris acceſſus, maris affluxus. Vide præterea, ut non eâ, quâ ſolet, figurâ comparationem iſtam effert, ut ſi, exempli cauſſâ, diceret: ἠΰτε χείμαρρος. ceu torrens. aut, ὡς δ' ὅτε. veluti quando: ſed ſine hujuſcemodi adverbio exorditur in hunc modum: Ἔθυνε, ποταμῷ ἐοικώς. Currebat, flumini ſimilis. Et obſerva etiam nunc τὸ ἐοικώς, ſimilis. Hinc enim poſteriores comparationem ipſam appellant εἰκόνα, iconem, imaginem, ſimilitudinem. Τὸ, ὦκα ῥέων, velociter fluens, cauſſam habet, cur pontes, atque ſepta diſſipentur. Aquæ enim, quæ ſic velociter fluunt, obvia quæque diſtrahere poſſunt, atque evertere. Verbi autem κεδάζω, diſſipo, ſeu diſpergo, ex quo τὸ ἐκέδασε, diſſipat, primitivum eſt τὸ κεδῶ, diſſipo, diſper-

θύνε, ποταμῷ πλήθοντι ἐοικὼς χειμάῤῥῳ, ὅστ' ὦκα ῥέων, ἐκέδασσε γεφύρας. Τὸν δ' οὔτ' ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσιν, οὔτ' ἄρα ἕρκεα ἴσχει ἀλωάων ἐριθηλέων ἐλθόντ' ἐξαπίνης, ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος· [1] πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε καλ' αἰζηῶν. Ὣς Baſ. p. 398.
ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες Τρώων, οὐδ' ἄρα μιν μίμνον, πολέες περ ἐόντες. Ἰστέον δὲ, ὅτι τε, διὰ [2] τὴν καιρικὴν ἀνδραγαθίαν, οὐκ ἀεννάῳ τὸν Διομήδην ᾔκασε ποταμῷ, ἀλλὰ χειμάῤῥῳ· καὶ ὅτι τὸ, ὅτε ἐπιβρίσῃ Διὸς ὄμβρος, ἤτοι ὁ ἐξ ἀέρος ὑετὸς, ὁ ἐξ ὕλης ὁρισμός ἐστι τοῦ χειμάῤῥου. Τί γάρ ἐστι χείμαῤῥος, ἢ πάντως [3] ὄμβρος ἐλθὼν ἐξαπίνης, καὶ ῥέων, ὅπῃ τύχῃ, καθ' οἷον ἄν τις εἴπῃ καιρόν; εἰ καὶ ἐκ τοῦ πλεονάζειν ἐν χειμῶνι, χείμαῤῥος ἐκλήθη, ὡς καὶ προεῤῥέθη. Ἡσίοδος δὲ καὶ τὸν ἐν τῷ ἐδάφει τοῦ πλοίου πάσσαλον, [4] χείμαῤῥον καλεῖ, τὸν καὶ ἴβδην λεγόμενον. Ποιεῖ δὲ τοῦτο ἀστείως, διὰ τὸ ἐκεῖθεν τῆς νηὸς ἀποῤῥεῖν τὸ ὄμβριον ὕδωρ, ὡς διὰ χειμάῤῥου τινός. Τὸ δὲ, [5] ὅτ' ἐπιβρίσῃ, πάνυ ἀσφαλῶς εἴρηται. Ὅταν μὲν γὰρ κοῦφαι ὦσιν ὑπὸ θερμότητος οἱ ἄνω ἀτμοὶ, οὐχ ὕει· [6] ἐπιλειπούσης δ' αὐτῆς, πιλοῦνται, καὶ βρίθοντες κάτω φέρονται. Τὸ δὲ πλήθειν ταυτόν ἐστι τῷ πλημμύρειν. Ἐκ γὰρ τοῦ πλήθω ῥήματος [7] ἥ τε παρὰ τῷ Γεωγράφῳ πλήμη γίνεται, [8] καὶ ἡ ἐξ αὐτῆς πλημμύρα. Ὅρα δὲ καὶ, ὅπως οὐ συνήθως ἐσχημάτισε τὴν παραβολήν. οἷον, ἠΰτε χείμαῤῥος. ἢ, ὡς δ' ὅτε· ἀλλὰ δίχα τοιούτου ἐπιῤῥήματος ἤρξατο, εἰπών· Ἔθυνε, ποταμῷ ἐοικώς. [9] Καὶ σημείωσαι καὶ νῦν τὸ ἐοικώς. Ἐκ τούτου γὰρ εἰκόνα οἱ ὕστερον λέγουσι τὴν παραβολήν. [10] Τὸ δὲ, ὦκα ῥέων, τὸ αἴτιόν ἐστι τοῦ τὰς γεφύρας, καὶ τὰ ἕρκη σκεδάζεσθαι. Τὰ γὰρ οὕτως ὠκὺ ῥέοντα ὕδατα, κατασύρειν ἔχουσι τὰ παραπίπτοντα. Τοῦ δὲ κεδάζω, ἐξ οὗ τὸ ἐκέδασε, πρωτότυπον τὸ κεδῶ, [11] ὃ πα-

1. πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε καλ' αἰζηῶν) Virg. Georg. l. 1 ruit arduus æther, Et pluviâ ingenti ſata læta, boumque labores Diluit. Salvinus.

2. τὴν καιρικὴν) τὴν καίριον. Polit.

3. ὄμβρος ἐλθὼν ἐξαπίνης, καὶ ῥέων) Virg. ibid. implentur foſſæ, & cava flumina creſcunt Cum ſonitu. πλήθουσι. Salvinus.

4. χείμαῤῥον καλεῖ, τὸν καὶ ἴβδην λεγόμενον) Euſtathius ad I. λ'. Il. δηλοῖ δ', ὅτι καὶ πλοίου περὶ τὸ ἔδαφος πάσσαλος, χείμαῤῥος λέγεται, ὁ ἰδιωτικώτερον καλούμενος ἴβδης· ὃς ἐξαιρούμενος, ὅταν ἐξ ἰκμάδος πίεζηται Διὸς ὄμβρῳ, κατὰ Ἡσίοδον. Eumdem χείμαῤῥον, alii vocant ἴβδαιον. Tzetzes ad Heſiodum: χείμαῤῥος λέγεται ὁ πάσσαλος ὁ ἀπὸ τοῦ ξύλου, οὗ ἐξαιρουμένου τὸ ὕδωρ προχωρεῖ. καλεῖται δὲ καὶ ἴβδαιος. Heſiodi verſus hic eſt:

Χείμαῤῥον ἐξερύσας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος.

Politus.

5. ὅτ' ἐπιβρίσῃ) Virg. Æneid. 3. Tum mihi cæruleus ſupra caput aſtitit imber. ἐπιβρίσει. Salvinus.

6. ἐπιλειπούσης δ' αὐτῆς, πιλοῦνται, καὶ βρίθοντες κάτω φέρονται) Ariſtoteles Meteorolog. lib. 1. c. 9. τῆς δὲ θερμότητος ἀπολειπούσης τῆς ἀναγούσης αὐτὸ (τὸ ὑγρὸν) καὶ τῆς μὲν διασκεδαννυμένης πρὸς τὸν ἄνω τόπον, τῆς δὲ καὶ σβεννυμένης διὰ τὸ μετεωρίζεσθαι πορρώτερον εἰς τὸν ὑπὲρ τῆς γῆς ἀέρα, συνίσταται πάλιν ἡ ἀτμὶς ψυχομένη διά τε τὴν ἀπόλειψιν τοῦ θερμοῦ, καὶ τὸν τόπον, καὶ γίνεται ὕδωρ ἐξ ἀέρος· γενόμενον δὲ φέρεται πάλιν πρὸς τὴν γῆν. Politus.

7. ἥ τε παρὰ τῷ Γεωγράφῳ πλήμη) Geographus lib. 3. p. 143. Καὶ αἱ σύῤῥοιαι δὲ ὡσαύτως ὠφελοῦσι κατὰ τὰς ἐπιπολὰς πλήμας, καὶ διειργομένας ὑπὸ τῶν διειργόντων ἰσθμῶν τοὺς πόρους, καὶ πλωτοὺς ἀπεργαζομένων. Suidas: πλήμη, ἡ πλημμύρα τῆς θαλάσσης. Quidam tamen veterum in hoc ſignificatu ſcribi maluerunt πλήμμη. Politus.

8. καὶ ἡ ἐξ αὐτῆς πλημμύρα) Etymologici Magni Auctor: πλημμύρω πλημμυρίς. παρὰ τοῦ πλήθω πλήσω, πλήμη, καὶ πλημμύρα. Politus.

9 Καὶ σημείωσαι καὶ νῦν τὸ ἐοικώς) Iliad. α'. ὁ δ' ἤϊε νυκτὶ ἐοικώς. nocti conſimilis ibat. Salvinus.

10. Τὸ δὲ, ὦκα ῥέων, τὸ αἴτιόν ἐστι τοῦ τὰς γεφύρας, καὶ τὰ ἕρκη σκεδάζεσθαι) Virg. pontem indignatus Araxes. Salvinus.

11. ὃ παρήγαγον καὶ τὸ κεδάω) Ut αἰτιάζω derivatum ab αἰτιάω: ſic κεδάζω ἀπὸ τοῦ κεδάω, κεδῶ. cujus primitivum fortaſſe Euſtathius intelligit κέω, quaſi a χέω, fundo, diſpergo, per epentheſin τοῦ δ', & mutationem aſpiratæ in tenuem.

παράγωγον καὶ τὸ κεδάω. [1] Γίνεται δέ, φασιν, ἀπὸ τοῦ χέω. ἴσως δὲ καὶ παρὰ τὸ κεάσαι. ὡς τό, [2] διά τε ξύλα πολλὰ κεάσαι. Λέγεται δὲ καὶ σὺν τῷ σ' σκεδάζω, καὶ δίχα
Rom p 526. τοῦ σ', κεδάζω, καθ' ὁμοιότητα τοῦ μικρὸς σμικρός· σῦς ὗς, καὶ τῶν ἄλλων, ἃ προδεδήλωται.

λβ'. Σημείωσαι δὲ καί, ὅτι, ὥσπερ ὁ χείμαῤῥος τὰς πυκνάς, καὶ συνεχεῖς γεφύρας τὰς χειροκμήτους, οὕτω καὶ ὁ Διομήδης τὰς λεγομένας τοῦ πολέμου γεφύρας ἐσκέδασε, καὶ συνέχεε. Τίνες δέ εἰσιν αἱ τοῦ πολέμου γέφυραι, προείρηται ἀλλαχοῦ. Ὅρα δὲ καί, ὅτι τό, ἐσκέδασε γεφύρας, ἑρμηνεύων σαφέστερον, ἐπάγει· ὃν οὔτε γέφυραι ἐεργμέναι, ἤγουν κατησφαλισμέναι, ἰσχανόωσιν, [3] ἤτοι ἐπέχουσι, κωλύουσιν. οὗ πάλιν ἑρμηνευτικὸν τό, οὔτ' ἂρ ἕρκεα ἴσχει ἀλωάων. Ταυτὸν γὰρ τὸ ἴσχειν, [4] καὶ ἰσχανάαν. ὅπερ παράγεται οὕτω· ἔχω. ἀφ' οὗ ἴσχω· [5] ἐξ οὗ ἰσχαίνω, καὶ ὁ μέλλων ἰσχανῶ. [6] Τοῦτο δὲ μεταχθὲν εἰς ἐνεστῶτα συζυγίας δευτέρας, ποιεῖ τὸ ἰσχανῶ. Ἕρκη δὲ ἀλωῶν, τῶν ἀμπελοφύτων χωρίων τοὺς φραγμοὺς λέγει, Εἶεν δ' ἂν ἕρκη, [7] τὰ εἴργοντα, καὶ ἐέργοντα. ὅθεν καὶ ἐεργμέναι γέφυραι ἄς, διὰ τὸ κατησφαλίσθαι, καὶ πυκνάς ἐστιν εἰπεῖν. ὃ κεῖται οἰκείως, καὶ προσφυῶς ἐν τῇ ἀποδόσει τῆς παραβολῆς, ἥτις ἐστὶ τό, πυκιναὶ κλονέοντο φάλαγγες. ἧς διασαφητικὸν τό, οὐδ' ἄρα μιν μίμνον. Ταυτὸν γὰρ τὸ κλονεῖσθαι, καὶ τὸ μὴ μένειν. Τούτοις δὲ ὅμοιον καὶ τὸ σκεδάζεσθαι τὸ ἐν τῇ παραβολῇ. Καλὰ δὲ ἔργα αἰζηῶν, λέγει καὶ ἄλλα μέν τινα, οἷον οἰκοδομάς, καὶ αὐτὰ δὲ τὰ ἕρκη τῶν ἀλωῶν, καὶ τὰς γεφύρας, οἷς, διὰ τὸ πυκνόν, [8] εἰκάζονται αἱ τῶν Τρώων φάλαγγες. Διό φησι, πυκιναὶ κλονέοντο φάλαγγες. Αἰζηοὺς δὲ καὶ ἐνταῦθα, ἢ τοὺς νέους λέγει, ὡς τοῦ ἐργάζεσθαι νέοις μάλιστα πρέποντος, ἢ ἁπλῶς τοὺς ἄνδρας, [9] ὡς καὶ Ἡσίο-

ſpergo, *diſiicio*. unde etiam per paragogen derivatum τὸ κεδάω, *ſpargo*, *diſpergo*. Oriri ajunt hoc verbum a χέω, *fundo*: immo & fortaſſe a κεάσαι, *findere*, *ſeu dividere*. ut, διά τε ξύλα πολλὰ κεάσαι. *lignaque multa diffindere*. Porro autem & σκεδάζω, *diſſipo*, dicitur cum τῷ σ', & κεδάζω ſine τῷ σ', ſimili prorſus ratione, atque ὁ μικρὸς σμικρός, *parvus*: σῦς ὗς, *ſus*, aliaque hujuſcemodi, quæ ſupra ſunt expoſita.

XXXII. Rurſus, quemadmodum torrens crebros continuoſque pontes, qui manu ſunt ædificati, disjicit, atque diſpergit; ſic etiam obſerva, Diomedem diſſipaſſe, atque confudiſſe eas, quas dicimus, τοῦ πολέμου γεφύρας, *ſemitas*, *viaſque in modum pontium*, *ſeu intervalla ordinum inſtructorum ad pugnam*. Quæ ſint autem αἱ τοῦ πολέμου γέφυραι, *viæ*, *atque exitus ordinum pugnantium*, *veluti quidam ordinum militarium pontes*, alibi ſupra eſt declaratum. Vide præterea, ut, quod dixerat, ἐσκέδασε γεφύρας, *diſſipat pontes*, clariùs poſtea explicat per ea verba, quæ ſubiicit: ὃν οὔτε γέφυραι ἐεργμέναι, videlicet κατησφαλισμέναι, ἰσχανόωσιν, ſive ἐπέχουσι, κωλύουσι. *quem neque pontes muniti*, *munimento videlicet ſepti*, *atque obfirmati*, *reprimunt*, *ſive inhibent*, *impediunt*, *coërcent*. quod lucem rurſus accipit ab his aliis verbis: οὔτ' ἂρ ἕρκεα ἴσχει ἀλωάων. *Neque ſepta retinent vinearum*. Idem namque eſt τὸ ἴσχειν, & ἰσχανάαν, *retinere*, *reprimere*, *cohibere*. quod quidem verbum hoc modo per paragogen deducitur. Ἔχω, *habeo ſeu teneo*. Inde ἴσχω, *teneo*, *ſive inhibeo*: ex quo ἰσχαίνω, *retineo*, & Futurum ἰσχανῶ, *retinebo*. Hoc autem, quum tranſeat in Præſens ſecundæ Conjugationis, facit τὸ ἰσχανῶ, *retineo*, *coërceo*, *reprimo*. Ἕρκη ἀλωῶν, *ſepta vinearum*, dicit ſepes, ſeu ſepimenta locorum vitibus conſitorum. Dicta autem fuerint ἕρκη, *ſepta*, *atque clauſtra*, τὰ εἴργοντα, & ἐέργοντα, *ea*, *quæ circumcludunt*, *ſeu ſepiunt*, *ac coërcent*. Unde etiam ἐεργμέναι γέφυραι, *ſepto muniti*, *ac vallati pontes*: quas γεφύρας, eo quòd operibus, ac munitionibus ſeptæ eſſent, dicere licet πυκνάς, *denſas*, *atque ſpiſſas*. id, quod aptè congruenterque poſitum eſt in redditione, alterâ parte comparationis, ubi ſic ait: πυκιναὶ κλονέοντο φάλαγγες. *denſæ turbabantur phalanges*. Quibus ſanè verbis explicandis facit illud: οὐδ' ἄρα μιν μίμνον. *neque eum ſuſtinebant*. Idem namque eſt τὸ κλονεῖσθαι, *perturbari*, atque τὸ μὴ μένειν, *non ſuſtinere*. Neque his porro diſſimile eſt τὸ σκεδάζεσθαι, *diſſipari*, *ac diſpergi*, quod verbum habet comparatio. Καλὰ ἔργα αἰζηῶν, *egregia juvenum opera*, tum alia quædam intelligit, ut ædificia, tum ipſa etiam ſepta vinearum, & pontes, quibus Trojanorum phalanges propter denſitatem aſſimilantur. Quare illa verba ſubjicit: πυκιναὶ κλονέοντο φάλαγγες. *denſæ turbabantur phalanges*. Αἰζηούς, *ſanguine*, *atque ætate ferventes*, hoc etiam loci, aut juvenes vocat, quippe quum juvenes maximè deceat opera facere, aut generatim viros, eos videlicet, qui virili jam ſunt

ætа.

Ceterùm κεδάω, quod repetitur apud Nicandrum in Alexipharmacis, metri causâ factum eſt. Σμώδιγγες ζαχοὸν κεδαιομένας κακότητος. *Diſtillans maculas ſeſe ſpargente veneno*. Forte abſque tot ambagibus legendum apud Euſtathium, οὗ παράγωγον καὶ τὸ κεδάζω, Salvinus.

1. Γίνεται δέ, φασιν, ἀπὸ τοῦ χέω) Etymologici Magni Auctor: κεδάζω. τὸ σκορπίζω, ἀπὸ τοῦ χέω, χεδάζω, καὶ κεδάζω· ἢ ἀπὸ τοῦ σκεδῶ. λέγεται καὶ μετὰ τοῦ σ', καὶ χωρὶς τοῦ σ'. Politus.

2. διά τε ξύλα πολλά) Al. ξύλα δανὰ lib. ο Odyſſ. διά τε ξύλα δανὰ κεάσσαι. Politus.

3. ἤτοι ἐπέχουσι, κωλύουσιν) Etymologici Magni Auctor: ἰσχανόωσιν, ἀντὶ τοῦ κατέχουσι, καὶ κωλύουσιν. Politus.

4. καὶ ἰσχανάαν) Iliad. l. XVII. v. 572. Ἰσχανάᾳ δακέειν, λαρόν τέ οἱ αἷμ' ἀνθρώπου. hoc loco eſt ἐπιθυμεῖ. Et Od. XV. v. 345. Νῦν δ' ἐπεὶ ἰσχανάᾳς, μεῖναί τέ με κεῖνον ἄνωγας. Salvinus.

5. ἐξ οὗ ἰσχαίνω, καὶ ὁ μέλλων ἰσχανῶ) Etymologici Magni Auctor: ὥσπερ ἀπὸ τοῦ φῶ γίνεται φαίνω, οὕτω καὶ ἀπὸ τοῦ ἴσχω γίνεται ἰσχαίνω· ὁ μέλλων, ἰσχανῶ. Politus.

6. Τοῦτο δὲ μεταχθὲν εἰς ἐνεστῶτα συζυγίας δευτέρας, ποιεῖ τὸ ἰσχανῶ) Itemque τὸ ἰσχανῶ. Etymologici Magni Auctor: ἀπὸ τοῦ ἰσχανῶ μέλλοντος γίνεται ἰσχανῶ, ἀναβληθέντος τοῦ σ', καὶ ἐκταθέντος τοῦ ι· καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα, καὶ γίνεται ἰσχανῶ ἐνεστώς· ὡς ἀπὸ τοῦ εἴρω ἐρῶ γίνεται ἐνεστὼς ἐρῶ. Politus.

7. τὰ εἴργοντα, καὶ ἐέργοντα) Etymologiæ Græcæ derivant τὸ ἕρκος ἀπὸ τοῦ εἴργω, ὃ καὶ ἐέργω λέγεται. At enim τὸ ἕρκος ἰωνικῶς ἐκφέρουσιν Attici cum adſpiratione. Inde ἕρκος. Politus.

8. εἰκάζονται) Lege, εἰκάζονται Politus.

9. ὡς καὶ Ἡσίοδος που φησί) Heſiodus ἔργοις καὶ ἡμέραις, ubi de ætate aratoris agit, quem vult adultum eſſe, ne hinc illuc oculos diſtrahat, & ut ſulcus in directum agatur. Salvinus.

ætate, ut & Heſiodus alicubi dicit: τεσσαρακονταετὴς αἰζηός. *quadragenarius juvenis*. Porrò autem, quum Diomedea hæc comparatio initium ſupra duxerit ab illis verbis: Θῦνε δ' ἂμ πεδίον. *Currebat autem per campum*; & deſierit in hæc alia: κλονέοντο φάλαγγες. *turbabantur phalanges*; obſerva, ut ambo hæc Poëta inferiùs commiſcet, atque conjungit, ubi Diomedem deſcribit Θύνοντ' ἂμ πεδίον, πρὸ ἕθεν κλονέοντα φάλαγγας. *currentem per campum, turbantem ante ſe phalangas*. Et vide, quod dicit, πρὸ ἕθεν κλονέοντα, *ante ſe turbantem*, videlicet ἔμπροσθεν αὐτοῦ, *ante ſuum ipſius conſpectum, ante oculos*. Non enim fortitudinis eſt, ſiquis alios quomodolibet perturbet; ſed ſi poſitos in conſpectu ſuo hoſtes, a ſe ipſo perturbatos, inſequatur. Uſitata Homero conſtructio illa Attica: ὑπὸ Τυδείδῃ κλονέοντο. *ſub Tydide, per Tydidem turbabantur*. Poſitus eſt enim per antiptoſin unus caſus pro alio, pro eo, ac ſi diceret, ὑπὸ Τυδείδου, *a Tydide*.

σιόδός πε φησὶ, τεσσαρακονταετὴς αἰζηός. Σημείωσαι δὲ καὶ, ὅτι τῆς ἐπὶ τῷ Διομήδει παραβολῆς, ἀρξαμένης μὲν ἀνωτέρω ἀπὸ τοῦ, Θῦνε δ' [1] ἂν πεδίον, λήξασης δὲ εἰς τὸ, κλονέοντο φάλαγγες, ἄμφω ταῦτα συνελὼν ὁ Ποιητὴς κατωτέρω, φησὶ τὸν Διομήδην [2] θύνοντ' ἂν πεδίον πρὸ ἕθεν κλονέοντα φάλαγγας. Καὶ ἄρα τὰ, πρὸ ἕθεν κλονέοντα, ἤγουν ἔμπροσθεν αὐτοῦ. Οὐ γὰρ τὸ ἁπλῶς κλονεῖν, ἀνδρίας ἐστὶν, ἀλλὰ τὸ ἐπιδιώκειν τινὰ τοὺς ἔμπροσθεν, ὑπ' αὐτῷ κλονουμένους. Τὸ δὲ, ὑπὸ Τυδείδῃ κλονέοντο, συνήθης Ὁμήρῳ σύνταξις Ἀττικὴ, ἀντιπτωτικῶς ἡ αὐτὴ οὖσα τῷ ὑπὸ Τυδείδου.

Hunc igitur poſtquam advertit Lycaonis præclarus filius
Currentem per campum, ante ſe turbantem phalangas;
Statim contra Tydidem curvos arcus intendit,
Eumque irruentem percuſſit, quum ad dextrum humerum aſſecutus
Eſſet cavum thoracis. Pervolavit acerba ſagitta,
Et in oppoſitam partem penetravit; fœdatuſque thorax ſanguine.

Τὸν δ' ὡς οὖν ἐνόησε Λυκάονος ἀγλαὸς υἱὸς
Θύνοντ' ἂμ πεδίον, πρὸ ἕθεν κλονέοντα φάλαγγας,
Αἶψ' ἐπὶ Τυδείδῃ ἐτιταίνετο καμπύλα τόξα,
Καὶ βάλ' ἐπαΐσσοντα, τυχὼν κατὰ δεξιὸν ὦμον
Θώρηκος γύαλον. διὰ δ' ἔπτατο πικρὸς ὀϊστὸς,
Ἀντικρὺ δὲ διέσχε· παλάσσετο δ' αἵματι θώρηξ.

XXXIII. Pandarus, filius præclarus Lycaonis, conjectâ in Diomedem ſagittâ, eum ad dextrum humerum aſſecutus, ubi cavum erat thoracis, vulneravit. Pervolavit autem acerba, atque amara ſagitta, atque in oppoſitam partem tranſiit. Thorax verò fœdatus eſt ſanguine. Et obſerva pugnæ caſus atque eventus. Non enim fieri poteſt, ut qui aliquid facit, non ipſe etiam viciſſim patiatur: ut & Diomedes, dum fortia facinora ederet, vulneratus fuit, tametſi non magnum inde nocumentum acceperit. Vide etiam, quàm parùm proſperâ fortunâ utatur peritus ille alioquin ſagittarius Pandarus: quum minimè ab iis aberret, quos ad ictum deſignavit. Sicuti enim aſſecutus fuerat Menelaum, nec tamen læſerat, ſic & ei contigit in Diomede. Quum autem propoſitum ſit Poëtæ narrationem ſuam accommodare ad fidem veritatis; locum quoque determinat, in quo Diomedes eſt vulneratus. Quippe vulnus inflictum ei ait in humero dextro. Thoracis porro γύαλον, videlicet κοίλωμα, *cavum*, dicit id, quod eſt circa humeros, ac pectus, ad diſtinctionem cavi, quod eſt in manibus, ſeu volæ. Neque verò tantùm thoraci attributum eſt τὸ γύαλον, *cavum*; ſed & aliis rebus, ut palam etiam facit illud: [5] Ὦ κοίλας πέτρας γύαλον. *O cavæ rupis caverna*. Quamquam Apion, & Herodorus proparoxytonâ voce dictum velint γύαλον θώρηκος, *cavum thoracis*; oxytonâ verò γυαλὸν λίθον, *cavum lapidem*. ut, γυαλὸν λίθον ἀγκάσασθαι, *cavum lapidem in ulnas ſumere, ſeu ulnis complecti*. Τὸ διέπτατο, *pervolavit*, celeritatem oſtendit volucris illius, atque alatæ ſagittæ, poſteaquam emiſſa ea erat ex arcu. Illinc enim quum evolaſſet, deinde ictum feciſſet, non ampliùs pervolavit; ſed infixa fuit, atque inhæſit. Qua-

λγ'. Ὁ τοῦ Λυκάονος ἀγλαὸς υἱὸς Πάνδαρος, ἔβαλε τὸν Διομήδην, τυχὼν κατὰ δεξιὸν ὦμον θώρηκος γύαλον. διὰ δ' ἔπτατο πικρὸς ὀϊστὸς, ἀντικρὺ δὲ διέσχε· παλάσσετο δ' αἵματι θώρηξ. Καὶ σημείωσαι τὰς τοῦ πολέμου τύχας. Οὐ γάρ ἐστι, δρῶντά τι μὴ καὶ ἀντιπαθεῖν· ὡς καὶ Διομήδης ἀριστεύων, βέβληται, εἰ καὶ μὴ μέγα τι ἐντεῦθεν βέβλαπται. Ὅρα δὲ καὶ, ὅτι εὔστοχος μὲν τοξότης, ὁ Πάνδαρος· δυστυχὴς δέ. Ὡς γὰρ τὸν Μενελάον ἔτυχε μὲν, οὐκ ἔβλαψε δὲ, οὕτω καὶ τὸν Διομήδην. Πιθανὰ δὲ βουλόμενος ὁ Ποιητὴς λαλεῖν, ὁρίζει καὶ τὸν τόπον, ἔνθα ὁ Διομήδης ἐβλήθη. Κατὰ γὰρ τὸν ὦμον τὸν δεξιὸν, φησι. Θώρακος δὲ [3] γύαλον, ἤγουν κοίλωμα, λέγει, τὸ περὶ τοὺς ὤμους, καὶ τὰ στήθη, [4] πρὸς ἀντιδιαστολὴν τῆς τῶν χειρίδων στενότητος. Οὐ θώρακι δὲ μόνον ᾠκείωται τὸ γύαλον, ἀλλὰ καὶ τισιν ἄλλοις, ὡς δῆλον καὶ ἐκ τοῦ, [5] ὦ κοίλης πέτρας γύαλον. Ἀπίων δὲ, καὶ Ἡρόδωρος φασὶ, γύαλον μὲν θώρηκος προπαροξύνεσθαι, γυαλὸν δὲ λίθον ὀξυτόνως λέγεσθαι. οἷον, [6] γυαλὸν λίθον ἀγκάσασθαι. Τὸ *Baſ. p. 399.* δὲ διέπτατο, τὸ τάχος δηλοῖ τοῦ πτερόεντος ὀϊστοῦ τὸ μετὰ τὴν ἐκ τόξου ὁρμήν. Ἐκεῖθεν γὰρ πτάμενος, εἶτα βαλὼν, οὐκ ἔτι διέπτατο, ἀλλ'

1. ἂν πεδίον) ideſt, ἀνὰ πεδίον. aliàs ἀμπεδίον. Salvinus.
2. θύνοντ' ἂν πεδίον) Euſtathius legit ἂν πεδίον, ideſt, ἀνὰ πεδίον. Hom. ἂν τ' ἔθνεα, καὶ μέλαν αἷμα. Sic παρ' pro παρά. Idem: Παῖρ' με ἐθός. In antiquis Inſcriptionibus: ἐμμέσῳ, pro ἐν μέσῳ. & ſimilia. Salvinus.
3. γύαλον, ἤγουν κοίλωμα) Heſychius: γυάλοις; ἐν οἷς τὸ κοίλωμα τοῦ θώρακος, καὶ θολώτοις διὰ περιφράξεως ὁ πᾶς θώραξ. Etymologici Magni Auctor: γύαλον, τὸ κοίλωμα. οἷον, θώρηκος γύαλον, ἀντὶ τοῦ τὰ κατὰ κοῖλα τοῦ θώρακος. Politus.
4. πρὸς ἀντιδιαστολὴν τῆς τῶν χειρίδων στενότητος) Legendum puto, τῆς τῶν χειρῶν κοιλότητος. Propriè enim, Etymologo auctore, τὸ κοῖλον τῆς χειρὸς λέγεται γύαλον· quæ Latinis vola. ad cujus idcirco diſtinctionem Homerus dixerit θώρηκος γύαλον. Politus.
χειρίδες, manica. Salvinus.
5. ὦ κοίλης) κοίλας Sophocles in Philoctete v. 1094. Politus.
6. γυαλὸν λίθον) *Cavum lapidem* malim reddere, quàm, ut alii, *qui manu comprehendi poteſt*. Majorem enim lapidem, quàm ut manu comprehenderetur, aptè oſtendit τὸ ἀγκάσασθαι, *in ulnas ſumere, ſive ulnis complecti*. Politus.

ἀλλ' ἐνεχάθη. διὸ Σθένελος διαμπερὲς ἐξείρυσεν αὐτόν. Καὶ ἔστι καὶ οὗτος ὁ τρόπος ὑστερολογία, ὡς καὶ μετ' ὀλίγα ῥηθήσεται. Τῆς δὲ ἀναλογίας τοῦ διέπτατο καὶ τό, [1] πολιὸν αἰθέρ' ἀμπτάμενος, καὶ τὸ διαπτᾶσθαι σκάφος. Ἔστι δὲ καὶ δεύτερος ἐν τούτοις μέσος ἀόριστος.
Rom. p. 527. οἷον, περιχαρὴς δ' [2] ἀνεπτόμην. ἐξ οὗ καὶ τὸ πτέσθαι. ὡς τό, μηδέπω πτέσθαι σθένοντες. Κατὰ δὲ τό, διέπτατο, ἔστι καὶ τό, [3] Τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο;

λδ'. Τὸ δέ, ἀντικρὺ διέσχεν, [4] ἀντὶ τοῦ διέσχισε, καὶ διῆλθεν. ὁποῖον καὶ τό, [5] διασχὼν τὴν νεφέλην. ὁ δὲ Κωμικός, χωρὶς τῆς διὰ προθέσεως, τό, ἔσχον, [6] ἀντὶ τοῦ ἔσχισα, καὶ διέῤῥηξα λέγει. Σημείωσαι δέ, ὅτι [7] ἐνταῦθα μὲν ὁ Ποιητὴς ἐξέτεινε τὸ δίχρονον τοῦ ἀντικρὺ ἐπιῤῥήματος, ὡς καὶ ἐν τῷ, [8] Ἀντικρὺ δ' ἀπόφημι. καὶ πρὸ ὀλίγου ἐν τῷ, Ἀντικρὺ δ' ἂν ὀδόντας· μετ' ὀλίγα δὲ συστέλλει τὸ αὐτὸ δίχρονον. Οὕτω καὶ τοῦ φίλος εἰωθὼς συστέλλειν τὸ δίχρονον, ὅμως πρὸ τούτου ἐν τῷ, Φίλε κασίγνητε, ἀντὶ μακροῦ ἔλαβε. Καὶ ἐνταῦθα δὲ μετ' ὀλίγα ἐν τῷ, νῦν αὖτε με φίλαι, Ἀθήνη, ὁμοίως ἐκτείνει τὸ φι. Γίνεται δέ, κατὰ τοὺς παλαιούς, τὸ ἀντικρύ, [9] παρὰ τὴν ἀντὶ πρόθεσιν, καὶ τὸ κάρα· ἵνα ᾖ κυρίως ἀντικαρύ, καὶ ἐν συγκοπῇ ἀντικρὺ τὸ κατέναντι. οὗ πρὸς ὁμοιότητα ἐῤῥέθη τὸ ἀντιπρόσωπον. Οὔσης δέ, φασιν, ἀναλογίας, ὡς οὕτως οὕτω, μέχρις μέχρι, αὖθις αὖθι, οὕτω καὶ ἄντικρυς ἀντικρύ, ὅμως ὠξυτονήθη τοῦτο, ἀναλόγως καὶ τὸ μεσσηγύ, καὶ μεταξύ· καὶ ἅμα, [10] διότι μὴ κατὰ τὸ οὕτως οὕτω, μέχρις μέχρι, ἐφύλαξε καὶ τὸ ἀντικρὺ τὴν αὐτὴν σημασίαν τῷ ἄντικρυς. [11] Παλάσσεσθαι δὲ λέγει τὸ μολύνεσθαι, [12] ἢ πλεονασμῷ τῆς ἀλ συλ-

re eam Sthenelus penitus extraxit. Atque hæc etiam Tropica eſt locutio per hyſterologiam, ut paullò poſt dicturi ſumus. Simili autem ratione, atque τὸ διέπτατο, pervolavit, dictum etiam illud: πολιὸν αἰθέρ' ἀμπτάμενος, in candidum atherem ſubvolans. & διαπτᾶσθαι σκάφος. Pervolaſſet, ſeu volando pertranſiiſſet navis. Quin & in hoc genere exemplorum eſt Aoriſtus ſecundus medius. ut, περιχαρὴς δ' ἀνεπτόμην. Nimioque gaudio elatus, ſurſum evolavi. ex quo etiam τὸ πτέσθαι, volare. ut, μηδέπω πτέσθαι σθένοντες. viribus nondum ad volandum valentes. Denique ad exemplum τοῦ διέπτατο, pervolavit, ſeu tranſvolavit, eſt illud: Τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο; Quæ enim unquam mali cauſſa advolavit?

XXXIV. Τὸ ἀντικρὺ διέσχεν, in appoſitam partem penetravit, pro διέσχισε, diſcidit, ſeu perrupit, & διῆλθε, pertranſiit. quale illud: διασχὼν τὴν νεφέλην. mediam nubem penetrans, atque perrumpens. At enim Comicus ſine præpoſitione διά, per, dicit ἔσχον pro ἔσχισα, ſcidi, & διέῤῥηξα, perrupi. Quamvis autem producat hîc Poëta ancipitem adverbii ἀντικρύ, contra, e contrario, ex adverſo, e regione, palam, apertè, ſicuti etiam eum ait: Ἀντικρὺ δ' ἀπόφημι. Palamque profiteor. & paullò ante: Ἀντικρὺ δ' ἂν ὀδόντας. E regione verò per dentes: attamen obſerva, ut paullò poſt eamdem ancipitem corripit. Sic etiam, quamvis ſolitus ſit corripere ancipitem τοῦ φίλος, charus, ſeu amicus; tamen ſupra, ubi ait: Φίλε κασίγνητε, chare frater, cepit eam pro longâ. Et hoc loci paullò poſt, ubi ait: νῦν αὖτε με φίλαι, Ἀθήνη, Nunc rurſus me dilige, Minerva; producit ſimiliter τὸ φι. Fit, ſecundùm veteres Grammaticos, τὸ ἀντικρύ, ex adverſo, e regione, coram, a præpoſitione ἀντί, pro, & a nomine κάρα, caput: ita ut propriè ſit ἀντικαρύ, quaſi ante caput, ſive ex adverſo capitis, & per ſyncopen ἀντικρύ, ideſt, ex adverſo, ſive in conſpectu. ad cujus ſanè exemplum dictum eſt τὸ ἀντιπρόσωπον, quod obverſâ eſt facie. Quum autem analogiam, ſeu ſimilitudinem rationis, ſitam in eo eſſe velint, ut, quemadmodum dicitur οὕτως οὕτω, ſic, μέχρις μέχρι, uſque ad, donec, quoadusque, αὖθις αὖθι, rurſus: ita etiam dicatur ἄντικρυς, palam, atque apertè, ἀντικρύ, contra, ex adverſo, e regione; tamen hoc in ultimâ acuitur, ſimili modo per analogiam, atque τὸ μεσσηγύ, in medio, & μεταξύ, inter; ſimulque etiam quia, non ſicuti τὸ οὕτως, οὕτω, ſic, μέχρις, μέχρι, donec; ita quoque τὸ ἀντικρύ, e regione, eamdem ſignificationem retinet, atque τὸ ἄντικρυς, palam, atque apertè. Παλάσσεσθαι autem dicit inquinari, fœdari, maculari, ont, addi- tâ

1. τὸ διαπτᾶσθαι σκάφος) Euripides initio Medeæ: Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος. Politus.

Catull. de phaſelo: ſive palmulis Opus foret volare, ſive linteo. Salvinus.

2. ἀνεπτόμην) Conſtans in hac lectione Sophoclea Euſtathius. Vulgò ἀνεπτάμην apud Sophoclem in Ajace:

Ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτάμην.

Politus.

3. Τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο,) ἀντὶ τοῦ, τίς ἡ προσβολὴ τοῦ κακοῦ ἀπαντήσεως αὐτῷ δεῖ; ex Scholiaſtâ Sophoclis ad Ajacem. Politus.

4. ἀντὶ τοῦ διέσχισε, καὶ διῆλθεν) Heſychius: διέσχε, διῆλθε, διέσχε, διέσχισε, διελθών, διεξῆλθε. Suidas: διέσχε, διῆλθεν. Polit.

5. διασχὼν τὴν νεφέλην) Gregorius Nazianzenus Orat. 31. τὴν μὲν γὰρ νεφέλην διέσχον, ἔξω τῆς σωματικῆς βάσεως γενόμενος. Et Orat. 34. quæ oratio, ſecunda eſt De Theologiâ: καὶ οὕτως ἀνῆλθον ἐπὶ τὸ ὄρος, καὶ τὴν νεφέλην διέσχον, εἴσω γενόμενος ἀπὸ τῆς ὕλης, καὶ τῶν ὑλικῶν. Polit.

6. ἀντὶ τοῦ ἔσχισα) Malim ἔσχισα. ut paullò ante, διέσχισε. Polit.

7. ἐνταῦθα μὲν ὁ Ποιητὴς ἐξέτεινε τὸ δίχρονον τοῦ ἀντικρύ) Etymologici Magni Auctor: τὸ κρύ, μακρὸν φύσει. τὰ εἰς υ λήγοντα ἐπιῤῥήματα, συστέλλουσι τὸ υ. μεταξύ. μεσσηγύ· χωρὶς τοῦ ἀντικρύ. Polit.

8. Ἀντικρὺ δ' ἀπόφημι) φανερῶς λέξω. Heſychius. Polit.

9. παρὰ τὴν ἀντὶ πρόθεσιν, καὶ τὸ κάρα) Etymologici Magni Auctor: παρὰ τὸ ἀντί, καὶ τὸ κάρα, ἀντίκαρυ, ἀντικαρύ, καὶ συγκοπῇ ἀντικρύ τὸ κατέναντι. Politus.

Quare τὸ Coram, non ſit, quaſi cum ore, vel contra ora? Gallicè vis a vis. Salvinus.

10 διότι μὴ κατὰ τὸ οὕτως οὕτω, μέχρις μέχρι, ἐφύλαξε καὶ τὸ ἀντικρὺ τὴν αὐτὴν σημασίαν τῷ ἄντικρυς) Etymologici Magni Auctor: καὶ ἔδει καὶ ἄντικρυ· ἀλλὰ τὰ εἰς ς λήγοντα ἐπιῤῥήματα, ὅσα μὲν φυλάττει τὸ αὐτὸ σημαινόμενον, καὶ τὸν αὐτὸν τόνον φυλάττει. οἷον οὕτως, οὕτω· μέχρις, μέχρι. Ἐπεὶ οὖν οὐκ ἐφύλαξε τὸ αὐτὸ σημαινόμενον τῷ ἄντικρυς, διὰ τὸ τόνον ἐδέξατο. Paſſim notata eſt a Grammaticis diverſitas ſignificationis horum adverbiorum, unde & ipſa habent differentiam accentûs. Etymologici Magni Auctor: ἄντικρυς σημαίνει τὸ φανερῶς· ἀντικρὺ δὲ τὸ ἐξεναντίας. Heſychius: ἀντικρύ, κατέναντι, ἐξεναντίας. ἄντικρυς, φανερῶς. Ammonius: ἄντικρυς, καὶ ἀντικρὺ διαφέρει. Ἀντικρὺ μὲν γάρ, τὸ ἐπ' εὐθείας, καὶ ἐξεναντίας, χωρὶς τοῦ σ', ὡς κατάντικρυ· ἄντικρυς δέ, τὸ διαῤῥήδην, καὶ φανερῶς, καὶ ἐπ' εὐθείας τοῦτο. Suidas v. ἄντικρυς. οἱ δέ φασιν ἀκριβέστερον εἶναι, λέγοντες, ὅτι μετὰ τοῦ σ' λεγόμενον τὸ φανερῶς δηλοῖ· ἄνευ δὲ τοῦ σ', τὸ ἀντικρύ, τὸ κατέναντι μόνον, καὶ ἐξεναντίας. Politus.

11. Παλάσσεσθαι δὲ λέγει τὸ μολύνεσθαι) Etymologici Magni Auctor: παλάσσετο δ' αἵματι θώρηξ. Ἰλιάδος ε', ἀντὶ τοῦ ἐμολύνετο, ἐβρέχετο. Heſychius: παλάσσετο, διεβρέχετο, ἐφύρετο, ἐμολύνετο, ἀνεπίμπλατο, ἐμιαίνετο. Politus.

12. ἢ πλεονασμῷ τῆς ἀλ συλλαβῆς, τὸ ἐπιπάσσεσθαι) παλάσσεσθαι, quaſi πάσσεσθαι, pleonaſmo τοῦ αλ. Etymologus tamen derivat τὸ παλάσσω ἀπὸ τοῦ πάλλω τὸ βρέχω. Politus.

tà per pleonaſmum ſyllabæ αλ, τὸ ἐπιπάσσεσθαι, *inſpergi, ſive adſpergi*. Unde ἡ παιπάλη, *pollis, id, quod tenuiſſimum eſt farinæ*. ut & Comicus: καταπαττόμενος, παιπάλη γενήσομαι. *Si conſpergar, pollis evadam*. Et nunc quidem Diomedis thorax παλάσσεται τῷ αἵματι, *inquinatur, aut conſpergitur ſanguine*. Cum verò telum poſtea ex humero extrahit, ſubſilit, magnâque vi emicat ſanguis. Sciendum porro eſt, Ælium Dionyſium meminiſſe Thucydidis, qui dixerit τὸ ἐμπαλασσόμενοι, pro ἐμπλεκόμενοι, *implicati, atque implexi*, περιπειρόμενοι δόρατι, *haſtâ transfixi*, φυρόμενοι, *permixti*. Denique, quum hoc loci inter cetera poſitum etiam ſit illud: ἐπὶ Τυδείδῃ ἐτιταίνετο, hoc eſt, ἔτεινεν, ὁ Πάνδαρος, καμπύλα τόξα, *in Tydidem intendebat Pandarus retortos arcus*, qui & alibi ἀγκύλα, *incurvi*; ſciendum, modo hoc loquendi expreſſam ſatis eſſe, atque repræſentatam rationem etymologiæ. A verbo enim τείνω, *tendo, intendo*, & τὰ τόξα, *arcus*, derivantur, & τὸ τιταίνειν, *intendere*, ut alibi declaratur.

συλλαβῆς, τὸ ἐπιπάσσεσθαι. [1] ἀφ' ἧς καὶ ἡ παιπάλη. ὡς καὶ ὁ Κωμικός· [2] καταπαττόμενος, παιπάλη γενήσομαι. Καὶ νῦν μὲν παλάσσεται ὁ τοῦ Διομήδους θώραξ τῷ αἵματι. ὅτε δὲ τὸ βέλος ἐξελκύσῃ τοῦ ὤμου, ἀκοντισθήσεται τὸ αἷμα. Ἰστέον δὲ, ὅτι Αἴλιος Διονύσιος μέμνηται [3] τοῦ Θουκυδίδου εἰπόντος τὸ ἐμπαλασσόμενοι, ἀντὶ τοῦ ἐμπλεκόμενοι, περιπειρόμενοι δόρατι, φυρόμενοι. Ἰστέον δὲ καὶ, ὅτι ἐν τοῖς εἰρημένοις κείμενον τὸ, ἐπὶ Τυδείδῃ ἐτιταίνετο, τουτέστιν, ἔτεινεν, ὁ Πάνδαρος καμπύλα τόξα τὰ καὶ ἀγκύλα ἐν ἄλλοις, τρόπον παραλαλεῖ ἐτυμολογικόν. [4] Ἀπὸ γὰρ τοῦ τείνειν, καὶ τὰ τόξα, καὶ τὸ τιταίνειν γίνεται, ὡς ἐν ἄλλοις δηλοῦται.

Ob id altiùs clamavit Lycaonis clarus filius:
Impetum facite, Trojani magnanimi, ſtimulatores equorum.
Vulneratus enim eſt fortiſſimus Achivorum: neque ipſum cenſeo
Diu toleraturum acrem ſagittam, ſi verè me
Movit rex Jovis filius, cum profectus ſum ex Lycià.

Τῷ δ' ἐπὶ μακρὸν ἄϋσε Λυκάονος ἀγλαὸς υἱός·
Ὄρνυσθε, Τρῶες μεγάθυμοι, κέντορες ἵππων.
Βέβληται γὰρ ἄριστος Ἀχαιῶν· οὐδέ ἕ φημι
[5] Δηθ' ἀνσχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν με
Ὦρσεν ἄναξ Διὸς υἱὸς ἀπορνύμενον Λυκίηθεν.

XXXV. Glorioſus admodum, atque arrogans oſtentator fui Pandarus, qui, poſteaquam vanum irritumque ictum inflixerat, altum clamorem edidit, εὐχόμενος, ſive καυχώμενος, *jactabundus, ſeu gloriabundus*, perinde ac ſi vulnus lethale intuliſſet. Impetum enim, inquit, facite, magnanimi Trojani, ſtimulatores equorum. Vulneratus namque eſt vir fortiſſimus Achivorum. &c. Atque ita quidem Pandarus. Verum Diomedes, etſi, extracto per Sthenelum telo, ſanguis e venoſo loco eruperit, & ſurſum verſum per tortilem tunicam ſubſiluerit, atque emicaverit; tamen non perturbatur, nec tumultum facit; ſed, conceptis votis, ac precibus fuſis, in illum progreditur. Minerva enim, inquit, levia ei membra, pedeſque, ac manus deſuper, fecit, robnrque ei paternum, atque intrepidum immiſit, ejuſque ab oculis caliginem abſtulit, ut bene in præſens & deum, & hominem ipſe poſſet dignoſcere, tum deum videlicet, qui ſemet ipſe palam, nec perſonatum, exhiberet, tum etiam eum, qui in hominis ſeſe formam commutaret. Ac primùm quidem Diomedem in Venerem concitat, tum paullò etiam poſt in Martem. Atque illa ſanè fuerit effeminatio veluti Trojanorum, atque, ut quiſpiam dixerit, qualis ſolet eſſe mulierum, pro earum ingenio, in bello trepidatio, molliſque inertia, quæ Trojanos, ut videtur, partem quamdam invaſerat. Mars verò intelligi poteſt ardor animi inconſideratus, atque expers prudentiæ, quæ eum regeret, ac moderaretur. Hos igitur Diomedes ſupera-

λέ. Πάνυ ἀλαζὼν ὁ Πάνδαρος, ὃς ἀχρεῖον βαλὼν, εἶτα μακρὸν ἐφώνησεν, εὐχόμενος, ἤτοι καυχώμενος, ὡς εἴπερ καιρίαν ἔβαλεν. Ὄρνυσθε γάρ, φησι, Τρῶες μεγάθυμοι, κέντορες ἵππων. Βέβληται γὰρ ἄριστος Ἀχαιῶν. καὶ τὰ ἑξῆς. Καὶ τοιαῦτα μὲν αὐτός. ὁ Διομήδης δὲ, εἰ καὶ, τοῦ βέλους ἐξελκυσθέντος ὑπὸ Σθενέλου, αἷμα ἐξ ἀρτηριώδους τινὸς ἀναθέον τόπου ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος, ὅμως οὐ θροεῖται, ἀλλὰ εὐξάμενος, ὁρμᾷ κατ' ἐκείνου. Ἡ γὰρ Ἀθηνᾶ, φησὶ, γυῖα ἔθηκεν αὐτῷ ἐλαφρὰ, πόδας καὶ χεῖρας ὕπερθεν, καὶ μένος εἶκε πατρώϊον ἄτρομον, καὶ ἀπ' ὀφθαλμῶν ἦλεν ἀχλὺν, ὡς ἂν πρὸς τὸ παρὸν εὖ ἔχοι γινώσκειν ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα. ἤγουν αὐτοπρόσωπόν τε θεὸν, καὶ τὸν εἰς ἀνδρὸς μεταπεσόντα μορφήν. Καὶ πρῶτα μὲν, κατὰ τῆς Ἀφροδίτης ἠρέθισε· μικρὸν δὲ ὅσον καὶ κατὰ τοῦ Ἄρεος. Εἴη δὲ ἂν ἐκεῖνο μὲν ἡ τῶν Τρώων οἷον θηλύτης, καὶ ὁ κατὰ πόλεμον, ὡς ἂν τις εἴπῃ, γυναικισμὸς, καὶ ἡ βλακεία, ἣν, ὡς εἰκὸς, μέρη τινὰ Τρωϊκὰ εἶχον. ὁ δὲ Ἄρης, νοηθείη κἂν θυμὸς ἀλόγιστος, καὶ φρονήσει μὴ διοικούμενος. ὧν ὁ Διομήδης

1. ἀφ' ἧς καὶ ἡ παιπάλη) a Futuro πάσω, unde ἡ πάλη, verſo τῷ σ in τὸ λ: atque inde per reduplicationem, & epentheſin τοῦ ι, ἡ παιπάλη. Etymologici Magni Auctor: πάλη δὲ ἔρηται τὸ λεπτὸν τοῦ ἀλεύρου, ὅπερ δύναται ἐπιπάσσεσθαι διὰ λεπτότητα. Παρὰ τὸ πάσω μέλλοντα πάλη, ὡς δαμάσω δαμάλη, ἀνθήσω ἀνθήλη. καὶ γὰρ ὁ εἰς σω μέλλων τὸ σ εἰς λ. εἰ δὲ ἔχει σύμφωνον, προσλαμβάνεται. οἷον ζεύξω, ζεύγλη. ζεύξω, ζεύγλη. ὅπως ἂν πάσω, πάλη· καὶ κατὰ ἀναδιπλασιασμὸν, παπάλη· καὶ ξυρῷ, παιπάλη. οἱ δὲ Ἀττικοὶ, παιπάλην λέγουσι, πλεονασμῷ τοῦ ι. Quæ hic apud Etymologum παπάλη, ut communiùs παιπάλη. Secundum quam ſcripturam dicendum, id nominis eſſe ex πάλη, per reduplicationem, & epentheſin, ſeu pleonaſmum τοῦ ι. Aliis contra τὸ παλύνειν videtur eſſe ἀπὸ τοῦ πάλη τὸ ἄλευρον. Politus.

2. καταπαττόμενος, παιπάλη γενήσομαι) Ariſtophanes Nubibus:
Καταπαττόμενος γὰρ, παιπάλη γενήσομαι.
Politus.

3. τοῦ Θουκυδίδου εἰπόντος τὸ ἐμπαλασσόμενοι, ἀντὶ τοῦ ἐμπλεκόμενοι) Thucydides lib. 7. n. 84. περί τε τοῖς δορατίοις, οἱ δὲ σκεύεσιν οἱ μὲν εὐθὺς διεφθείροντο· οἱ δὲ ἐμπαλασσόμενοι κατέρρεον. ἐς τὰ ἐπὶ θάτερα τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακούσιοι (ἦν δὲ κρημνώδης) ἔβαλλον ἄνωθεν τοὺς Ἀθηναίους. Scholiaſtes: οἱ δὲ, ἐμπαλασσόμενοι κατέρρεον, ἀντὶ τοῦ συμπλεκόμενοι κατέπιπτον, ἐπ' ἀλλήλους ἔπιπτον. Locum hunc Thucydidis paullò aliter legit, atque explicat Suidas. Politus.

Qui explicationem ad ſuam lectionem accommodat. legit enim: οἱ δὲ ἐμπαλασσόμενοι κατέρρεον ἐς τὰ ἐπὶ θάτερα τοῦ ποταμοῦ. Salvinus.

4. Ἀπὸ γὰρ τοῦ τείνειν, καὶ τὰ τόξα) Etymologus: εἴρηται δὲ τόξον, ὅταν τείνηται ἐν τῇ ὁδῷ, παρὰ τὸ τόξω τὸ τείνω. Polit.

5. Δηθ' ἀνσχήσεσθαι) Aliàs Δηρὸν ἔτ' ἀνσχήσεσθαι. Salvinus.

μήδης περιεγένετο, Ἀθηνᾶς τῇ καὶ νίκῃ καὶ φρονήσει συγκροτούμενος. Σημείωσαι δὲ, ὅτι ἄριστον Ἀχαιῶν τὸν Διομήδην λέγει ὁ Πάνδαρος, οὐχ ἁπλῶς, ἀλλὰ καὶ τὸ ἑαυτοῦ σεμνολογῶν ἀρίστευμα. [1] Τὸ δὲ, κέντορες ἵππων, ταυτόν ἐστι τῷ ἐλατῆρες, ἢ ἱππόδαμοι. ὥσπερ ὅμοιόν τι σύνθετον, τὸ ἱπποκένταυρος, ὁ κεντῶν δηλαδὴ ταύρους κυνηγετικῶς. ὅθεν ἡ Κωμικὴ βλασφημία κενταύρους ἔπαιζε [2] τοὺς αἰσχρῷ ἔρωτι κεντοῦντας ταῦρον, ὅπερ ἐστὶν, ὄῤῥον, [3] ἀφ' οὗ τὸ ὀῤῥωδεῖν. ἔτι δὲ καὶ λασταύρους [4] τοὺς πάσχοντας, ὡς οἷον λασιοταύρους, ἤγουν δασεῖς τὸν τοιοῦτον ταῦρον. [5] Ἡ δ' αὐτὴ καὶ παρὰ τὸν κύνα παίζει τὴν κύνηραν, περὶ ἧς ἀλλαχοῦ δηλοῦται. Τὸ δὲ πατρῷον

Rom. p. 528. μένος διασαφῶν, ἵνα μὴ ἁπλῶς προγονικὸν νοοῖτο, ἐπάγει· οἷον ἔχεσκε σακέσπαλος ἱππότα Τυδεύς, ὡς δηλονότι ἐξαίρετον ὂν ἐκείνο, καθὰ καὶ ὁ βασιλεὺς ἐδήλωσεν, ὅτε τὸν Διομήδην ὠνείδισεν, ὡς ὀλίγον ἐοικότα τῷ Τυδεῖ. Πλεονασμὸς ἀναγκαῖος τοῦ σ' καὶ [6] ἐν τῷ σακέσπαλος, ὡς καὶ ἐν τῷ σακεσφόρος, ὃ πρὸς ὁμοιότητα τούτου εἴρηται. Ἐν τῷ, οὐδέ ἑ φημὶ δηθὰ χήσεσθαι κρατερὸν βέλος, [7] χήσεσθαι λέγει τὸ ὑπομεῖναι. Εἰ δὲ γράφεται, οὐδέ ἑ φημὶ [8] δηθ' ἀνσχήσεσθαι, λέγοι ἂν πάντως ἀνσχήσεσθαι, τὸ ἀνασχέσθαι. ὡς καὶ πρὸ τούτου ἐν τῷ χαλκὸν ἀνασχέσθαι. Τί δὲ δηλοῖ ἡ λέξις, καὶ μετ' ὀλίγα ῥηθήσεται.

peravit, excitante eum, & adjuvante Minervâ, quæ victoriam, ac prudentiam ſignificat. Volo autem, obſerves, fortiſſimum Græcorum vocari a Pandaro Diomedem, non ſimpliciter, aut purè; ſed ita, ut facinus a ſe fortiter editum, ſuumque ipſius virtutem extollat. Τὸ κέντορες ἵππων, ſtimulatores equorum, idem eſt, atque τὸ ἐλατῆρες, agitatores, aut ἱππόδαμοι, equorum domitores. ad cujus quidem vocis exemplum compoſitum eſt τὸ ἱπποκένταυρος, hippocentaurus, is nimirum, qui, venatico more, κεντεῖ ταύρους, tauros ſtimulis agitat. Unde probroſa illa maledicentia Comicorum ſolita eſt per jocum κενταύρους, centauros, eos appellare, qui turpi, ac nefario amore κεντοῦντ ταῦρον, pungebant taurum, hoc eſt, ὄῤῥον, orrhum, partem corporis mediam inter ſcrotum, & podicem, unde τὸ ὀῤῥωδεῖν, ſudare præ metu ſubter ſcrotum, nimia metu uſque ad orrhi ſudorem percelli. Nec non λασταύρους, hiſpido tauro præditos, cinædos, ac meritorios, quaſi ſcilicet λασιοταύρους, videlicet δασεῖς τὸν τοιοῦτον ταῦρον, hiſpidos, atque hirſutos in eâ corporis parte, quam taurum vocant. Et ab eadem contumelioſæ linguæ licentiâ habent Comici, ut παρὰ τὸν κύνα, a cane, urbanè appellent τὴν κύνηραν, eam, qua canem, hoc eſt, cunnum, attrahit, ac deducit: cujus affertur alibi explicatio. Quod dixerat, πατρῷον μένος, paternum robur, ne generatim avitum, aut majorum, intelligatur, perſpicuè id declarat per alia verba, quæ ſubdit: οἷον ἔχεσκε σακέσπαλος ἱππότα Τυδεύς, quale habuit tractator ſcuti eques Tydeus. quaſi ſcilicet fuerit illud eximium, ac ſingulare, ut rex ipſe apertè ſignificaverat, cum Diomedi tamquam probrum objecit, quòd Tydeo ſeſe parum ſimilem præſtaret. Addita neceſſariò eſt per pleonaſmum littera σ' in σακέσπαλος, ſcuti tractator, is, qui ſcutum vibrat, ac quatit, ſicuti etiam in σακεσφόρος, ſcutatus, is, qui ſcutum geſtat, quod ad hujus exemplum dictum eſt. Eo loci: οὐδέ ἑ φημὶ δηθὰ χήσεσθαι κρατερὸν βέλος· neque eum cenſeo diu laturum validam ſagittam: χήσεσθαι dicit τὸ ὑπομεῖναι, laturum, ſeu toleraturum. Sin autem ſcribitur: οὐδέ ἑ φημὶ δηθ' ἀνσχήσεσθαι· neque eum cenſeo diu eſſe perlaturum: ἀνσχήσεσθαι prorſus dixerit τὸ ἀνασχέσθαι, perlaturum eſſe, ſeu perpeſſurum. ut & ſupra, ubi dixit χαλκὸν ἀνασχέσθαι, ferrum ut ſuſtineat. Quid autem vox hæc ſignificet, paullo poſt explicabitur.

Baſ. p. 400. Ὣς ἔφατ' εὐχόμενος. τὸν δ' οὐ βέλος ὠκὺ δάμασσεν,
Ἀλλ' ἀναχωρήσας, πρόσθ' ἵπποιιν καὶ ὄχεσφιν
Ἔστη, καὶ Σθένελον προσέφη, Καπανήϊον υἱόν·
Ὄρσο, πέπον Καπανηϊάδη, καταβήσεο δίφρου,
Ὄφρα μοι ἐξ ὤμοιο ἐρύσσῃς πικρὸν ὀϊστόν.
Ὣς ἄρ' ἔφη. Σθένελος δὲ καθ' ἵππων ἆλτο χαμᾶζε·
Πὰρ δὲ στὰς, βέλος ὠκὺ διαμπερὲς ἐξέρυσ' ὤμου.
Αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος.

Sic dixit jactabundus. Eum tamen velox ſagitta non interfecit,
Sed relato pede, ante equos, & currus
Stetit, Sthenelumque allocutus eſt, Capaneium filium:
Propera, mi Capaneiade, deſcende de curru,
Ut mihi ex humero trahas amaram ſagittam.
Sic dixit. Sthenelus verò de curru in terram deſiluit,
Et adſtans, ſagittam velocem trajectam ex humero extraxit.
Sanguis autem magnâ vi emicabat per tortilem tunicam.

λϛʹ. Κε- XXXVI. Ina-

1. Τὸ δὲ, κέντορες ἵππων, ταυτόν ἐστι τῷ ἐλατῆρες) Heſychius: κέντορες, κεντρισταὶ ἐν τῷ ἐλαύνειν, ἐλατῆρες. Suidas: κέντωρ, ὁ τοὺς ἵππους κεντῶν. Politus.

2. τοὺς αἰσχρῷ ἔρωτι κεντοῦντας ταῦρον) τοὺς παιδεραστὰς, pædicones. Heſychio κένταυροι οἱ παιδερασταί, ἀπὸ τοῦ ὄῤῥου. Immo & κένταυρος, ὄῤῥος. Politus.

3. ἀφ' οὗ τὸ ὀῤῥωδεῖν) Heſychius v. ὄῤῥος· ὅπερ δὲ ἐτυμολογοῦσι καὶ τὸ ὀῤῥωδεῖν. οἱ γὰρ δεδοικότες ἱδροῦσι τὸν ὄῤῥον, ὅ ἐστιν, ἱδρῶσιν. Etymologici Magni Auctor: ὀῤῥωδῶ, παρὰ τὸ τὸν ὄῤῥον ἱδρῶν. ὄῤῥος δέ ἐστι τὸ ἱερὸν ὀστοῦν. συμβαίνει δὲ πως τοῖς φοβουμένοις ἱδρῶτα γίνεσθαι κατὰ τοῦ ἱεροῦ ὀστοῦ. Scholiaſtes Ariſtophanis ad Plutum: ὀῤῥωδῶ παρὰ, φοβοῦμαι. ἀπὸ τοῦ ὄῤῥου, ὅ ἐστι μεσοπύγιον τῆς περιστερᾶς. ἔστι γὰρ ζωτικὸν τὸ μόριον. καὶ κυρίως μὲν ἐπὶ τῶν ἀλόγων δεῖ. [illegible] ὅ ἐστι τοῦ ὄῤῥου. ἢ παρὰ τὸ ἐγκαρδοῦσιν τούτῳ τῷ μέρει τὰ αἰδοῖα κατὰ τὴν τῆς δέρας διάθεσιν. ὅ ἐστι τῶν φοβουμένων ἄνωθεν ὁ ὄῤῥος πρῶτος ἱδροῖ. Ὄῤῥος δέ ἐστι τὸ ἔσχατον τῆς πυγῆς ὀστοῦν, τῶν δ' ὀρνέων τῆς ζώνης [illegible]. Ammonius: ὄῤῥος λέγεται ὁ περὶ τὴν γλουτὸς τόπος, ὃν τινες ταῦρον λέγουσιν. ὅθεν καὶ τῶν ὀρνέων ὁ τόπος οὗτος ὀῤῥοπύγιον καλεῖται, οὐχ, ὡς τινες ἀγνοοῦντες, ὀρθοπύγιον. ἐτύμως δ' εἴρηται, ὄῤῥος ὢν τῆς πυγῆς, καὶ οἱονεὶ ὀρροπύγιον. οἱ δ' ἀλλαβόμενοι περί τινος, [illegible] τὰ αἰδοῖα.

[illegible] δὲ καὶ τὰ ἄλογα τῶν ζώων ὑποστέλλειν [illegible] ὅταν ἀλγεῖσθαι. ἀλόγως ἂν ἐκ τοῦ παραπολαυθέντος τὸ ὀῤῥωδεῖν εἴρηται ἐπὶ τοῦ ἀλγεῖσθαι. Suidas: ὀῤῥωδία. φόβος, ἐκ τοῦ ὄῤῥου, ὅ ἐστι μόριον τῆς πυγῆς, ὁ καλούμενος ταῦρος. Politus.

4. τοὺς πάσχοντας, ὡς οἷον λασιοταύρους, ἤγουν δασεῖς τὸν τοιοῦτον ταῦρον) Heſychius: λάσταυροι, οἱ περὶ τὸν ὄῤῥον δασεῖς. [illegible] τοὺς ὄπισθεν. Saidas: λάσταυρος, πόρνος, δασὺς [illegible] λασιόταυρος τις ὤν· ὁ δασὺς τὸν ταῦρον. Eſt autem [illegible] μέσαιον τοῦ αἰδοῖος. unde [illegible], ὁ ἄρρητος, [illegible]. Polit.

5. Ἡ δ' αὐτὴ καὶ παρὰ τὸν κύνα παίζει τὴν κύνηραν) Euſtathius ad Odyſſeam: ὡς δὲ κύων καὶ τῷ Κωμῳδῷ [illegible] γυναικεῖον, τὴν εἰρημένην κύνηραν, ἤγουν τὴν τὸν κύνα, ὅ ἐστιν, ἑλκομένην, ἐν ᾧ κυνὶ, χαίρει ἄλλο [illegible], παλαιοὶ χρῆσις δηλοῖ. Politus.

6. ἐν τῷ σακέσπαλος) Etymologici Magni Auctor: σακέσπαλος, πολεμικός· ἀπὸ τοῦ πάλλειν τὸ σάκος, καὶ κινεῖν [illegible]. Polit.

7. χήσεσθαι λέγει τὸ ὑπομεῖναι) Heſychius: χήσεσθαι, καταχωρήσεσθαι. Suidas: χήσεσθαι, ὑποχωρήσεσθαι. Etymologici Magni Auctor: χήσεσθαι, Ἰλιάδος ε, ἀνέξεσθαι, ἀνθέξεσθαι, παρὰ τὸ χῶ τὸ κρατῶ, γίνεται χάσω. Polit.

8. δηθ' ἀνσχήσεσθαι) ut in Florentinâ editione Homeri. Polit.

XXXVI. Inanem jactantiam, atque elationem animi ob ictum, qui in vanum ceciderit, exprimunt illa verba: *Sic dixit jactabundus. Eum tamen velox ſagitta minimè interfecerat.* Sicuti alibi eſt illud patronymicum, Τελαμώνιος Αἴας, *Telamonius Ajax*; ita & hoc loci τὸ, Καπανήϊος υἱὸς, *Capaneius filius*. Sthenelus nimirum, qui & Καπανηϊάδης, *Capaneiades*. Sed de hoc melius ſupra dictum eſt. Πικρὸν ὀϊστὸν, *amaram ſagittam*, dicit, quæ amaritudinem facit. Eſt autem id etiam epitheton doloris. Hic præterea pedem referre, dicit ἀναχωρῆσαι, *recedere, retrocedere, retrogradi, retrorſum vadere*. quod quidem ſeſe contra habet, atque τὸ χωρεῖν, *accedere, ſeu venire*, & προχωρεῖν, *procedere, ſeu progredi*. Deſilire autem ex curru, dicit καθ' ἵππων ἀλέασθαι χαμᾶζε, *ex equis ſaltu in terram deſcendere*. Eo loci: Αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος. *Sanguis autem ejectabatur, ſeu ſubſiliebat per tortilem tunicam*; στρεπτὸν χιτῶνα, *tortilem tunicam*, alii de veſte intelligunt, quòd στρεπτὸν, *tortile, ſeu tortum*, idem velint eſſe, atque τὸ κλωστὸν, *nendo contortum*; alii verò de thorace ex annulis conſerto, ſive hamato. Et hæc vox legitur etiam in libro φ'. Sed & corporis ornamentum eſt τὸ στρεπτὸν, *monile, ſeu torques*, ut ex veteribus manifeſtè apparet. Atque hic vide τὸ ἀνηκόντιζεν, *ejectabatur, jaculi inſtar exſiliebat*, dictum per hyperbolen, ac ſuperlationem veritatis, ob ſanguinem confertim fluentem, ipſumque ſurſum verſum magnâ vi adſcendentem, atque emicantem. Namque τὸ ἀνακοντίζειν, *ejectare, emicare, erumpere, proſilire*, aliud omnino eſt, atque τὸ καταικοντίζειν, *miſſilibus aliquem confodere*.

λς'. Κενὸν αὔχημα ἐπὶ ἀπράκτῳ βολῇ φράζει τὸ, Ὣς φάτ' ἐπευχόμενος· τὸν δ' οὐ βέλος ὠκὺ δάμασσεν. Ὥσπερ [1] πατρωνυμικὸν ἀλλαχοῦ τὸ, Τελαμώνιος Αἴας, οὕτω καὶ ὧδε τὸ, Καπανήϊος υἱὸς, ὁ Σθένελος δηλαδὴ ὁ καὶ Καπανηϊάδης. περὶ δὲ τούτου βέλτιον ἐν ταῖς φράσεσιν εἴρηται. Πικρὸν ὀϊστὸν λέγει τὸν πικροποιόν. [2] ἔστι δ' αὐτὸ καὶ ὀδύνης ἐπίθετον. Ἐν τούτοις δὲ καὶ τὸ ἀναποδίσαι, [3] ἀναχωρῆσαί φησιν. ὅπερ ἐστὶν ἀνάπαλιν τοῦ χωρεῖν, καὶ προχωρεῖν. Τὸ δὲ καταπηδῆσαι τοῦ ἅρματος, καθ' ἵππων ἀλέασθαι χαμᾶζε φησιν. Ἐν τῷ, Αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος, στρεπτὸν χιτῶνα οἱ μὲν, ἐπὶ ἱματίου νοοῦσι, λέγοντες στρεπτὸν τὸ κλωστόν· οἱ δὲ, ἐπὶ θώρακος κρικωτοῦ, [4] ἤτοι ἁλυσιδωτοῦ. [5] ἡ δὲ λέξις κεῖται καὶ ἐν τῇ φ' ῥαψωδίᾳ. [6] Ὅτι δὲ καὶ σώματος κόσμος τὸ στρεπτὸν, δηλοῦσι σαφῶς οἱ παλαιοί. Ἐνταῦθα δὲ [7] ὅρα καὶ τὸ ἀνηκόντιζεν, ὑπερβολικῶς λεχθὲν, διὰ τὸ ἄθρουν τῆς ῥεύσεως τοῦ αἵματος, καὶ τῆς ἄνω αὐτοῦ φορᾶς. Πάντως γὰρ ἕτερον τοῦ καταικοντίζειν τὸ ἀνακοντίζειν.

Tum verò vota concepit bonus pugnator Diomedes:
Audi me, Ægiochi Jovis filia indomita.
Si unquam mihi, & patri propitia adfuiſti
Ardenti in prælio, nunc rurſus dilige me, Minerva.
Da, ut virum occidam, atque in ea haſta mihi impetum incurrat,
Qui me occupavit percutere, & inſuper gloriatur, nec me dicit
Splendidum ſolis iubar diu amplius viſurum.

Δὴ τότ' ἔπειτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
Κλῦθί μοι, Αἰγιόχοιο Διὸς τέκος ἀτρυτώνη.
Εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουσα παρέστης
Δηΐῳ ἐν πολέμῳ, νῦν αὖτ' ἐμὲ φῖλαι Ἀθήνη.
Δὸς δέ τέ μ' ἄνδρα ἑλεῖν, καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν,
Ὅς μ' ἔβαλε φθάμενος, καὶ ἐπεύχεται, οὐδέ μέ φησι
Δηρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο.

XXXVII. Hoc item loci apertè oſtendit Poëta, quantum fructûs, atque utilitatis juſta precatio afferat, dum fruſtra a Pandaro telum conjectum memorat, quòd minimè preces fudiſſet; Diomedem verò contra Pandarum fortiter dimicantem inducit, poſteaquam Minervæ ſupplicaſſet. Ubi & patris ſui Diomedes reminiſcitur, quòd illi Minerva auxilio eſſe in prœliis conſueviſſet. quod quidem Diomedi magno eſt incitamento ad pugnam committendam. Præclara enim majorum facta, cum in memoriam revocantur, movent, atque excitant ad rem fortiter gerendam. Quare etiam infra fabuloſa hæc Minerva patrem ei in memoriam reducit, ut ita clarè oſtendat Poëta, eum, qui bonæ, ſanæque mentis eſt compos, bonorum patrum meminiſſe, eorumque ad exemplum ſemet conformare. Verba illa: Εἴ ποτέ μοι, καὶ πατρὶ φίλα φρονέουσα παρέστης· *Si unquam mihi, & patri benevola propitiaque adfuiſti*, aut φρονέων παρέστης, *propitius adfuiſti*: illa, inquam, verba adhibuerit filius ad hominem, qui de ejus ipſius patre bene promeritus fuerit. Hic verò Poëta adjicit illud: νῦν αὖτε

λζ'. Δηλοῖ καὶ ἐνταῦθα ὁ Ποιητὴς τὸ ὠφέλιμον τῆς δικαίας εὐχῆς, ἐν οἷς τὸ μὲν τοῦ Πανδάρου βέλος, ἀχρεῖον ἱστορεῖ, οὐ γὰρ ηὔξατο, τὸν δὲ Διομήδην ἀριστέα κατὰ τοῦ Πανδάρου ποιεῖ, εὐξάμενον τῇ Ἀθηνᾷ. Ἔνθα καὶ τοῦ πατρὸς ἀναμιμνήσκεται ὁ Διομήδης, ὡς βοηθουμένου ἐν πολέμοις ὑπὸ Ἀθηνᾶς. ὅπερ καὶ ἐρεθιστικὸν εἰς μάχην τῷ Διομήδει γίνεται. Παροξύνουσι γὰρ εἰς ἀνδραγαθίαν αἱ μνῆμαι τῶν προγόνων. Διὸ καὶ κατωτέρω ἡ μυθικὴ Ἀθηνᾶ εἰς ἀνάμνησιν αὐτὸν ἄγει τοῦ πατρὸς, δηλοῦντος τοῦ Ποιητοῦ, ὅτι ὁ φρονῶν μέμνηται τῶν ἀγαθῶν προγόνων, καὶ ἐξομοιοῦται αὐτοῖς. Τὸ, εἴ ποτέ μοι, καὶ πατρὶ φίλα φρονέουσα παρέστης, ἢ φρονέων παρέστης, ταῖς ἂν εἴποι πρὸς πατρικὸν εὐεργέτην. Ἐνταῦθα δ' ὁ Ποιητὴς ἐπάγει τὸ, νῦν αὖτε με φῖλαι, Ἀθή-

1. πατρωνυμικὸν ἀλλαχοῦ τὸ, Τελαμώνιος Αἴας) Eurystheus, Stheneli filius. Ovidio *Stheneleius*. Polit.

2. ἔστι δ' αὐτὸ καὶ ὀδύνης ἐπίθετον) Virg. *Obliquâ invidiâ, & ſtimulis agitabat amoris*. Salvinus.

3. ἀναχωρῆσαί φησιν) Hinc Anachoretæ, qui receſſerunt a ſeculo, ut Deo vacent. *Salvin.*

4. ἤτοι ἁλυσιδωτοῦ) l. ἁλυσιδωτοῦ. Heſychius: στρεπτοῖο χιτῶνος, τοῦ ἁλυσιδωτοῦ θώρακος, ἢ τοῦ θώρακος τοῦ ὑποδύτου. Politus.

5. ἡ δὲ λέξις κεῖται καὶ ἐν τῇ φ' ῥαψωδίᾳ) Il. lib. φ' ἐπὶ στρεπτοῖσι χιτῶσι. Vetus Scholiaſta, ἁλυσιδωτοῖς. Polit.

6. Ὅτι δὲ καὶ σώματος κόσμος τὸ στρεπτὸν) Heſychius: στρεπτοί, ὅρμοι, τὰ περὶ τὰς χεῖρας ψέλια. Suidas: Στρεπτὸς, περιδέῤῥαιος κόσμος. Politus.

Ut ὁ στρεπτὸς ἀπὸ τοῦ στρέφειν, ita torques a torquendo. *Salv.*

7. ὅρα καὶ τὸ ἀνηκόντιζεν) Suidas: ἀνηκόντιζεν, ἀνεφέρετο. Polit.

Poëta Græcus: ἀνηκόντιζεν αἷμα. ideſt, exiliebat ſanguis. ἀνεπήδησε. Salvin.

8. αὖτε ἐμὲ) Editio Florentina, αὖτέ με. Atque ita Euſtathius. *Polit.*

ea autographo ΑΥΤΕΜΕ. *Salvinus*.

Ἀθήνη. περὶ οὗ πρὸ βραχέων ἐῤῥέθη ἐν τῷ ἐφίλατο. Καὶ μὴν ἐκεῖνο τινὲς κοινότερον [1] φίλε γράφουσιν, ἀντὶ τοῦ φίλει, τὴν τελευταίαν συναλείψαντες. Τὸ, δὸς ἄνδρα ἑλεῖν, καὶ εἰς
Ram. p. 529. ὁρμὴν ἔγχεος ἐλθεῖν, σχῆμά ἐστι πρωθύστερον, ἤτοι ὑστερολογία. Ἔδει γὰρ οὕτω κεῖσθαι· δὸς, τὸν Πάνδαρον εἰς ὁρμήν τε ἐλθεῖν μοι ἔγχεος, καὶ δός μοι καὶ φονεῦσαι αὐτόν· Ὅμηρος δὲ μιμούμενος ἄνθρωπον τεθορυβημένον, ἀλλεπάλλως ἔθετο. Ταὐτὸν δὲ καὶ τὸ, ἔβαλεν ἐπαΐσσοντα· διὰ δ' ἔπτατο πικρὸς ὀϊστός· πρὸ ὀλίγων ῥηθέν. Καὶ ἐκεῖ γὰρ φύσει πρῶτον τὸ ἔπτατο, εἶτα τὸ ἔβαλε. Διὰ δὲ τὸ σύγχρονον τῆς πράξεως, ἀδιαφόρως τέθειται. ἅμα γὰρ πταμένου τοῦ ὀϊστοῦ, ὁ ἥρως βέβληται. Εἰ δέ τις ἐθέλων εἴπῃ, ὡς ἔβαλεν ὁ ὀϊστὸς, διελὼν δὲ τὸ σῶμα, ἐξεπετάσθη, εἴη ἂν οὕτω κατὰ φύσιν πρῶτον τὸ ἔβαλεν, εἶτα τὸ ἔπτατο.

λη'. Ὅρα δὲ καὶ τὰ σύντομα πάρισα, τὸ ἑλεῖν, καὶ τὸ ἐλθεῖν. ἃ καὶ παρηχήσει τινὶ ἔοικε. Σημείωσαι δὲ καὶ, ὅπως ὁ Διομήδης θαῤῥεῖ, ὡς, εἰ τοῦ τόξου ὁ Πάνδαρος ἀπόσχηται, ῥᾳδίως ἂν αὐτοῦ ἐκ τοῦ σχεδὸν περιγενήσεται. Ἀχρεῖος γὰρ ἅπας τοξότης ἐν τῇ σταδίῃ μάχῃ. διὸ οὐδὲ τὸν Σκαμάνδριον πρὸ τούτου ὤνησαν αἱ ἐκηβολίαι, ὡς τοῦ Μενελάου ἐπιπεσόντος αὐτῷ. Πάνδαρος μὲν εἶπε, τὸν Διομήδην οὐκ ἐπὶ πολὺ ἀνασχήσεσθαι κρατερὸν βέλος. Διομήδης δὲ ἑρμηνεύων τὴν τοῦ λόγου ἔννοιαν, φησίν· οὐδέ με φησὶ δηρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο. Καὶ σημείωσαι, ὅτι [2] ἀνασχήσεσθαι εἶπε τὸ ὑπομεῖναι, καὶ μὴ πληγέντα θανεῖν, καὶ ὑπὸ σκότῳ γενέσθαι· ἀλλὰ ἄνω σχεῖν, ἤτοι ζῆν, καὶ ὑπὸ ἡλίῳ καὶ φωτὶ εἶναι. ὅθεν καὶ ἐπὶ ἡλίου ἀνατολῆς τὸ ἀνίσχειν τίθεται. Τὸ δὲ ἀνασχέσθαι, καὶ αὐτὸ καθ' αὑτὸ πολλάκις λέγεται, ὡς καὶ ἐν τῷ, ἀνάσχεο, κηδομένη περ. Φράζεται δὲ καὶ ἐν ἁπλότητι, δίχα προθέσεως, ἔν τε ἄλλοις, καὶ ἐν τῷ, εἰ τὸν ἐξ ἐμῆς μητρὸς θανόντ' ἄθαπτον ἐσχόμην, ἢ καὶ ἄλλως, ἠσχόμην, διὰ τοῦ η, κατὰ τὸ, ἔμελλον ἤμελλον· διεκόνουν διηκόνουν.

Baſ. p. 401. Ὣς ἔφατ' εὐχόμενος. τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη,
Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας, καὶ χεῖρας ὕπερθεν·
Ἀγχοῦ δ' ἱσταμένη, ἔπεα πτερόεντα προσηύδα·
Θαρσῶν νῦν, Διόμηδες, ἐπὶ Τρώεσσι μάχεσθαι.
Ἐν γάρ τοι στήθεσσι μένος πατρώϊον ἧκα
Ἄτρομον, οἷον ἔχεσκε σακέσπαλος ἱππότα Τυδεύς.

λθ'. Ἐν τῷ, Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας, καὶ χεῖρας ὕπερθε· τὸ πόδας, καὶ χεῖρας, τὰ λυσιτελῆ πρὸς δρόμου τάχος, διὰ σα-

αὖτε με φῖλαι, Ἀθήνη. *nunc rurſus dilige me, Minerva*. de quo paullò ante dictum eſt ad τὸ ἐφίλατο, *diligebat*. Quamquam illud nonnulli communiùs ſcribant φίλε, *ama*, pro φίλει, eliſâ per ſynalœphen vocali extremâ. Τὸ, δὸς ἄνδρα ἑλεῖν, καὶ εἰς ὁρμὴν ἔγχεος ἐλθεῖν. *Da, virum ut interficium, utque is in haſta impetum incurrat*, genus eſt figuratum loquendi per Prothyſteron, ſeu Hyſterologiam. Oportebat enim hæc ita verba diſponi: Da, ut Pandarus in haſtæ mihi impetum incurrat, & da mihi, ut eum quoque interficiam. Sed Homerus perturbatum, tumultuantemque hominem imitatus eſt, ea ut verba temere, nulloque certo ordine collocaret. Tale quoque illud: ἔβαλεν ἐπαΐσσοντα· διὰ δ' ἔπτατο πικρὸς ὀϊστός. *percuſſit irruentem. tranſvolavit autem amara ſagitta*. quod paullò ante dictum eſt. Etenim ibi ſuapte naturâ præcedit τὸ ἔπτατο, *volavit*: tum ſequitur τὸ ἔβαλε, *percuſſit*. Sed quia uno eodemque tempore res acta eſt, promiſcuè ea, nulloque inter ſe diſcrimine ſunt poſita. Simul enim, atque evolavit ſagitta, vulnus heroi inflictum fuit. Siquis tamen hic dicat, ſagittam vulnus feciſſe, trajectoque corpore, evolaviſſe; ſic naturali ordine primum eſſet τὸ ἔβαλε, *percuſſit*; poſtea τὸ ἔπτατο, *evolavit*.

XXXVIII. Vide præterea conciſa illa breviaque comparis, τὸ ἑλεῖν, *occidere*, & τὸ ἐλθεῖν, *incurrere*: quæ ſpeciem quamdam parecheſeos præ ſe ferunt. Rurſus obſerva, ut confidit Diomedes, ſi arcu Pandarus deſiſtat, confertâ cominus pugnâ, ſeſe ex eo facilè victoriam eſſe relaturum. Omnis enim ſagittarius, ineptus omnino, atque inutilis ad ſtatariam pugnam. Quare ne Scamandrio quidem ſupra ullâ ex parte profuit peritia eminus jaculandi, quum in eum Menelaus impetum feciſſet. Gloriatus erat Pandarus, non diu Diomedem violentam ſagittam eſſe perlaturum. Quorum ſanè verborum ſententiam Diomedes explicat in hunc modum: Neque me jactitat ſplendidum ſolis jubar diu amplius eſſe viſurum. Et obſerva, ut ἀνασχήσεσθαι dicit τὸ ὑπομεῖναι, *tolerare, perferre, ſuſtinere*, nec, accepto vulnere, mori, & ſub tenebras ire: ſed ἄνω σχεῖν, *ſurſum erigi, atque attolli, ſuperioremque locum tenere*, videlicet vivere, & in ſolis, ac lucis conſpectu verſari. Unde etiam de oriente Sole uſurpatur τὸ ἀνίσχειν, *oriri, ſeu exoriri*. Porro autem τὸ ἀνασχέσθαι, *perferre, ac ſuſtinere*, tum ipſum per ſe frequenter dicitur, ut: ἀνάσχεο, κηδομένη περ. *ſuſtineto, ut patienter ferto, quamvis mœrore affecta*; tum etiam ſimplici voce exprimitur ſine præpoſitione, cum alibi, tum eo etiam loci: εἰ τὸν ἐξ ἐμῆς μητρὸς θανόντ' ἄθαπτον ἐσχόμην. *Si hunc a matre meâ occiſum, inſepultum tuli*. aut etiam, ut alii legunt, ἠσχόμην, cum τῷ η. ut ἔμελλον, ἤμελλον, *debebam*; διεκόνουν, διηκόνουν, *miniſtrabam, ſeu miniſtrum agebam*.

Sic dixit precans; cumque audivit Pallas Minerva,
Membraque ei fecit levia, pedes, & manus deſuper;
Et prope ſtans, his eum volucribus verbis eſt allocuta:
Bono nunc animo, Diomedes, contra Trojanos pugna.
Tibi enim in pectus robur paternum miſi
Intrepidum, quale habuit ſcuti tractator eques Tydeus.

XXXIX. His verbis: Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας, καὶ χεῖρας ὕπερθε. *Membraque fecit levia, pedes, & manus deſuper*: pedes, ac manus, quæ ad currendi velocitatem conferunt, perſpicuitatis gra-

1. φίλε χρύσεον) In Editione Florentinâ, φίλε' Ἀθήνη. Polit.
ideſt, φίλεε. φίλει. ideſt, *ama*. Φίλε pro φίλει, abſurdum mihi videtur, pace Euſtathii dicere mihi liceat. *Salvinus*.
Φίλε' eſt per ſynalœphen pro φίλαι. Φίλαι autem, ἀντὶ τοῦ φίλαι. Hoc vult Euſtathius. Vetus Scholiaſta: φίλε' ἀντὶ τοῦ φίλησον. φίλαι, φίλαι. Politus.
2. ἀνασχήσεσθαι ἀντὶ τὸ ὑπομεῖναι) Ἀνασχέσθαι idem, ac ἀνέξεσθαι. ἔχω idem ac χῶ. Salvin.

gratiâ, ſeorſum, ac per ſeſe exprimit, ut explicet, quænam in primis hoc loci dixerit γῦα, *membra*. Ubi, ut de manibus dictum eſt τὸ ὕπερθεν, *deſuper*, *ſeu ſupernè*, ſic conſequenter, ut unum alteri conveniat, ad τὸ πόδας, *pedes*, adjungendum eſt τὸ ἔνερθεν, *infra*, *ſive infernè*. Sciendum autem eſt, vocem illam ἐλαφρὰ, *levia inſtar cervorum*, ductâ veluti metaphorâ ἀπὸ τῶν ἐλάφων, *a cervis*, multò huc aptiorem eſſe, atque appoſitiorem, quàm cum de lignis, aliiſque hujuſcemodi rebus uſurpatur. Neque enim diſſentaneum eſt, aut a ratione alienum, pedes dicere quaſi ἐλαφρὰς, *cervinos*, propter velocitatem. Ad virum fortem, fortique patre natum, ut ſupra ſcriptum eſt, pulchrum dictu, & percommodum illud: Ἐν γάρ τοι ςήθεσσι μένος πατρώϊον ἄτρομον, οἷον ἔχεσκε σακέσπαλος ἱππότα ὁ δεῖνα. *Tibi enim in pectore robur paternum intrepidum, quale habuit tractator ſcuti eques, quiſquis ille demum fuerit.*

σαφήνειαν, ἰδίᾳ ἐξεφώνησεν, [1] ἑρμηνεύων, τίνα εἴπε κατεξαίρετον γυῖα ἐνταῦθα. Προςληπτέον δὲ εἰς τὸ, πόδας, τὸ ἔνερθε κατὰ ἀκολουθίαν, ὡς ἐπὶ χειρῶν εἴρηται τὸ ὕπερθεν. Ἰςέον δὲ, ὅτι ἐνταῦθα μάλιςα τὸ, ἐλαφρὰ, καίριόν ἐςιν, [2] ὡς ἀπὸ τῆς τῶν ἐλάφων τροπῆς, ἤπερ ἐπὶ ξύλων, καὶ τῶν τοιούτων. ἔςι γὰρ οὐκ ἀπροσφυῶς λέγεσθαι [3] πόδας ἐλαφρὰς οἷόν τινας, διʼ ὠκύτητα. Πρὸς ἀνδρεῖον, καὶ ἐξ ἀνδρείου πατρὸς φύντα, καλὸν εἰπεῖν, ὡς προεγράφη, τὸ, Ἐν γάρ τοι ςήθεσι μένος πατρώϊον ἄτρομον, οἷον ἔχεσκε σακέσπαλος ἱππότα ὁ δεῖνα.

Caliginem verò tibi ab oculis abſtuli, quæ priùs inerat,
Ut bene dignoſcas & deum, & hominem.
Quare nunc, ſi deus, periculi faciendi cauſâ, huc venerit,
Ne tu certè contra deos immortales pugnes
Alios. verùm ſi Jovis filia Venus
In pugnam venerit, vulnera hanc acuto ære.

Ἀχλὺν δʼ αὖ τοι ἀπʼ ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
Ὄφρʼ εὖ γιγνώσκῃς ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα.
Τῷ νῦν, αἴκε θεὸς πειρώμενος ἐνθάδʼ ἵκηται,
Μήτι σύ γʼ ἀθανάτοισι θεοῖς ἀντικρὺ μάχεσθαι
Τοῖς ἄλλοις. αὐτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
Ἔλθῃσʼ ἐς πόλεμον, τήν γʼ οὐτάμεν ὀξέϊ χαλκῷ.

XL. Homini, cui dux ſapientia fuerit ad divinarum humanarumque rerum cognitionem, convenit in laudem illud: Ἀχλὺν δʼ αὖ τοι ἀπʼ ὀφθαλμῶν ἕλον, ὄφρʼ εὖ γινώσκῃς ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα, *Caliginem verò rurſus tibi ab oculis abſtuli, ut benè dignoſcas tum deum, tum etiam hominem*, quæ verba ſunt Minervæ ad Diomedem. Ubi obſerva, ut, cum dicit, ἠδὲ καὶ ἄνδρα, *atque etiam hominem*, poſitæ ſimul ſunt per parallelismum conjunctiones duæ, videlicet ἠδὲ, *atque*, & καὶ, *&*, ſicuti etiam alibi pleriſque in locis. Item, cum ait: Ἀχλὺν αὖ τοι ἀπʼ ὀφθαλμῶν ἕλον. *caliginem rurſus tibi ab oculis abſtuli*; perſolvit Poëta quæſtionem illam, quî dignoſcere potuerit Diomedes, hanc eſſe Venerem, & hunc Martem. Aut enim corporis ſunt expertes; & quo eos pacto intuebatur? aut certe corporei; & qua eos ratione deos eſſe dignoſcebat? Fabuloſè igitur fabulam ita diſſolvit, atque explicat, ut Minerva, quippe quæ lucem ferat, ac miniſtret, caliginem ab ejus oculis abſtulerit, vimque ei tribuerit diſcernendi tum dei, tum hominis. Clara tamen admodum eſt, atque perſpicua allegoria. Etenim ſolers prudenſque imperator eos facilè diſcernit, qui, furioſi Martis more, temerè & inconſideratè prœliantur, aut ſecùs remiſsè, & molliter, atque, ut ſummatim dicam, humanitus; ac rurſus eos, qui divinâ propemodum virtute pugnant, & ſupra quàm hominum vires patiantur. Quin etiam fortaſſe depoſitum hic eſt ſemen, ex quo orta eſt Philoſophiæ definitio. Deſcribitur enim, ac repræſentatur Diomedes, veluti homo deditus, atque addictus contemplationi veritatis. Qui autem ſic ſtudet veritati, deum novit, atque hominem, eo quia Philoſophia, cognitio eſt divinarum, atque humanarum rerum. Obſequentis facilè deo, piique ingenii illud: Μήτι σὺ ἀθανάτῳ θεῷ ἀντικρὺ μάχεσθαι. *Ne tu cum immortali deo ex adverſo pugnes*. Ubi correpta eſt ultima τοῦ ἀντικρὺ, ex

μ΄. Ἀνθρώπῳ, ὃν ἡ σοφία εἰς θεολογίαν, καὶ εἰς φυσιολογίαν ὡδήγησε, πρέπει, εἰς ἔπαινον, τὸ, Ἀχλὺν δʼ αὖ τοι ἀπʼ ὀφθαλμῶν ἕλον, ὄφρʼ εὖ γινώσκῃς ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα, ὃ πρὸς Διομήδην φησὶν ἡ Ἀθηνᾶ. Ἔνθα σημείωσαι, ὅτι τὸ ἐν τῷ, ἠδὲ καὶ ἄνδρα, ἐκ παραλλήλου κεῖνται δύο σύνδεσμοι, ὅ ἠδὲ, καὶ ὁ καί, ὡς καὶ ἀλλαχοῦ ἐν πολλοῖς· καὶ ὅτι ἐν τῷ, Ἀχλὺν αὖ τοι ἀπʼ ὀφθαλμῶν ἕλον, ἀπορίαν λύει ὁ Ποιητὴς τὴν λέγουσαν, πῶς εἶχεν ὁ Διομήδης διακρίνειν, ὅτι αὕτη μέν ἐςιν Ἀφροδίτη, οὗτος δὲ Ἄρης. Ἢ γὰρ ἀσώματοί εἰσι, καὶ πῶς αὐτοὺς ἑώρα; ἢ ἐν σώματι, καὶ πῶς αὐτοὺς θεοὺς εἶναι διέκρινε; Λύει οὖν μυθικῶς τὸ μυθικόν· ὅτι φωσφόρος οὖσα ἡ Ἀθηνᾶ, ἀφεῖλε τῶν ὀφθαλμῶν αὐτοῦ τὴν ἀχλὺν, καὶ δέδωκε διακρίνειν θεόν τε, καὶ ἄνδρα. Ἡ δὲ ἀλληγορία, πάνυ σαφής. Ὁ γὰρ συνετὸς ςρατηγὸς ῥᾷον διακρίνει τοὺς κατὰ τὸν μανιώδη Ἄρην θρασέως μαχομένους, καὶ ἀλογίςως, ἢ ἄλλως χαύνως, καὶ μαλακῶς, καὶ τὸ ὅλον εἰπεῖν, ἀνθρωπίνως· καὶ τοὺς ἄλλως δὲ μαχομένους θειότερον, καὶ ὑπὲρ ἄνθρωπον. Τάχα δὲ καὶ σπέρμα ὁρισμοῦ φιλοσοφίας ἐνταῦθα κεῖται. Θεωρητικὸς μὲν γάρ τις ὁ Διομήδης παραλαλεῖται· ὁ δὲ τοιοῦτος οἶδε θεὸν, καὶ ἄνδρα, ὅτι καὶ ἡ φιλοσοφία, γνῶσις θείων, καὶ ἀνθρωπίνων πραγμάτων ἐςίν. Θεοπειθοῦς ἦθος τὸ, Μήτι σὺ ἀθανάτῳ θεῷ ἀντικρὺ μάχεσθαι. Ἐνταῦθα δὲ συνέςαλται τοῦ Rom.p.530.

 ex

Aa αἰτι-

1. ἑρμηνεύων, τίνα εἴπε κατεξαίρετον γυῖα ἐνταῦθα) oppoſitè ad etymologiam τῆς γύης. Etymologici Magni Auctor: γύα. πεδίας ἐπὶ τῶν ποδῶν λέγεται· παρὰ τὸ ἐπὶ τῆς γύης (ὅ ἐςι τῆς γῆς) ἰέναι. ἐπὶ γὰρ ταύτης βέβηκε· καὶ ἡ πρᾶξις αἰνεῖται τῶν ἀνθρώπων, διὰ χειρῶν, καὶ ποδῶν γίνεται. ἢ παρὰ τὸ γύω, γίνεται γυῖα· καὶ τροπῇ τοῦ ι εἰς υ, γύα. τέτακται καὶ ἐπὶ τῶν χειρῶν. ἕλον· Γυῖα δʼ ἔθηκεν ἐλαφρὰ, πόδας καὶ χεῖρας ὕπερθεν. Politus.

2. ὡς ἀπὸ τῆς τῶν ἐλάφων τροπῆς) Etymologici Magni Auctor: ἐλαφρὸς, ἀκίνητος, ἐλαφρὸς τις ὤν. ἢ ἀπὸ τῆς ἐλάφου, ὅ ἐςι κουφότατον, καὶ ἀκίνητον. Polit.

3. πόδας) l. πόδας. Emendatum id etiam a Frobenio, Polit.

ἀντικρὺ ἡ λήγουσα. Ὅτι δὲ καὶ ἐκτείνεται, οὐ πρὸ πολλοῦ γέγραπται. Ἔννοια προανακφωνητικὴ ῥητορικῶς τοῦ μέλλοντος διὰ Ἀθηνᾶς πρὸς Διομήδην τό, εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη ἔλθῃσιν ἐς πόλεμον, τήν γ' οὐτάμεν ὀξέϊ χαλκῷ. μέλλει γὰρ προαχθῆναι τοῦτο ἐν τοῖς ἑξῆς. Τὴν δ' αὐτὴν Ἀθηνᾶν μετ' οὐ πολὺ, [1] κατά τινα δευτέραν σοφωτέραν φροντίδα, ἕτερος ἀνήσει λογισμὸς, ἀντικαταστῆναι τὸν Διομήδην καὶ τῷ Ἄρει. ὃ νῦν οὐ λελάληται.

Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη,
Τυδείδης δ' ἐξαῦτις ἰὼν, προμάχοισιν ἐμίχθη,
Καὶ πρίν περ θυμῷ μεμαὼς Τρώεσσι μάχεσθαι.

μά. [2] Βουλευομένοις μέν τισι παρεῖναι πολλαχοῦ τὴν Ἀθηνᾶν φησιν, ἤτοι τὴν φρόνησιν, ὁ Ποιητής· ἔργου δὲ ἀρξαμένων ἀποχωρεῖν λέγει αὐτήν. Καὶ τοῦτο ἐνέφηνε μὲν καὶ πρὸ μικροῦ ἐν τούτῳ τῷ γράμματι· ἐνταῦθα δὲ ἔτι σαφέστατα διαδείκνυσιν ἐν τῷ, Ἡ μὲν, ὣς εἰποῦσα, ἀπέβη γλαυκῶπις Ἀθήνη. Διομήδης δ' ἐξαῦτις ἰὼν, προμάχοισιν ἐμίχθη. Δηλοῖ δὲ ὁ λόγος, ὡς καὶ ἀλλαχοῦ φαίνεται, ὅτι ὁ ἔργοις ἐγχειρήσας [3] ταῖς ἀπὸ προηγησαμένης σκέψεως, οὐκέτι πρὸ ἔργου τίθεται τὴν βουλὴν, ὅπερ ἐστὶ, τὴν Ἀθηνᾶν.

Δὴ τότε μιν τρὶς τόσσον ἕλεν μένος, ὥστε λέοντα,
Ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ' εἰροπόκοις ὀΐεσσι
[4] Χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον, οὐδὲ δαμάσσῃ.
Τοῦ μέν τε σθένος ὦρσεν· ἔπειτα δέ τ' οὐ προσαμύνει,
Baſ. p. 402. *Ἀλλὰ κατὰ σταθμοὺς δύεται· τὰ δ' ἐρῆμα φοβεῖται.*
Αἱ μέν τ' [5] ἀγχηστῖναι ἐπ' ἀλλήλῃσι κέχυνται·
Αὐτὰρ ὁ ἐμμεμαὼς, βαθέης ἐξάλλεται αὐλῆς.
Ὣς μεμαὼς, Τρώεσσι μίγη κρατερὸς Διομήδης.

μβ´. Ἀγαμέμνονος μὲν ὀτρύναντος, ὁ Διομήδης μεγάλα εἰργάσατο· Ἀθηνᾶς δὲ θαρσεῖν ἐγκελευσαμένης, καὶ ἀναμνησάσης τοῦ πατρὸς, πολλαπλοῦς γίνεται, ἀντεπεξάγων ἑαυτὸν, ὡς εἰκὸς, τῇ πατρικῇ ἀρετῇ, κατά τινα ζῆλον φιλόνεικον. Φησὶ γάρ· Δὴ τότε μιν τρὶς τόσσον ἕλεν μένος, ὥστε λέοντα, καὶ ἑξῆς, ὡς εὐθὺς ῥηθήσεται. Καὶ ὅρα τὸ, εἷλεν μένος, ἤτοι κατέσχεν. ὅθεν λαβόντες οἱ μεθ' Ὅμηρον, κατέχεσθαί τινα φασὶ θυμῷ, καὶ Ἄρει κάτοχον εἶναι, καὶ ὅσα τοιαῦτα. Ὅρα δὲ καὶ τὸ, δὴ τότε. Πολλαχοῦ γὰρ κατὰ γλῶσσαν ὁ Ποιητὴς τὸ δὴ τίθησιν ἐν καταρχῇ ἐννοιῶν. ὃ τοῖς πεζολογοῦσιν ἀσύνηθές ἐστιν. Ἰστέον δὲ, ὅτι τὸ τρὶς τόσσον, οὐκ αὐτό-

ex adverſo. Nam ipſam quoque produci, non multò ante notatum eſt. Vim prædicendi Oratoriè futuri habet animadverſio hæc, & admonitio Minervæ ad Diomedem: ſiquidem filia Jovis Venus in pugnam venerit, hanc vulnera acuto ære. Huc enim res tandem eſt evaſura. Eamdem autem Minervam non ita multo poſt, ex curâ ſecundâ, eaque ſapientiori, circumſpectio altera movet, atque impellit, ut ipſi etiam Marti Diomedem opponat, eumque adverſis in Martem armis ire jubeat. quod nunc verbis minimè expreſſum fuit.

Sic quidem locuta diſceſſit cæſiis oculis Minerva.
Tydides verò reverſus, antesignanis immixtus eſt,
Licet antea quoque animo paratus ad pugnandum cum Trojanis.

XLI. Quemadmodum, cum ſerum aliqui de unâ aliquâ re deliberant, iis adeſſe præſentem Minervam, quæ prudentiam ſignificat, paſſim narrat Poëta; ita & eum operi manum adhibent, recedere eam commemorat. Idque quum paullò ante in hoc libro non obſcurè pateſecerit, tum multò adhuc clariſſimè demonſtrat hoc loci, ubi rem ita exponit: Ipſa quidem ſic locuta, diſceſſit, cæſiis oculis Minerva. Diomedes verò reverſus, primis eſt pugnatoribus immixtus. Quæ verba, ut alibi quoque apparet, clarè oſtendunt, eum, qui, poſt accuratam diligentemque agendarum rerum deliberationem, manum inde operi admovet, non ampliùs operi conſultationem præmittere, quæ ipſa quidem conſultatio eſt Minerva.

Tunc certè eum ter tantum cepit robur, leonis inſtar,
Quem paſtor in agro ad lanigeras oves
Perſtrinxerit ſtabulum tranſilientem, neque interfecerit.
Hujus quidem vim irritat; poſtea tamen non propulſat;
Sed in ſtabula ſe abdit. Oves autem deſerta aufugiunt,
Ipſæque conferta aliæ ſuper alias funduntur;
Ille verò alacer ex alto exſilit ovili.
Sic alacer Trojanis immixtus eſt fortis Diomedes.

XLII. Quamquam, hortatu Agamemnonis, res magnas geſſit Diomedes; tamen, poſteaquam bono eum, fidentique animo eſſe juſſit Minerva, & patris ei memoriam, atque imaginem propoſuit, multis ſanè partibus major evadit, perinde quaſi ipſe ſemet, ut videtur, pertinaci quodam, & ambitioſo vincendi ſtudio, virtuti paternæ æmulum ex adverſo objiciat. Sic enim narrat: Δὴ τότε μιν τρὶς τόσσον ἕλεν μένος, ὥς τε λέοντα, &c. *Certè tunc eum ter tantum cepit robur, ut leonem, &c.* ut ſtatim dicetur. Ac vide illud, ἕλεν μένος, *cepit robur*, ſive κατέσχεν, *tenuit*, *invaſit*, *occupavit*. Unde qui Homerum ſunt ſubſecuti, ſumpto exemplo, unum aliquem dicunt κατέχεσθαι θυμῷ, *teneri*, *ſeu occupari irâ*, & Ἄρει κάτοχον εἶναι, *furore Martis afflatum eſſe*, *Martis ſtudio captum teneri*, & quæcunque ſunt talia loquendi genera. Vide etiam τό, δὴ τότε. *certè quidem tunc*. Sæpe enim Poëta, peculiari ſuâ linguâ, uſurpat τὸ δὴ, *certè*, *ſanè*, *demum*, in principio ſententiarum. quod pedeſtribus ſcriptoribus eſt prorſus inuſitatum. Sciendum autem eſt, his vocibus, τρὶς τόσσον, *ter tantum*, non

1. κατά τινα δευτέραν σοφωτέραν φροντίδα) Nota eſt Euripidis ſententia: δεύτεραι φροντίδες σοφώτεραι. *ſecunda cura ſapientiores*. Salvinus.
2. Βουλευομένοις μέν τισι παρεῖναι πολλαχοῦ τὴν Ἀθηνᾶν) Horatius: *Tu nihil invitâ dices, faciesve Minervâ*. Salvin.
3. ταῖς ἀπὸ προηγησαμένης σκέψεως) l. τοῖς ἀπὸ προηγησαμένης σκέψεως. Polit.
. Salluſtius: *Priuſquam incipias, conſulto; ubi conſulueris, maturè facto opus eſt*. Salvin.

4. Χραύσῃ) Euſtathius. χραύσει. ut & δαμάσσει pro δαμάσσῃ. Polit.
5. ἀγχηστῖναι) Editio Homeri Florentina ἀγχηστῖναι. ut & ſemel paullò infra editio Euſtathii Romana. Varias enim ſcriptura hujus vocis. Quamquam ad mentem Euſtathii ſcribendum ſit, ἀγχιστῖναι. Polit.
Ἄγχιστα. ut ἔγγιστα, proximè. Idcirco ſcriberem: ἀγχιστῖναι, Salvinus.

non ſignificari re verâ triplex, ſeu tribus partibus majus; ſed, ut explicatum eſt, multiplex, ſeu multis partibus majus: quoniam τὸ τρία, *tria*, tum initium eſt numeri pluralis, tum etiam ſæpe ſignificat multitudinem, ut in τῷ τρισμακάριος, *ter beatus*, & τρισάθλιος, *ter miſer*. Diomedem, quum, poſt acceptum a Pandaro vulnus, multò ferocior ac vehementior evaſiſſet, comparat cum leone, quem paſtor percutit; ſed citra noxam, ac detrimentum; ideoque ad majorem iram eum concitat, atque irritat. Hæc enim ejus verba: *Ter tantum eum cepit robur, ut leonem, quem opilio in agro ad lanigeras oves, dum caulam tranſiliret, perſtrinxerit, neque interfecerit. Hujus enim vim irritat: virûm poſtea minimè propulſat; ſed in ſtabula ſe abdit, deſertæque oves fugantur. Hæ quidem coacervatæ, aliæ ſupra alias funduntur. Ille verò alacer alto ex ovili exſilit. Sic alacer Trojanis immixtus eſt fortis Diomedes.* Et obſerva, ut paſtori quidem Pandarum aſſimilat, ob regiam ejus dignitatem, eo quòd paſtor & ipſe ſit populorum; lanigeris verò ovibus Trojanos, eo quòd facili negotio a Diomede, veluti a leone, opprimantur. Quamquam in extremâ parte libri δ´ ovibus eos aſſimilaverit, propter voces earum obſtrepentes, & tumultuoſas. Oves porrò, præ aliis animantibus, eximiâ quadam & peculiari notâ, vocat εἰροπόκους, *tonſam lanam habentes, ſeu lanigeras*. Nullum enim aliud animal ſic πέκεται εἰς εἶρος, videlicet ἔριον, *tondetur propter lanam*. quam etiam capræ quibusdam in locis habent, quum ex alibi τρίχας, *villos*, gerant, non certè quidem ἔριον, *lanam*, ferant. Neque enim eſt ambigendum, quin θρὶξ, *villus, ſeu pilus*, & ἔριον, *lana, ſeu vellus*, inter ſe differant, certè apud eos, quibus propoſitum eſt rectè loqui. Sciendum autem eſt, a non ſerendâ lanâ in vulgus emanaſſe hoc adagium: εἰς ὄνου πόκας. *ad aſini vellera*. iis de rebus, quæ nulli ſunt lucro, neque utilitati. quod adagium per parœdiam Comicus imitatus, ὄνου πόκας, *aſini vellera*, per jocum fingit, veluti locum quemdam inferorum.

XLIII. Χραῦσαι, *perſtringere*, dicitur ſummam ipſam cutem corporis radere: & fit per epentheſin, pleonaſmum videlicet, τοῦ υ, ex χράω, *aggredior, adorior, invado*. ut, ἔχραε κήδειν. *invaſit, ut malè afficeret, ac torqueret*. &, Μητέρι μοι μνηστῆρες ἐπέχραον. *Matrem meam proci aggrediebantur*. Sicuti autem χραίω χραύω, *adorior, perſtringo*;

τὸ χρῆμα δηλοῖ τὸ τριπλοῦν, ἀλλ᾽, ὡς εἴρηται, τὸ πολλαπλοῦν· ἐπεὶ καὶ [1] τὸ τρία καὶ ἀρχὴ ἐστιν ἀριθμοῦ πληθυντικοῦ, καὶ πλῆθος δὲ πολλάκις δηλοῖ, [2] ὡς καὶ ἐν τῷ τρισμακάριος, καὶ τρισάθλιος. Τὸν Διομήδην, μετὰ τὴν τοῦ Πανδάρου πληγὴν, ἐπιπλέον θρασυνθέντα, λέοντι παραβάλλει, ὃν ποιμὴν βάλλει μὲν, οὐ βλάψει δὲ, καὶ διὰ τοῦτο εἰς πλεῖστα ἐρεθίσει θυμόν. Φησὶ γοῦν, ὅτι τρὶς τόσσον αὐτὸν ἕλεν μένος, ὥστε λέοντα, ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ᾽ εἰροπόκοις ὀΐεσσι, χραύσῃ μέν τ᾽ αὐλῆς ὑπεράλμενον, οὐδὲ δαμάσσῃ. Τοῦ μέν τε σθένος ὦρσεν· ἔπειτα δέ τ᾽ οὐ προσαμύνει· ἀλλὰ κατὰ σταθμοὺς δύεται· τὰ δ᾽ ἐρῆμα φοβεῖται. Αἱ μέν τ᾽ ἀγχηστῖναι ἐπ᾽ ἀλλήλῃσι κέχυνται. αὐτὰρ ὁ ἐμμεμαὼς, βαθέης ἐξάλλεται αὐλῆς. Ὣς μεμαὼς Τρώεσσι μίγη κρατερὸς Διομήδης. Καὶ σημείωσαι, ὅτι ποιμένι μὲν εἰκάζει τὸν Πάνδαρον, διὰ τὸ ἀρχικόν. λαῶν γὰρ ποιμὴν καὶ αὐτός. ὀΐεσσι δὲ εἰροπόκοις τοὺς Τρῶας, διὰ τὸ ὑπὸ τοῦ Διομήδους, οἷα ὑπὸ λέοντος, εὐκαταπόνητον. Ἐν μέντοι τῷ τέλει τῆς δ´ ῥαψῳδίας, καὶ διὰ τὸ θορυβητικὸν, ὀΐεσσιν αὐτοὺς εἴκασεν. Εἰροπόκους δὲ τὰς οἶς λέγει, κατ᾽ ἐξαίρετον, πρὸς τὰ ἄλλα ζῶα. [3] οὐδὲν γὰρ ἄλλο ζῶον οὕτω πέκεται εἰς εἶρος, ἤγουν ἔριον. [4] ὃ καὶ αἶγες περὶ τινὰς χώρας ἔχουσιν, ἐν ἑτέραις τρίχας φέρουσαι, οὐ μὲν ἐριοφοροῦσαι. Ὅτι δὲ διαφέρετον θρὶξ, καὶ ἔριον, οὐκ ἔστιν ἀμφιβαλεῖν, παρά γε τοῖς προθεμένοις ὀρθολεκτεῖν. Ἰστέον δὲ, ὡς τὸ μὴ ἐριοφορεῖν, [5] παροιμίαν ἐξῄνεγκε [6] τὸ εἰς ὄνου πόκας, ἐπὶ τῶν ἀκερδῶν, καὶ ἀλυσιτελῶν. ἣν παρῳδήσας ὁ Κωμικὸς, [7] ὄνου πόκας παίζων πλάττει, ὡς οἷά τι χωρίον ἐν ᾅδου. Rom. p. 538.

μγ´. Χραῦσαι δὲ λέγεται, τὸ ἐπιπολῆς ξέσαι εἰς αὐτὸν τὸν χρῶν τοῦ σώματος· καὶ γίνεται ἐπενθέσει, ἤγουν πλεονασμῷ, τοῦ υ, [8] ἀπὸ τοῦ χράω. [9] ὡς τὸ, ἔχραε κήδειν. καὶ, Μητέρι μοι μνηστῆρες [10] ἐπέχραον. Ὡς δὲ χραίω χραύω,

1. τὸ τρία καὶ ἀρχὴ ἐστιν ἀριθμοῦ πληθυντικοῦ) Pſellus in Arithmeticâ: ἡ δὲ τριὰς, ἀριθμὸς κυρίως, καὶ ἀριθμῶν ὁ πρῶτος, ἀρχὴν, καὶ τέλος, καὶ μεσότητα ἔχων, ἀρχὴ πλήθους. Politus.

2. ὡς καὶ ἐν τῷ τρισμακάριος) Virg. — o terque quaterque beati, Queis ante ora patrum, Troja ſub mœnibus altis Contigit oppetere. Salvinus.

3. οὐδὲν γὰρ ἄλλο ζῶον οὕτω πέκεται εἰς εἶρος) Hinc oves εἰροπόκοι. Heſychius: εἰροπόκοις, ἔρια πεπεγμένα ἔχουσι. πέκειν γὰρ τὸ ξαίνειν, κείρειν. Polit.

4. ὃ καὶ αἶγες περὶ τινὰς χώρας ἔχουσιν) Eſt in proverbio *lana caprina*. Polit.

5. παροιμίαν ἐξῄνεγκε) Puto, παροιμίαν. Polit.

6. τὸ εἰς ὄνου πόκας) Ne mutes; neque audias Henricum Stephanum, qui malè ita efferri putat proverbium, perperamque additam eſſe præpoſitionem ex Ariſtophanis loco. Veriſimilius enim eſt, hoc ipſum loquendi genus, εἰς ὄνου πόκας, in proverbii conſuetudinem abiſſe, juxta atque aliud ſatis familiare, ἐς κόρακας· ideoque utrumque ſub Charontis perſonâ ſcitè adhibitum ab Ariſtophane ad riſum populi captandum. Ranis v. 198.

Τίς εἰς τὸ Λήθης πεδίον; ἢ ᾽ς ὄνου πόκας;
Ἢ ᾽ς Κερβερίους; ἢ ᾽ς κόρακας; ἢ ᾽πὶ Ταίναρον;

Alii aliter proverbium idem efferunt. Zenobius, ὄνου πόκας ζητεῖς. Seu etiam, ὄνου πόκας. Diogenianus, ὄνου πόκαι. Heſychius, Suidas, Michael Apoſtolius, ὄνου πόκαι. Politus.

Henricus Stephanus ſecutus eſt parœmiographos, quorum unus eſt Zenodotus, qui proverbium hoc ſimpliciter, abſque præpoſitione εἰς, efferunt. Sed cum illâ præpoſitione habet neſcio quid elegantiæ, ut Euſtathius effert, quaſi indicando locum Ariſtophanis. *Salvinus*.

7. ὄνου πόκας παίζων πλάττει, ὡς οἷά τι χωρίον ἐν ᾅδου) Heſychius: Ὄνου πόκαι. χωρίον ἐν ᾅδου διεπλάσατο Ἀριστοφάνης, οὕτω λεγόμενον πλάσας. ἔστι δὲ καὶ παροιμία τις, ὄνου πόκαι. ἐπὶ τῶν ἀνηνύτων, καὶ ἀτελῶν. οὐδὲ γὰρ αἱ τρίχες τοῦ ὄνου, καὶ κείρεσθαι δύνανταί τι. ὥσπερ οἱ λόγοι τινὲς, ὄνου σκιᾶς. Παρόσον δὲ τὰ ἐν ᾅδου ἀνόνητά ἐστι, καὶ τὸ μηδὲν, παρὰ τοῦτο τὰς τοῦ ὄνου πόκας ἔπλασεν. Politus.

8. ἀπὸ τοῦ χράω) Etymologici Magni Auctor: ἔστι ῥῆμα χρῶ, δηλοῦν τὸ ἅπτομαι, καὶ πλησιάζω· ἐξ οὗ παράγωγον, χραίω. Polit.

9. ὡς τὸ, ἔχραε κήδειν) Ἥρη, τίπτε σὲ υἱὸς ἐμὸς περὶ ἄλλων ἔχραε κήδειν; lib. φ´ Il. *Polit.*

10. ἐπέχραον) μετὰ βλάβης, καὶ ἐπηρείας ἐπῆλθον. Scholiaſtes. *Polit.*

Digitized by Google

χραύω, οὕτω καὶ λάω. οἷον, [1] Ἀσπαίροντα λάων. καὶ κατὰ πλεονασμὸν [2] λαύω, ἐξ οὗ καὶ τὰ ἀπολαύω, [3] καὶ λαυκανία ὁ λαιμός. Οὕτω δὲ καὶ ἄω αὔω τὸ πνέω, καὶ φωνῶ, καὶ ψάω ψαύω. καὶ ἐλάω ἐλαύω, ἐξ οὗ τὸ ἐλαύνω. Τὸ δὲ, σθένεϊ ὦρσεν, ἐν τοῖς ἑξῆς σαφέστερον ἐρεῖ, ὅτε εἴπῃ ὁ Πάνδαρος, ὅτι βαλὼν τὸν Διομήδην, ἤγειρε μᾶλλον. Ταυτὸν γὰρ τὸ σθένος ὄρσαι, καὶ τὸ ἐγεῖραι μᾶλλον. ὅθεν καὶ ὄρθρος λέγεται [4] ὁ ὀρθῶν, καὶ ἐγείρων ἡμᾶς. Σταθμοὶ δὲ τὰ ἐν τοῖς ἀγροῖς ζωοστάσια, αἱ ἐπαύλεις, καὶ ὅλως κατοικίαι ἀγροτικαί. πολλὴ δὲ ἡ χρῆσις παρὰ τῷ Ποιητῇ. Τίθησι δέ που τὴν λέξιν καὶ ἐπὶ ζυγίου, ὡς ἀλλαχοῦ φανήσεται. καὶ μέρος δὲ θυρῶν ἐν Ὀδυσσείᾳ οἱ σταθμοὶ, [5] οὓς παραστάδας ὁ Τραγικός φησιν. Αἱ δὲ ἱστορίαι, σταθμοὺς οἴδασι λέγειν, καὶ τὰς ὡρισμένας, εἴτ᾽ οὖν τεταγμένας ἐνοδίους ἀναπαύλας τοῖς εἴτε ἱππεύουσιν, εἴτε πεζοδρομοῦσιν. ἃς καὶ ἀλλαγὰς ἔλεγόν τινες. Οὕτω γὰρ τοσοίδε σταθμοὶ ὁδευθῆναι λέγονται πρός τινων· [6] καὶ τοσούσδε σταθμοὺς εἶναι ἀπὸ τοῦδέ τινος τόπου εἰς ἄλλον φαμέν. Τὸ δὲ, τὰ δ᾽ ἐρῆμα φοβεῦνται, σχῆμά ἐστι καινοπρεπὲς, καὶ τοῖς φθάσασιν ἀκατάλληλον. Ὤφελε μὲν γὰρ εἰπεῖν· αἱ δ᾽ ἐρῆμαι φοβεῦνται. τουτέστιν, αἱ εἰροπόκοι ὄϊες. ὁ δὲ ἐσχημάτισεν ὡς πρὸς ποίμνια, ἢ πρόβατα, ἢ θρέμματα. Ταυτὸν γὰρ εἰπεῖν ὄϊας, καὶ εἰπεῖν ποίμνια, ἢ πρόβατα. Τὸ δ᾽ ἐναντίον τούτου ἐπέπεσεν ἐν τῷ τέλει τῆς β΄. Ἐκεῖ μὲν γὰρ ἀπὸ οὐδετέρου πληθυντικοῦ εἰς θηλυκὸν μετέπεσεν, εἰπών· πτηνῶν ἔθνεα ποτῶνται, ἀγαλλόμεναι πτερύγεσσιν. ἤγουν ἀγέλαι πέτονται ἀγαλλόμεναι. ἐνταῦθα δὲ μετέβη ἀπὸ θηλυκοῦ πληθυντικοῦ εἰς οὐδέτερον. Ἔφη γὰρ, εἰροπόκοις ὀΐεσσιν, ἃ ἐρῆμα φοβεῦνται. ἤγουν εἰροπόκοις ζώοις, ἢ ποιμνίοις, ἃ ἔρημα τοῦ βοηθήσοντος φεύγει. Εἶτα εὐθὺς πάλιν ἐπανακάμπτει εἰς τὸ ἐξ ἀρχῆς θηλυκὸν, εἰπών· αἱ μὲν [7] ἀγχηστῖναι κέχυνται, ἤγουν αἱ ὄϊς.

μδ΄. [8] Τὸ δὲ ἐρῆμα, προπερισπῶσιν οἱ παλαιοί. Ὥσπερ γὰρ ἑτοῖμον λέγει Ὅμηρος προπερι-

go; ſic etiam λάω, *fruor*. ut, Ἀσπαίροντα λάων. *palpitante, ſeu tremente fruens*. & per pleonaſmum λαύω, ex quo τὸ ἀπολαύω, *fruor, oblector, fructum capio, voluptatem percipio*. & λαυκανία, ideſt, λαιμός, *guttur, ſeu gula*. Et ſic etiam ἄω αὔω, quod ſignificat *ſpiro*, & *clamo*; ψάω, ψαύω, *tango, attingo*; ἐλάω ἐλαύω, *agito*, ex quo τὸ ἐλαύνω, *ago, impello, inſequor*. Illud, σθένος ὦρσε, *vim concitavit*, clarius poſtea exprimit, cum Pandarus dicit, ita ſibi vulneratum eſſe Diomedem, ut eum magis irritaverit. Idem namque eſt τὸ σθένος ὄρσαι, *vim concitare, inſtigare, impellere*, atque τὸ ἐγεῖραι μᾶλλον, *magis magiſque excitare, ſeu ſuſcitare, expergefacere*. Unde etiam dicitur ὄρθρος, *diluculum, ſeu tempus matutinum*, quod nos ὀρθοῖ, *erigit*, atque excitat. Σταθμοὶ, *ſtabula*, ſepta animalium ruri, ideſt, caulæ, & generatim caſæ, ſeu tuguria ruſtica. Multa extant exempla apud Poëtam. Quin & alicubi vocem hanc uſurpat de ſtaterâ, ut alibi poſtea apparet. Ad hæc, pars oſtii, ſeu forium, in Odyſſeâ, οἱ σταθμοὶ, *poſtes*, quos παραστάδας, *antas*, vocat Tragicus. Hiſtoriarum autem ſcriptores, voce apud ipſos uſitatâ, σταθμοὺς, *ſtabula*, ſolent etiam dicere certas, ac definitas, ſeu diſpoſitas in viâ ſtationes, in quibus, quietis gratiâ, ſubſiſtunt ii, qui iter faciunt, ſive equo, ſive pedibus currant. quas item nonnulli ἀλλαγὰς, *manſiones, ſeu diverſoria*, appellarunt. Sic enim tot σταθμοὶ, *diſpoſitarum manſionum ſpatia*, confecta ab aliquibus dicuntur: itemque tot σταθμοὺς, *diſpoſitas ſtationes*, ab uno aliquo loco eſſe ad alium dicimus. Figurata locutio cum decenti quadam, ac ſplendidâ novitate, neque cum antecedentibus verbis ſatis congruens, illa eſt: τὰ δ᾽ ἐρῆμα φοβεῦνται. *Illa verò deſerta trepidant, ac diffugiunt*. Debebat enim dicere: αἱ δ᾽ ἐρῆμαι φοβεῦνται. *Illæ verò deſertæ diffugiunt*. hoc eſt, αἱ εἰροπόκοι ὄϊες. *lanigeræ oves*. Et tamen ſic figuravit orationem ſuam, ut eam referret, atque accommodaret ad ποίμνια, *ovilia*, vel πρόβατα, *pecora*, vel θρέμματα, *animantia ovilla*. Idem namque eſt dicere ὄϊας, *oves*, atque dicere ποίμνια, *ovilia*, aut πρόβατα, *pecora*. Contraquam factum eſt in fine libri β΄. Illic enim a neutro plurali ad femininum tranſit, illis verbis: πτηνῶν ἔθνεα ποτῶνται, ἀγαλλόμεναι πτερύγεσσιν. *Volucrum agmina volant, exultantes alis*. videlicet ἀγέλαι πέτονται ἀγαλλόμεναι. *turbæ, ſeu greges volant exultantes*. Hic verò a feminino plurali tranſitum facit ad neutrum. Quippe dicit, εἰροπόκοις ὀΐεσσιν, ἃ ἐρῆμα φοβεῦνται. *lanigeris ovibus, quæ deſerta præ terrore diffugiunt*. videlicet εἰροπόκοις ζώοις, aut ποιμνίοις, ἃ ἔρημα τοῦ βοηθήσοντος φεύγει. *lanigeris animalibus, aut agminibus ovilis, quæ adjutore ſuo, ac defenſore deſtituta, fugam arripiunt*. Deinde ſtatim rurſus ad femininum nomen revertitur, quod a principio poſuerat, cum ita pergit dicere: αἱ μὲν ἀγχηστῖναι κέχυνται. *Hæ quidem coacervatæ ſternuntur*. videlicet αἱ ὄϊς, *aves*.

XLIV. Τὸ ἐρῆμα, *deſerta, orbata, deſtituta*, circumflectunt veteres in penultimâ. Sicuti enim ἑτοῖμον, *promptum, ſeu paratum*, dicit Homerus, cir-

1. Ἀσπαίροντα λάων) αὐὸν ποικίλον ἔλεν. lib. τ΄ Od. Scholiaſta Homericus: λάων. ὁ μὲν Ἀρίσταρχος, ἀπολαύων, ἀπολαυστικῶς ἔχων· ὁ δὲ Κράτης λάων φησὶν, ἀντὶ τοῦ βλέπων. ὅθεν καὶ τὰ στέρνα ἀλαὸς ὁ τυφλός. τὸ δὲ φασὶν ἀγγέλλεσθαι τὸ υ, ἵνα ᾖ ὁ λάων· ὁ ἀπολαύων. Politus.
2. λαύω, ἐξ οὗ καὶ τὸ ἀπολαύω) Etymologici Magni Auctor: ἀπὸ τοῦ λῶ τὸ θέλω, παράγωγον λαύω, ὡς χῶ χεύω, καὶ ἀπολαύω. Politus.
3. καὶ λαυκανίη ὁ λαιμός) Etymologici Magni Auctor: λαυκανίη, ὁ λαιμός, ἀπὸ τοῦ ἀπολαύειν. Polit.
4. ὁ ὀρθῶν) ὁ ὀρθὸς ἡμᾶς ποιῶν λεχήρεις ὄντας. Polit.
5. οὓς παραστάδας ὁ Τραγικός φησιν) Euripides Phœniſſis v.418. Νὺξ ἦν. Ἀδράστου δ᾽ ἦλθον εἰς παραστάδας. Politus.
6. καὶ τοσούσδε σταθμοὺς εἶναι ἀπὸ τοῦδέ τινος τόπου εἰς ἄλλον φαμέν) Herodotus in Terpſichore. Polit.
7. ἀγχηστῖναι) Malim ego ἀγχιστῖναι, aut, ut ſupra ſcribebam, tamquam ab ἄγχιστος, ἀγχιστῖναι. Sed Euſtathio placet ἀγχηστῖναι. Polit.
8. Τὸ δὲ ἐρῆμα, προπερισπῶσιν οἱ παλαιοί) Etymologici Magni Auctor v. ἔρημος. τὸν παρὰ τοῖς Ἀττικοῖς προπαροξύνουσι· παρὰ δὲ τῷ Ποιητῇ προπερισπῶσιν. Politus.
ἔρημα & ἐρῆμαι, communi accentu. Sed in antiquis Homeri libris penultima circumflectitur. Sed antiquiſſimi libri non habent accentus. Salvinus.

Rurſus

rare. Itaque, ex horum iſtorum explicatione, non equus modò ματᾷ, *aberrat*, cum ſcilicet μάτην, *fruſtra*, uſum præbet ſui; verùm etiam ſagittarius, ſiquidem, conjectâ ſagittâ, ſcopum non attingat. Et ſic etiam bellator, qui haſtam contorquet, & ceteri alii. Ceterùm ex hoc iſto verbo per paragogen deductum eſt τὸ ματάζειν, *deſipere*, *ineptire*, *vana cogitare*, apud Sophoclem. Et ſunt ambo Poëtica. Commune autem, & uſitatum eſt τὸ ματαιάζειν, *mataeazare*, *i. e. ineptire*, *inepta cogitare*; nec non fortaſſe τὸ ματαΐζειν, *mataizare*: quod ſimiliter ſeſe habeat, atque τὸ ἑβραΐζειν, *hebraizare*, *ſeu Hebræorum morem imitari*, aliaque id genus. Quemadmodum porro dicimus ματῶ, ματάζω, *fruſtra tempus tero*, *ineptio*, ut notatum eſt; ita ſciendum, præter alia hujuſcemodi, dici etiam τοπῶ, τοπάζω, *conjicio*, *ſeu conjecturam facio*. videlicet τόπους τινάς, *loca quædam*, *atque argumenta*, & principia concipiendarum animo rerum habeo ad aliquid ſuſpicandum. Verùm in communi loquendi uſu eſt, ut ab hac voce, τόπος, *locus*, aliter acceptâ, quatenus nempe ſignificat id, quod naturâ ſuâ rem aliquam continet, dicatur τοπάζειν, *ſtatuere*, *ſeu ponere in loco*, quod pariter dictum κοιτάζειν, *collocare*. Dicitur enim quis feras τοπάζειν, *collocare*, *atque ſtatuere*, ut per venationem capiantur. Τὸ ἐλάσῃ, *agat*, eſt pro ἀπελάσῃ, *abigat*, ἀπαγάγῃ, *abducat*. Sicuti etiam, cum dicit: Οὐ γὰρ πώποτ' ἐμὰς βοῦς ἤλασαν. *Non enim unquam meas boves egerunt*. pro ἐξήλασαν, *abegerunt*, deficiente, ut moris eſt, per ellipſin præpoſitione. Ideoque poſtea dicit: Αἰνείαο καλλίτριχας ἵππους ἐξέλασε Τρώων. *Æneæ pulchrè crinitos equos a Trojanis abegit*. Μώνυχες ἵπποι, *ſolidipedes equi*, *unicum*, *ſeu ſolidam ungulam habentes*, *ſolidè ungulati*, ad diſtinctionem aliorum animalium, plures ungues habentium, & biſulcorum.

Sic locuti, curribus variegatis conſcenſis,
Animis paratis, in Tydidem veloces equos direxerunt.
Hos autem vidit Sthenelus Capanei præclarus filius,
Statimque Tydidem verbis volucribus eſt allocutus.

LXXII. Tria hic etiam poſita ſunt ſine ullo conjunctionum nexu participia, veluti in ſpeciem celeris, atque incitatæ orationis, in his verbis: Ὣς ἄρα φωνήσαντες, ἐς ἅρματα ποικίλα βάντες, ἐμμεμαῶτες, ἐπὶ Τυδεΐδῃ ἔχον ἵππους. *Sic locuti, variegatis curribus conſcenſis, animis paratis, in Tydidem equos dirigebant*. Eſt autem τὸ, ἐπὶ Τυδεΐδῃ ἔχον, *in Tydidem tenebant*, *ſeu dirigebant*, pro ἤλαυνον κατὰ τοῦ Τυδεΐδου *agebant adverſus Tydidem*. Et obſerva, verba illa in Odyſſeâ: Δαιμονίη, τί μοι ἐπέχεις; *Infelix, quid in me habes?* hunc ferè ſenſum præ ſe ferre:

ἧκεν. ὥστε, κατὰ τούτους, οὐ μόνον ἵππος ματᾷ, ὡς μάτην εἰς χρείαν ἐλθών, ἀλλὰ καὶ τοξότης, εἴπερ ἀφεὶς βέλος, οὐκ εὐστοχήσει. Οὕτω δὲ καὶ αἰχμητὴς, καὶ ἕτεροι. Παράγωγον δὲ τοῦ τοιούτου ῥήματος [1] τὸ ματάζειν παρὰ Σοφοκλεῖ. Ποιητικὰ δὲ ἄμφω. Κοινὸν δὲ τὸ ματαιάζειν· [2] ἴσως δὲ καὶ τὸ ματαΐζειν, ὅμοιον ὂν [3] τῷ ἑβραΐζειν, καὶ τοῖς τοιούτοις. Ἰστέον δὲ, ὅτι, ὥσπερ ματῶ ματάζω, καθὰ ἐῤῥέθη, οὕτω σὺν ἄλλοις καὶ [4] τοπῶ τοπάζω. ἤγουν [5] τόπους τινὰς, καὶ ἀρχὰς νοημάτων ἔχω εἰς τὸ ὑπονοεῖν τόδε τι. Ἡ δὲ κοινὴ γλῶσσα [6] ἐκ τοῦ ἑτέρου τόπου τοῦ φύσει περιεκτικοῦ, [7] τοπάζειν λέγει, ὃ καὶ κοιτάζειν. Τοπάζει γοῦν τις θηρία εἰς τὸ κυνηγηθῆναι. Τὸ δὲ ἐλάσῃ, ἀντὶ τοῦ ἀπελάσῃ, ἀπαγάγῃ. ὡς καὶ τὸ, Οὐ γὰρ πώποτ' ἐμὰς βοῦς ἤλασαν. ἀντὶ τοῦ ἐξήλασαν, κατὰ συνήθη προθέσεως ἔλλειψιν. διὸ καὶ ἐν τοῖς ἑξῆς, ἐρεῖ· Αἰνείαο καλλίτριχας ἵππους ἐξέλασε Τρώων. Μώνυχες δὲ ἵπποι, πρὸς ἀντιδιαστολὴν ἄλλων [8] ζώων πολυωνύχων, καὶ διχηλῶν. Baſ. p. 412.

Ὣς ἄρα φωνήσαντες, ἐς ἅρματα ποικίλα βάντες,
Ἐμμεμαῶτ', ἐπὶ Τυδεΐδῃ ἔχον ὠκέας ἵππους.
Τοὺς δὲ ἴδε Σθένελος Καπανήϊος ἀγλαὸς υἱός·
Αἶψα δὲ Τυδεΐδην ἔπεα πτερόεντα προσηύδα.

οβʹ. Τρεῖς καὶ ἐνταῦθα κεῖνται ἀσύνδετοι μετοχαὶ, ὡς ἐν ἰδέᾳ γοργότητος, ἐν τῷ, [9] Ὣς ἄρα φωνήσαντες, ἐς ἅρματα ποικίλα βάντες, ἐμμεμαῶτες, ἐπὶ Τυδεΐδῃ ἔχον ἵππους. Ἔστι δὲ καὶ τὸ, ἐπὶ Τυδεΐδῃ ἔχον, ἀντὶ τοῦ, ἤλαυνον κατὰ τοῦ Τυδεΐδου. Καὶ σημείωσαι, ὅτι καὶ ἐν Ὀδυσσείᾳ τὸ, [10] Δαιμονίη, τί μοι ἐπέ-

1. τὸ ματάζειν παρὰ Σοφοκλεῖ) Sophocles Oedipo Tyranno: οὐ δεῖ ἀδικοῦντ' ἐξῆναι ματάζειν. Scholiaſta: ματάζειν, ματαιοφρονεῖν. Suidas: ματάζειν, ματαίως ζῆν, ματαίως φρονεῖν, ματαιοῦν. Politus.

2. ἴσως δὲ καὶ τὸ ματαΐζειν) Suidas: ὁμοίως εὕρηται παρὰ τῷ Ἀντιμάχῳ ματαΐζω. Idem etiam ματαΐζειν. Heſychius: ματᾶν, ματαΐζειν. Polit.

3. τῷ ἑβραΐζειν) ut & τῷ ἰουδαΐζειν. Paullus ad Galat. c. 2. εἰ σὺ Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν; Polit.

4. τοπῶ τοπάζω) Exigit analogia, ut, ſicuti eſt ματάω ματάζω, ſic etiam ſit τοπάω τοπάζω. tamen in uſu videtur eſſe τοπάζω, non τοπάω. Suidas: τοπᾶν, ὑπονοεῖν unde compoſitum τὸ ὑποτοπεῖν. Idem & dicunt τοπάζειν. Heſychius: τοπάζειν γὰρ τὸ εἰκάζειν, καὶ τὸ ὑποτοπῆσαι δὲ ἐντεῦθεν λέγεται. Benè emendatum ὑποτοπῆσαι pro vulgato ὑποτοπήσω. Etymologus: Τοπάζειν, στοχάζεσθαι, ὑπονοεῖν. διὸ καὶ ὑποτοπεῖν, τὸ ὑπονοεῖν λέγεται. Suidas: τοπάζειν, οἷον στοχάζεσθαι, ἐνθυμεῖσθαι, ὑπονοεῖν. καὶ ὑποτοπάζειν, ὁμοίως. διὸ καὶ ὑποτοπεῖν, τὸ ὑπονοεῖν λέγουσι. Politus.

5. τόπους τινὰς, καὶ ἀρχὰς νοημάτων ἔχω εἰς τὸ ὑπονοεῖν τόδε τι) Qui τοπῶ τοπάζω exponunt etiam, locos habeo, a quibus argumenta peti licet; unde ita exponunt, ſe neſcire ait Henricus Stephanus. At illi mihi quidem videntur expoſitionem illam ſuam ex hoc Euſtathii loco depromſiſſe. Qui aliquid conjicit, is certè locos quoſdam habet, unde argumenta eruat conjecturarum ſuarum; quibus etiam argumentis, ſi opus eſt, conjecturas ſuas aliis ſuadeat. Inde a locis, *conjecturam facere*, dictum videtur τοπᾶν, ſeu τοπάζειν. Verbi etymologiam ſpectarunt, qui ita, ut dictum eſt, expoſuerunt. Unde & ἄτοπον id quod abſurdum eſt, atque improbabile, quod non eſt ἐν τόποις. Politus.

6. ἐκ τοῦ ἑτέρου τόπου τοῦ φύσει περιεκτικοῦ) qui eſt locus naturalis. Loci, qui dicuntur apud Ariſtotelem, unde argumenta petuntur, ita dicuntur, διὰ τὸ ἔχειν τινὰ ὁμοιότητα τῷ φυσικῷ τόπῳ. Polit.

7. τοπάζειν λέγει, ὃ καὶ κοιτάζειν) Heſychius τοπάζειν etiam ἱδρύειν. Polit.

8. ζώων πολυωνύχων) Similiter γαμψώνυχες, aves rapaces, a recurvis unguibus. *Salvinus*.

9. Ὣς ἄρα φωνήσαντες, ἐς ἅρματα ποικίλα βάντες) ex eorum genere verſuum hic verſus eſt, quos poſteriores barbaris ſeculis, nimium hujus aſſonantiæ amantes, Leoninos vocitarunt. Virg. *Cornua velatarum obvertimus antennarum*. Hinc vulgaria homoteleuta in recentiorum linguarum carminibus originem habuere. *Salvinus*.

10. Δαιμονίη, τί μοι ἐπέχεις;) Δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεχολωμένη θυμῷ; Polit.

ἐπέχεις; τοιοῦτόν τι δηλοῖ· τί ἐπ' ἐμοὶ ἔχεις, καὶ οἱονεὶ διωκτικῶς ἐλαύνεις με;

Τυδείδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ,
Ἄνδρ' ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι,
Ἶν' ἀπέλεθρον ἔχοντας· ὁ μὲν, τόξων ἐῢ εἰδὼς,
Πάνδαρος, υἱὸς δ' αὖτε Λυκάονος εὔχεται εἶναι·
Αἰνείας δ' υἱὸς μεγαλήτορος Ἀγχίσαο
Εὔχεται ἐκγεγάμεν, μήτηρ δέ οἵ ἐστ' Ἀφροδίτη.
Ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων, μηδέ μοι οὕτω
Θῦνε διὰ προμάχων, μήπως φίλον ἦτορ ὀλέσσῃς.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
Μή τι φόβονδ' ἀγόρευ', ἐπεὶ οὐδὲ σὲ πεισέμεν οἴω.
Οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι,
Οὐδὲ καταπτώσσειν. ἔτι μοι μένος ἔμπεδόν ἐστιν.

ογ΄. Τὸ, ἐμῷ [1] κεχαρισμένε θυμῷ, ταυτόν ἐστι τῷ φίλτατε. Ἐν τῷ, εὔχεται εἶναι. καὶ, εὔχεται ἐκγεγάμεν, [2] εἰς ταυτὸν ὁ Ποιητὴς τὸ εἶναι, καὶ τὸ γενέσθαι. Διὸ καὶ ταυτόν
Rom. p. 544 ἐστι καὶ τὸ, θεοὶ αἰειγενέται, καὶ θεοὶ αἰὲν ἐόντες. Καὶ ἐνταῦθα ἐπὶ Διομήδους, καὶ Σθενέλου, δείκνυσιν ὁ Ποιητὴς τὸ τῆς φιλίας χρήσιμον, καὶ ὡς, κατὰ τὴν παροιμίαν, [3] εἷς ἀνὴρ, οὐδεὶς ἀνήρ. Διομήδης μὲν γὰρ, ὅλος ἔργου γίνεται, πεζὸς μαχόμενος· μόνος δὲ ὁ Σθένελος σωματοφυλακεῖ, διοπτεύων ἀφ' ὑψηλοῦ τοῦ ἅρματος, μήποτέ τις ἐξ ἀφανοῦς ἐπέλθοι τῷ Διομήδει κίνδυνος. ὅθεν καὶ τὸν Αἰνείαν, καὶ τὸν Πάνδαρον ἐπιόντας αὐτῷ, ὡς ἐκ περιωπῆς, προορᾷ, καὶ εἰπὼν, ὅτι ἄνδρε ὁρόω κρατερὼ, ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι. ἶν' ἀπέλεθρον ἔχοντας· ὁ μὲν, τόξων εὖ εἰδὼς, Πάνδαρος· ὁ δὲ, Αἰνείας. εἶτα τὸν Διομήδην εἰς εὐσχήμονα φυγὴν προκαλεῖται, λέγων· Ἀλλ' ἄγε δὴ χαζώμεθα ἐφ' ἵππων, ἤτοι ἀναχωρήσωμεν, μηδέ μοι οὕτω θῦνε διὰ προμάχων, μή πως φίλον ἦτορ ὀλέσσῃς. Τοῦτο δὲ λέγει, ὡς ἂν ἀναβὰς εἰς ἅρμα, μήτε πεζὸς πρὸς ἱππέας διαμάχοιτο, καὶ φύγοι δὲ, ἐὰν βούλοιτο. Καὶ αὐτὸς μὲν οὕτω λαλεῖ· ἀκούει δὲ, ὅσα τις ἂν εἴπῃ ἀνδρεῖος ἄνθρωπος. Μή τι φόβονδ' ἀγόρευε. οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι, οὐδὲ καταπτώσσειν. ἔτι μοι μένος ἔμπεδόν ἐστιν.

Ὀκνείω δ' ἵππων ἐπιβαινέμεν, ἀλλὰ καὶ αὔτως
Ἀντίον εἶμ' αὐτῶν. τρεῖν μ' οὐκ ἐᾷ Παλλὰς Ἀθήνη.
Τούτω δ' οὐ πάλιν αὖτις ἀποίσετον ὠκέες ἵπποι
Ἄμφω ἀφ' ἡμείων, εἴ γ' οὖν ἕτερός γε φύγῃσιν.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
Αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος ὀρέξῃ
Ἀμφοτέρω κτεῖναι, σὺ δὲ τούσδε μὲν ὠκέας ἵππους
Αὐτοῦ ἐρυκακέειν, ἐξ ἄντυγος ἡνία τείνας.
Αἰνείαο δ' ἐπαΐξαι μεμνημένος ἵππων,
Ἐκ δ' ἐλάσαι Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς.
Baſ. p. 413. Τῆς γάρ τοι γενεῆς, ἧς Τρωΐ περ εὐρύοπα Ζεὺς
Δῶχ', υἷος ποινὴν Γανυμήδεος· οὕνεκ' ἄριστοι
Ἵππων, ὅσσοι ἔασιν ὑπ' ἠῶ τ' ἠέλιόν τε.
Τῆς γενεῆς ἔκλεψεν ἄναξ ἀνδρῶν Ἀγχίσης,
Λάθρῃ Λαομέδοντος ὑποσχὼν θήλεας ἵππους.

οδ΄. Ὀκνείω δ' ἵππων ἐπιβαινέμεναι, ἀλλὰ καὶ αὔτως, ἀντίον εἶμι αὐτῶν. τρεῖν μ' οὐκ ἐᾷ Παλ-

ferre: τί ἐπ' ἐμοὶ ἔχεις; *quid adversùs me habes? cur in me inveheris?* cur mihi negotium faceſſis, & quaſi inſequendo me exagitas?

Tydide Diomedes, meo chariſſime animo,
Viros duos video fortes contra te paratos ad pugnandum,
Viribus immenſis præditos: quorum alter ſagittandi peritus,
Pandarus, qui filium Lycaonis ſemet eſſe gloriatur:
Æneas alter, magnanimi Anchiſæ filius,
Ex quo gloriatur ſe genitum eſſe. Mater verò eſt ei Venus.
Quare age, retrocedamus equis, neque mihi ſic
Diſcurras in primâ acie, ne vitam tuam perdas.
Eum verò torvè adſpexit, atque eſt alloquutus fortis Diomedes:
Ne me ad fugam cohorteris: quoniam non te perſuaſurum puto.
Non enim mihi pugnanti decorum eſt fugere,
Neque trepidare. Vires mihi adhuc integræ ſunt.

LXXIII. Τὸ, ἐμῷ κεχαρισμένε θυμῷ, *meo grate animo*, idem eſt, atque τὸ φίλτατε, *chariſſime*. Eo loci: εὔχεται εἶναι, *gloriatur ſe eſſe*. &, εὔχεται ἐκγεγάμεν, *gloriatur, ſemet genitum eſſe*; pro eodem accipit Poëta τὸ εἶναι, *eſſe*, atque τὸ γενέσθαι, *genitum eſſe*. Quare etiam idem eſt τὸ, θεοὶ αἰειγενέται, *dii ſemper geniti, ſeu ſempiterni*, atque θεοὶ αἰὲν ἐόντες, *dii ſemper exiſtentes*. Hîc etiam in Diomede, atque in Sthenelo oſtendit Poëta, quàm ſit utilis amicitia, & quàm verum illud proverbium: *Unus vir, nullus vir*. Quum enim Diomedes, initâ pedeſtri pugnâ, totus in eam incumbat, atque in re fortiter gerendâ totus occupetur, unus ſoluſque Sthenelus cuſtodiendo ejus corpori invigilat, utpote qui ex alto curru diſpicit, nequid umquam periculi Diomedi clanculum injiciatur. Unde etiam Æneam, ac Pandarum in eum irruentes, veluti ex ſpeculâ proſpicit; quumque hac de re Diomedem ita admonuiſſet: *viros duos fortes video, contra te ad pugnandum paratos, viribus præpollentes: quorum alter, ſagittandi benè peritus, Pandarus; alter Æneas*: tum Diomedem ipſum ad honeſtam ſpecioſamque fugam cohortatur, illis verbis: *Quare age, retrocedamus equis, ſive recedamus, aut referamus pedem; neque mihi ſic per primam aciem diſcurras, ne forte vitam tuam perdas*. Quæ verba eò ſpectant, ut currum Diomedes conſcendat, ut ne ſcilicet ipſe pedes cum equitibus congrediatur; atque etiam ut, ſi velit, fugiat. Et ipſe quidem ita loquutur: ſed id ab eo fert reſponſi, quod quicumque vir fortis planè dixerit: *Ne me ad fugam cohorteris. Non enim pugnanti mihi decorum eſt fugere, neque trepidare. Mihi adhuc vires integræ ſunt.*

Piget autem equos conſcendere. Sed & ſic
Obviam ibo ipſis. Tremere me non ſinit Pallas Minerva.
Hos verò non curſus referent veloces equi
Ambos a nobis, ſi modò alter effugerit.
Aliud autem tibi dicam, & tu in animo repone tuo,
Si mihi conſultrix Minerva gloriam præbuerit,
Ambos ut interficiam, tu ſanè hos veloces equos
Hîc coërceto, habenis ex hemicyclo adductis.
Memento verò, ut ad Æneæ equos accurras,
Eoſque a Trojanis ad Achivos bene ocreatos abigas.
Sunt enim ex eâ ſtirpe, è qua Troi latè ſonans Jupiter
Dedit pro filio pretium Ganymede: quoniam optimi
Equorum, quotquot ſunt ſub aurorâ, & ſole.
Ex hac ſtirpe furatus eſt rex virorum Anchiſes,
Clam Laomedonte ſubmiſſis equabus.

LXXIV. *Piget autem equos conſcendere. Sed & ſic obviam iis ibo. Tremere me non ſinit Pallas*

1. κεχαρισμένε) πεφιλημένε, *dilecte*. Theocr. *Salvinus*. Suidas: κεχαρισμένε, πεφιλημένε. Polit.

2. ὡς ταυτὸν ὁ Ποιητὴς) id eſt, ὡς ταυτὸ ἄγει ὁ Ποιητής. Polit.
3. εἷς ἀνὴρ, οὐδεὶς ἀνήρ) Et: σύν τε δύ' ἐρχομένω. Salvin.

las Minerva. Poſt quæ verba bonam admodum ſpem præ ſe fert Diomedes: quum utrumque illorum minimè rediturum eſſe affirmet, ſi modo alter effugerit. Ac vide, cujuſmodi Diomedes animum, poſt vulnus a Pandaro acceptum, reſumpſerit, ac recollegerit: perinde quaſi patrem ſuum hac etiam in parte imitetur. Fertur enim Tydeus in expeditione Thebanâ gravatè admodum tuliſſe, quòd vulneratus fuiſſet a Melanippo, Aſtaci filio. Poſtea verò, quàm Amphiaraus, Menalippo obtruncato, illius caput Tydeo protulit, fertur ipſe diſſectum cerebrum, ritu feræ, ſorbuiſſe. cujus ſceleris atrocitate commota, ut perhibent, Minerva, receſſit, quæ immortalitatem tunc ei afferebat. Quod quum ille vidiſſet, poſtulavit, ut filio ſaltem ſuo immortalitatem largiretur. Atque id quidem hujuſmodi. Verùm Diomedes, ut dictum eſt, poſt acceptum vulnus, magis magiſque irritatus; deinde etiam, veluti perquam ſtudioſus, & amans equorum, hæc dat Sthenelo mandata: *Si mihi conſultrix Minerva gloriam*, ut & ſupra dictum eſt, *præbuerit*, *utrumque ut interficiam*; *σὺ δὲ*, videlicet *σὺ δὴ*, *tu ſanè*, *hos veloces equos*, *hoc ipſo loco ἐρυκακέειν*, *coërceto*, videlicet *κάτεχε*, *retineto*, *cohibeto*, *ἐξ ἄντυγος*, *ex gyro*, *ſive ex ambitu*, *aut hemicyclo*, ipſius nimirum currus, *habenas tendens*, *atque adducens*: ut ſuffocari ſemet rati, & ab uno aliquo inhiberi, quieſcant. *Memento autem*, *ut ad Æneæ equos accurras*, *eoſque ad Græcos abigas*. Tum ipſorum equorum genus commemorat, perinde ac ſi in animo eos ſuo nutriat, atque educet. Quippe ait, eſſe illos ex eâ ſtirpe, e qua Troi Juppiter dederat, pretium Ganymedis, pro illius raptu ante tempus, ut dicetur in libro *ύ*. Qua ex ſtirpe, per ſubmiſſas equas, ſemen furatus eſt Anchiſes, pater Æneæ.

Παλλὰς Ἀθήνη. ἐφ' οἷς καὶ τὴν ἀγαθὴν ἐλπίδα προβεβλημένος ὁ Διομήδης, φησὶν, οὐκ ἂν ἀμφοτέρους ἐκείνους παλινοστῆσαι, εἰ γοῦν ἕτερός γε φύγῃσι. Καὶ ὅρα, οἷον θυμὸν ὁ Διομήδης ἀνέλαβε, μετὰ τὴν ὑπὸ Πανδάρου πληγήν· πατρῴζων καὶ ἐνταῦθα. Λόγος γὰρ, καὶ τὸν Τυδέα κατὰ Θήβας, ὑπὸ Μελανίππου υἱοῦ Ἀστακοῦ τρωθέντα, σφόδρα ἀγανακτεῖν. Ὡς δὲ Ἀμφιάρεως, ἀνελὼν τὸν Μελάνιππον, [1] προσεκόμισε τὴν ἐκείνου κεφαλὴν τῷ Τυδεῖ, [2] αὐτὸς διελὼν, ῥοφεῖ τὸν ἐγκέφαλον, δίκην θηρός. ὅτε καὶ [3] ἡ μὲν Ἀθηνᾶ, φησιν, ἀθανασίαν αὐτῷ φέρουσα, ἀπεστράφη διὰ τὸ μύσος. [4] ὁ δὲ ἰδὼν, ἐζήτησε, κἂν γοῦν τῷ υἱῷ τὴν ἀθανασίαν χαρίσασθαι. Καὶ τοῦτο μὲν τοιοῦτον. ὁ δὲ Διομήδης, ὡς εἴρηται, μετὰ τὴν πληγὴν ἐρεθισθεὶς, εἶτα καὶ, ὡς πάνυ φίλιππος, τῷ Σθενέλῳ ἐντέλλεται οὕτως· Αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος, ὡς καὶ προεῤῥέθη, ὀρέξῃ ἀμφοτέρω κτεῖναι, σὺ δὲ, ἤγουν σὺ δὴ, τούσδε μὲν ὠκέας ἵππους αὐτοῦ ἐρυκακέειν, ἤγουν κάτεχε, ἐξ ἄντυγος τοῦ ἅρματος δηλαδὴ, ἡνία τείνας· ἵνα δοκοῦντες ἄγχεσθαι, καὶ ὑπό τινος ἐπέχεσθαι, ἡσυχάζωσιν. Ἐπαΐξαι δὲ τοῖς τοῦ Αἰνείου ἵπποις, μεμνημένος, καὶ ἐξελάσαι εἰς τοὺς Ἕλληνας. Εἶτα καὶ γενεαλογεῖ τοὺς ἵππους, ἀτιτάλλων οἷον αὐτοὺς ἐν ψυχῇ, ἐκ τῆς γενεᾶς λέγων ἐκείνους εἶναι, ἧς ἔδωκεν ὁ Ζεὺς τῷ Τρωῒ, ποινὴν Γανυμήδεος, ἀνθ' ὧν ἐκεῖνος πρὸ ὥρας ἡρπάσθη, ὡς ἐν τῇ υ ῥαψῳδίᾳ ῥηθήσεται. ἐξ ὧν γενεῆς ἔκλεψεν ὁ τοῦ Αἰνείου πατὴρ Ἀγχίσης, ὑποσχὼν θηλείας ἵππους.

Horum e ſtirpe ſex ei in ædibus nati ſunt:
Et quatuor quidem ipſe habet ad præſepe nutritos;
Hos autem duos Æneæ dedit, fugiendi peritos.
Si hos ceperimus, magnam ſanè gloriam retulerimus.
Sic illi hiſce inter ſe verbis colloquebantur.
Hi autem cito prope acceſſerunt, equis velocibus impulſis.
Eum prior allocutus eſt Lycaonis clarus filius.

Τῶν οἱ ἓξ ἐγένοντο ἐνὶ μεγάροισι [5] γενέθλης·
Τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων, ἀτίταλλ' ἐπὶ φάτνῃ·
[6] Τὼ δὲ δύ' Αἰνίᾳ δῶκεν, μήστωρε φόβοιο.
Εἰ τούτω κε λάβοιμεν, ἀροίμεθά κεν κλέος ἐσθλόν.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Τὼ δὲ τάχ' ἐγγύθεν ἦλθον, ἐλαύνοντ' ὠκέας ἵππους.   Rom p.545.
Τὸν πρότερος προσέειπε Λυκάονος ἀγλαὸς υἱός.

LXXV. *Horum*, inquit, *ſex ei nati ſunt in ædibus progenies*. *Et quatuor quidem ipſe habet ad præſepe nutritos*; *hos autem duos Æneæ dedit peritos fugiendi*, ut ſupra dictum eſt. Et obſerva, ut *γενεὰ*, *ſtirps*, *progenies*, non tantùm de viris; ſed ecce tibi dicta eſt etiam de brutis animantibus. Immo & de foliis uſurpatur,

οε. Τῶν οἱ, φησιν, ἓξ ἐγένοντο ἐνὶ μεγάροισι γενέθλη. τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ' ἐπὶ φάτνῃ· τὼ δὲ δύο, Αἰνείᾳ δῶκε, μήστωρε φόβοιο, καθὰ προείρηται. Καὶ σημείωσαι, ὅτι [7] γενεὰ, οὐ μόνον ἐπὶ ἀνδρῶν, ἀλλ' ἰδοὺ καὶ ἐπὶ ἀλόγων ζώων εἴρηται. Λέγεται δὲ

1. προσεκόμισε τὴν ἐκείνου κεφαλὴν τῷ Τυδεῖ) f. προστιθέμενος, Scholiaſta Pindari: Μελάνιππος (οὗ δὲ οὕτως ἔρως Θεβαῖος) ἔτρωσε τὸν Τυδέα. ὁ δὲ πρὸς τὴν πληγὴν θυμωθεὶς, καθικέτευσε τὸν Ἀμφιάραον, ἀνελεῖν τὸν Μελάνιππον, καὶ προσαγαγεῖν αὐτῷ τὴν κεφαλήν. προσαχθείσης δὲ αὐτῷ τῆς κεφαλῆς, καὶ τὸ ἐγχὸς νικησάσης τὸν ὀρθὸν λογισμὸν, ἀνεγεύσατο τῶν Μελανιππείων κρεῶν, Politus.

2. αὐτὸς διελὼν, ῥοφεῖ τὸν ἐγκέφαλον) Apollodorus Athenienſis: ὁ δὲ διελὼν τὸν ἐγκέφαλον, ἐξεῤῥόφησεν αὐτόν. Scholiaſte Lycophronis: ὃς καιρίως διακείμενος ὑπὸ τῆς πληγῆς, διαχίσας ἑαυτοῦ τὴν κεφαλὴν, ἀνεῤῥόφησε τὸν ἐγκέφαλον. Politus.

3. ἡ μὲν Ἀθηνᾶ, φησιν, ἀθανασίαν αὐτῷ φέρουσα, ἀπεστράφη διὰ τὸ μύσος) Apollodorus Athenienſis: μισήσασα δὲ αὐτὸ καιρίου, παρὰ Διὸς αἰτησαμένη Ἀθηνᾶ φάρμακον ἤνεγκε, δι' οὗ ποιεῖν ἔμελλεν ἀθάνατον αὐτόν. Et paullò poſt: ὡς δὲ εἶδεν Ἀθηνᾶ, μυσαχθεῖσα, τὴν εὐεργεσίαν ἐπέσχε τε, καὶ ἐφθόνησε. Scholiaſta Pindari: πληγέντι ἐν τῷ Τυδεῖ ἡ Ἀθηνᾶ τὴν ἀθανασίαν παρήγαγε, καὶ τὸν ἀπέλιπεν τὰς δωρεὰς ἔτι, διὰ τὴν τῶν ἀνθρωπείων κρεῶν βρῶσιν. Politus.

4. ὁ δὲ ἰδὼν, ἐζήτησε, κἂν γοῦν τῷ υἱῷ τὴν ἀθανασίαν χαρίσασθαι) Pindarus Nem. Od. 10.

Διομήδεα δ', ἄμβροτον
Ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν.

Scholiaſta: ὅτι ὡς αὐτὸς (Tydeus) οὐκ ἠδυνήθη τῆς ἀθανασίας τυχεῖν, ἠξίωσε τὴν θεὸν ἐπὶ τὸν Διομήδην τὸ δῶρον μεταθεῖναι. Τιμᾶται γὰρ καὶ παρὰ Θουρίοις, καὶ Μεταποντίοις. ὡς θεὸς, Διομήδης. καὶ ἐν ἄστει παρὰ τοῖς ἱστορικοῖς εὑρεθῆναι αὐτὰ τὸ θαῦμα. Polit.

5. γενέθλης) Editio Homeri Florentina, γενέθλῃ. At Euſtathius legit γενέθλη. Polit.

6. Τὼ δὲ δύ' Αἰνίᾳ) Lege cum Editione Florentinâ, & Euſtathio. Τὼ δὲ δύ' Αἰνείᾳ. Polit.

7. γενεὰ, οὐ μόνον ἐπὶ ἀνδρῶν) Jure naturalis eſt, maris & feminæ conjunctio. Generatio dicitur de omnibus, quæ gignuntur. Salvin.

δὲ καὶ ἐπὶ φύλλων.[1] ὡς τὸ, Οἵη περ φύλλων γενεή. Λέγει δὲ ὁ Διομήδης περὶ τῶν τοῦ Αἰνείου ἵππων, καὶ ὅτι ἄριστοι ἵππων, ὅσσοι εἰσὶν ὑπ' ἠῶ τ', ἠέλιόν τε· πάνυ ἐξαίρων αὐτοὺς τῷ τοιούτῳ ἐπαίνῳ. οὓς καὶ ἐὰν λάβοιμεν, φησὶν, ἀροίμεθα ἂν κλέος ἐσθλόν. Τοῦτο δὲ οὐ πάνυ πολὺ ἀπέχει περίφρασις εἶναι τοῦ, Ἠράμεθα μέγα κῦδος. Καὶ ὅρα, ὅπως τοὺς ἵππους φιλῶν, οὐχὶ ἐὰν κτείνῃ τοὺς ἄνδρας, φησὶ κλέος λαβεῖν, ἀλλ' ἐὰν λάβῃ τοὺς ἵππους· ὡς ἐνταῦθα παρ' αὐτῷ κειμένου τοῦ μείζονος ἀριστεύματος, διὰ τὸ τοῦ λαφύρου ἔνδοξον. Καὶ τοιοῦτον μὲν τὸ Ὁμηρικὸν τοῦτο χωρίον· τὰ δὲ κατὰ μέρος ἐν αὐτῷ, τοιαῦτά εἰσι.

ος'. Τὸ μὲν, ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι, ἀντὶ τοῦ κατὰ σοῦ. καὶ ἔστι διασαφητικὸν τοῦ, ἐπὶ Τυδείδῃ ἔχον ἵππους. Δύναμις δὲ ἀπέλεθρος λέγεται,[2] ὡς ἀπὸ ἀπείρου γῆς, κατὰ ἐπίτασιν, ἢ πολυπέλεθρος, ἢ καὶ κατὰ στέρησιν, ἡ μὴ δυναμένη πελέθρῳ, ἤτοι πλέθρῳ, ὑποπεσεῖν. Ἔστι δὲ[3] πέλεθρον, τὸ καὶ πλέθρον,[4] μέτρον γῆς πήχεων ξς', διμοίρου, ὡς ἐν τοῖς Ἀπίωνος, καὶ Ἡροδώρου φέρεται. Ἀνάλογα δὲ πρὸς τὸ πέλεθρον, τὸ πτολίεθρον, ῥέεθρον, πύρεθρον, φαρύγεθρον. Τὸ δὲ, ἄνδρε ὁρόω. ὁ μὲν, Πάνδαρος, ὁ δὲ, Αἰνείας, καινοπρεπῶς ἐσχημάτισται. Ἔχρην γὰρ εἰπεῖν, ἄνδρε ὁρῶ, τὸν μὲν, Πάνδαρον, τὸν δὲ, Αἰνείαν. ὁ δὲ, τελείαν στίξας εἰς τὸ, ἄνδρε ὁρῶ· ἐπάγει, ὡς ἀπὸ ἄλλης ἀρχῆς· ὁ μὲν ἐστιν ὁ δεῖνα, ὁ δὲ ὁ δεῖνα. Καὶ ἔστιν ὅμοιον τῷ, φημὶ κατανεῦσαι Δία Κρονίωνα. ἀστράπτων ἐπιδέξια. Ἐνταῦθα δὲ καὶ γενεαλογίαν παραρρίπτων, φησὶν, ὅτι Αἰνείας, υἱὸς μὲν Ἀγχίσαο εὔχεται ἐκγεγάμεν. ὃ δὴ πρὸ βραχέων ἐγράφη. μήτηρ δέ οἱ ἐστ' Ἀφροδίτη. Ποιεῖ δὲ τοῦτο δεινῶς, ἵνα εὐθὺς προσφυῶς κολλήσῃ τὸ τῆς Ἀφροδίτης ἐπεισόδιον, πεσομένης διὰ τὸν υἱὸν, ἃ δηλωθήσεται. Ὅρα δὲ καὶ, ὅτι, τοῦ Ὁμήρου εἰπόντος περιφραστικῶς, μήπως φίλον ἦτορ ὀλέσῃς, ἀντὶ τοῦ ἀποθάνῃς, λαβὼν ἐντεῦθεν ὁ Εὐριπίδης, ἔφη τὸ, Ἕκτορος τ' ἀπόλλυται ψυχή.

tur, ſecundùm illud: Οἵη περ φύλλων γενεή. *Qualis foliorum progenies*. Dicit etiam de Æneæ equis Diomedes, eſſe eos optimos equorum, quotquot ſunt ſub aurorâ, & ſole; & hac eos laude valde extollit. *Quos etiam ſi ceperimus*, inquit, *magnam utique gloriam retulerimus*. Quæ verba, parùm admodum abeſt, quin periphraſis ſint illorum: Ἠράμεθα μέγα κῦδος. *Magnum decus retulimus*. Ac vide, quantùm in deliciis habeat, & quàm ardenti ſtudio equos proſequatur, qui non, ſi viros occiderit, gloriam ſemet relaturum eſſe jactitet, ſed ſi equos ceperit: quaſi hac in re majus virtutis ſpecimen, magisque glorioſum poſitum ipſe ducat, ob claritatem, & dignitatem ſpoliorum. Atque ita quidem ſeſe habet locus hic Homericus. Quæ verò in eo particulatim obſervanda, ea quidem ſunt hujuſcemodi,

LXXVI. Τὸ, ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι, *in te cupientes pugnare*, perinde eſt, ac ſi dicat, κατὰ σοῦ, *contra te*, *adverſus*, *te*: idque valet ad explicandum illud: ἐπὶ Τυδείδῃ ἔχον ἵππους. *in Tydidem*, *ſive contra Tydidem*, *direxerunt equos*. Vis dicitur ἀπέλεθρος, *multa*, *magna*, *immenſa*, veluti a terrâ, quæ finibus, ac terminis careat, per epitaſin, atque incrementum ſignificationis, ideſt, πολυπέλεθρος, *multorum jugerum*: aut etiam per privationem, quæ nullo modo poteſt πελέθρῳ, ſive πλέθρῳ, ὑποπεσεῖν, *ſub jugerum cadere*. Eſt autem πέλεθρον, quod dicitur etiam πλέθρον, *plethrum*, menſura terræ cubitorum ſex ſupra ſexaginta, & beſſis, ut habent Apion, & Herodorus in ſuis Commentariis. Simili porro ratione, eademque analogia, atque τὸ πέλεθρον, *pelethrum*, dicitur τὸ πτολίεθρον, *oppidum*, ῥέεθρον, *fluentum*, πύρεθρον, *pyretbrum*, φαρύγεθρον, *guttur*. Novâ quadam concinnitate, atque elegantiâ figuratum eſt illud: Ἄνδρε ὁρόω. ὁ μὲν Πάνδαρος, ὁ δὲ Αἰνείας. *Viros duos video. alter Pandarus, alter Æneas*. Oportebat enim dicere, ἄνδρε ὁρῶ, τὸν μὲν Πάνδαρον, τὸν δὲ Αἰνείαν. *Viros duos video, alterum Pandarum, alterum Æneam*. Verùm Homerus ſententiam perfectè claudit, atque abſolvit ad illa verba: Ἄνδρε ὁρῶ. *Viros duos video*. ubi poſito puncto, deinde, veluti ab alio principio, ſic proſequitur ſermonem ſuum: ὁ μὲν ἐστὶ ὁ δεῖνα, ὁ δὲ ὁ δεῖνα. *Alter hic eſt*, *alter ille*. Idque ſimiliter ſeſe habet, atque illud: Φημὶ κατανεῦσαι Δία Κρονίωνα. ἀστράπτων ἐπιδέξια. *Dico, annuiſſe Jovem Saturnium. ille ad dextram fulgurans*. Hic præterea ſermonem de genere, ac familiâ interjicit, quum de Æneâ memoret, ut ipſe filium ſe Anchiſæ εὔχεται ἐκγεγάμεν, *eſſe gloriatur*. quod utique paullò ante ſcriptum eſt: mater autem ejus eſt Venus. Idque ſolerter facit, atque ingenioſè, ut commodium ſtatim epiſodium, ſeu digreſſionem de Venere adnectat, quam propter filium malè habitam fuiſſe, eſt oſtenſurus. Rurſus, quum Homerus hac periphraſi, ſeu circuitione verborum uſus fuerit, μήπως φίλον ἦτορ ὀλέσσῃς, *ne forte cor tuum perdas*, pro ἀποθάνῃς, *mortem oppetas*; vide, ut hinc accepit Euripides, cum dixit: Ἕκτορός τ' ἀπόλλυται ψυχή. *Hectoriſque perditur anima*,

1. ὡς τὸ, Οἵη περ φύλλων γενεή) Οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν. Salvinus.

2. ὡς ἀπὸ ἀπείρου γῆς, κατὰ ἐπίτασιν, ἢ πολυπέλεθρος) Etymologici Magni Auctor: Ἀπέλεθρον, ἀμέτρητον, καὶ πολλὴν δύναμιν. πέλεθρον γὰρ, μέτρον γῆς. μακρὸν, πολυπέλεθρον. Quid ſi ἀπέλεθρος δύναμις, tamquam ἀπὸ ἀπείρου γῆς· non igitur ἀπέλεθρος κατὰ ἐπίτασιν, ſed κατὰ στέρησιν· atque adeo ἀπέλεθρος ἡ ἀμέτρητος. Heſychius: ἀπέλεθρον ἶνα, τὴν δύναμιν τὴν ἀμέτρητον. Ἀπέλεθρον, ἀμέτρητον. πλέθρον γὰρ, εἶδος μέτρου. Suidas: ἀπέλεθρον, πολλὴν, ἀμέτρητον. Politus.

3. πέλεθρον. τὸ καὶ πλέθρον) πλέθρον, πλεονασμῷ τοῦ ε, πέλεθρον. Etymologus. Polit.

4. μέτρον γῆς πήχεων ξς', διμοίρου) Euſtathius ad lib. φ' Il. Τὸ δὲ πέλεθρον, ἤτοι πλέθρον, ὅτι διάστημά ἐστι ποδῶν ἑκατὸν, ἤτοι πήχεων ξς', καὶ διμοίρου, καὶ ἀλλαχοῦ γέγραπται. Hinc corrigendum puto illud Suidæ: ἔχει δὲ τὸ πλέθρον πήχεις ξδ', διμοίρου· & reſtituendum numerum ξς'. Sequitur ſtatim in Suidâ: Πλέθρον, τὸ τοῦ σταδίου ἕκτον μέρος, ὅπερ ἐστὶ πηχῶν ξδ'. ὅλον γὰρ τὸ στάδιον ἐστι τετρακοσίων. ἡ τετραπηχόθεν ὄχον πόδας λς'. καὶ πλέθρων διάστημα. ἔχει δὲ τὸ πλέθρον πόδας ρ'. Hic falſum eſſe illum numerum πηχῶν ξδ', & pro eo reponendum ξς'. καὶ διμοίρου, clarè oſtendit menſura integri ſtadii, quæ eſt πηχῶν τετρακοσίων. Sexta enim pars πηχῶν τετρακοσίων, cujuſmodi eſt plethrum, ſit omnino, oportet, πηχῶν ξς', καὶ διμοίρου. Nec mihi


ma, *ſeu perit vita*. Obſerva etiam, ut hîc quidem manifeſtè idem prorſus notant τὸ αὔτως, & τὸ οὕτως, *ſic*, *ſeu ita*. Quum enim Sthenelus dixiſſet: μηδέ μοι οὕτω θῦνε διὰ προμάχων. *Neque mihi ſic diſcurrito*, *per primam aciem*; id fanè reſponſi dat ei Diomedes: ἀλλὰ ϗ αὔτως εἶμι ἀντίον αὐτῶν. *Sed & ſic obviam ibo ipſis*. Imperfectum loquendi ge-

Tom. III. nus


ψυχή. Σημείωσαι δὲ ϗ, ὅτι ¹ ἐνταῦθα φανερῶς τὸ αὔτως, ϗ τὸ, οὕτως, ταυτὸν δηλοῦσι. Σθενέλου γὰρ εἰπόντος, μηδέ μοι οὕτω θῦνε διὰ προμάχων, ὁ Διομήδης λέγει, ἀλλὰ ϗ αὔτως εἶμι ἀντίον αὐτῶν. ² Τὸ δέ, Μή

Ee μοι


mihi planè ſatisfaciunt, qui ex illo numero cubitorum ξϛ´, quem ſtatuunt plethri menſuram, emendare audent ſummam illam cubitorum τετρακοσίων, quæ eſt menſura totius ſtadii, eamque aſſe faciunt cubitorum τετρακοσίων ἡ´, ſeu CDVIII. eo quia hanc ſummam exactè implent cubiti ξϛ´ ſexies multiplicati. Nam ſi certa integri ſtadii menſura colligi debet ex plethro, quæ eſt ſexta pars ſtadii, non cujuſque plethri menſura definiri ex numero cubitorum τετρακοσίων, quos integro ſtadio aſſignat Suidas; quum plethrum apud Suidam cubitos contineat, non accuratè atque ad amuſſim ξϛ´, ſed ξϛ´, ϗ δίμοιρον: hac ratione ſtadium minimè fuerit cubitorum CDVIII. ſed CDXII. atque adeo apud Suidam non legendum erit, ut volunt, τετρακοσίων ἡ´, ſed τετρακοσίων ιβ´. Hæc enim ſumma omnino conſurgit ex ξϛ´, ϗ δίμοιρον, ſexies multiplicatis. Attamen de ſtadio, rectè exacteque ſe habere plenum illum, ac rotundum numerum cubitorum τετρακοσίων, nullâ aliâ additione, argumento etiam eſt nota numeralis paullò inferiùs apud Suidam poſita in his verbis: Ξενοφῶν φησι, πλεθριαίας φοίνικας φύεσθαι ἐν Βαβυλῶνι, ὃ ϗ μείζονας ςαδίου, πηχῶν υ´. Ergo ad hanc ſummam quadringentorum planè cubitorum conſonanda eſt ſexta quæque pars ſtadii, ſeu plethrum; præſertim quum Euſtathius plethro diſertè attribuat cubitos LXVI. cum duobus trientibus, ſeu beſſe, quæ quidem ſexta omnino pars eſt cubitorum quadringentorum. Ego, ſi meo arbitrio res ſit, ita ſcripſerim apud Suidam: Πλέθρον, τὸ τοῦ ςαδίου ἕκτον μέρος, ὅπερ ἐςὶ πηχῶν ξϛ´, γο. ὅλον γὰρ τὸ ςάδιον ἐςὶ τετρακοσίων. Sic omnia optimè inter ſe cohærent. Omiſſum erat ſegmentum illud τὸ δίμοιρον, hoc eſt, duarum tertiarum, ſeu ſemiſſis cum ſextante: quod tamen neceſſe erat adjungi ad ſextam partem cubitorum τετρακοσίων exæquandam. Segmenti illius nota, γο. Fortaſſe, quia notam hanc librarii non intelligebant, eam omiſerunt. Jam verò, quod addit Suidas: ὃ τεσσαράκοντα ἔχει πόδας λά, quod eſt apertè falſum, rectè emendant, & ſcribunt, πόδας ρ´. Quippe plethrum pedes habet quoquoverſus centenos. Fragmentum Agrarium De Limitibus: *Primum agri modulum fecerunt quatuor limitibus clauſum, figura quadrata ſimilem, plerumque centum pedum in utrâque parte, quod Græci Plethron appellant, Tuſci, & Umbri Vorſum*. Quod contra Kuſterum, atque alios, eſt certiſſimum argumentum, verè eam Euſtathio adſcribendos aſſe plethro cubitos ξϛ´, & δίμοιρον, itaque ſcribendum eſſe apud Suidam. Nam cubitus quidem ſeſquialter eſt pedis. Suidas ex editione Kuſteri: ὁ πῆχυς, πόδα ἕνα, ϗ ἥμισυν. Unde conficitur, cubitos ξϛ´. ϗ δίμοιρον, æquali eſſe menſurâ, atque pedes centum. Si igitur plethrum pedes habet centenos; habeat quoque, opus eſt, cubitos ξϛ´, ϗ δίμοιρον, non verò ξϛ´. qui ſanè eſt numerus apud Suidam depravatus. Hoc certiſſimè eſt ἀναντίῤῥητον. Quia porro plethrum pedes quoquoverſus centenos continet, ideo etiam plethrum dixerunt μυρίους πόδας ἔχειν, hoc eſt, pedum decem millia. Columella lib. 5. cap. 2. *Quadrati menſura facillima eſt. Nam quum ſit undique pedum totidem, multiplicantur in ſe duo latera, & quæ ſumma ex multiplicatione effecta eſt, eam dicemus eſſe quadratorum pedum: tamquam ſit* (codex manu exaratus *ſiſt*) *locus quoquoverſus C. pedum: ducimus centies centenos, fiunt decem millia. Dicemus igitur eum locum habere decem millia pedum quadratorum, quæ efficiunt jugeri trientem, & ſextulam*. At actus quadratus qui vocatur Latinis, & reſpondet plethro Græcorum, finitur ab omni latere apud Latinos pedibus CXX. idemque dimidium eſt jugeri. Columellæ: *Actus quadratus undique finitur pedibus CXX. hoc duplicatum facit jugerum*. Varro: *Jugerum, quòd quadratos duos actus habeat. Actus quadratus, qui & latus eſt pedes CXX. & longus totidem*. Vetus ſcriptor de menſuris agrorum: *Actus quadratus undique finitur pedibus CXX. ita*




Hunc Bætici arapennem dicunt, ab arando ſcilicet. Actus duplicatus jugerum facit, ab eo, quod eſt junctum, jugerum nomen accepit. Jugerum autem conſtat longitudine pedum CCXL. latitudine CXX. ita



Excerpta de menſuris: *Actus major qui quadratus dicitur, habet undique pedes CXX qui duplicatus jugerum facit. Jugerum conſtat in longitudine ped. CCXL. quæ ſunt perticæ decempedæ XXIIII. in latitudine ped.* CXX *quæ ſunt perticæ XII.* Ad actum quadratum ſpectat illud in Fragmento Agrario De Limitibus: *Noſtri centenos, & vicenos pedes in utrâque parte* (fecerunt) *cujus ex quatuor unum latus, ſicut dies duodecim horas, & duodecim menſes annus, duodecim decempedas eſſe voluerunt*. Actus quadrati a plethro ea differentia, quòd Græci in plethro ab unoquoque latere pedes centum, Latini in actu quadrato centum & viginti metiuntur. Non eſt igitur actus quadratus Latinorum, locus ille, quem Columella exhibet, *quoquoverſus C. pedum*, quo ſanè in loco inſunt decem millia pedum quadratorum, hac formâ,



non eſt hic, inquam, actus quadratus Latinorum, quum hic locus jugeri duntaxat trientem, & ſextulam, non, ut actus quadratus, dimidium jugeri efficiat; ſed loco exempli poſitus hic quidem locus a Columellâ, ut forma ſcilicet agri quadrati. *At ſi longior*, inquit, *fuerit, quàm latior, ut, exempli causâ, jugeri formâ, pedes habeat longitudinis CCXL. latitudinis pedes CXX. ita, ut paullò ante dixi, latitudinis pedes cum longitudinis pedibus ſic multiplicabis* (vetus codex, *multiplicabimus*) *centies vicies ducenti quadrageni fiunt viginti octo millia, & octingenti. Dicemus jugerum agri tot pedes quadratos habere. Similiterque fiet de omnibus agris, quorum longitudo major ſit latitudine*.



Vetus codex, cujus varias lectiones ad oram libri ſui vir doctus notaverat, pro illis verbis: *ſimiliterque fiet de omnibus agris, quorum longitudo major ſit latitudine*. legebat: *ſimiliterque omnes longitudinis pedes cum pedibus latitudinis multiplicabimus*. CCXL. CXX. XXVIII. DCCC. Sed hæc fortaſſe veluti paraphraſis eſt, atque explicatio verborum Columellæ. *Politus*.

1. ἐνταῦθα φανερῶς τὸ αὔτως, ϗ τὸ οὕτως, ταυτὸν δηλοῦσι) Non videris, o Euſtathi, mentem Homeri aſſecutus eſſe. οὕτως eſt, *ad hunc modum*. αὔτως, *ad hunc ipſum modum*. quemadmodum οὗτος, *hic*, αὐτός, *ipſe*. Salvinus.

Vetus etiam Scholiaſta τὸ αὔτως hîc exponit οὕτως, itaque ut exponamus, ſententia ipſa Homerica exigit. Etymologici Magni Auctor vult tenuari τὸ αὔτως, ἀντὶ τοῦ μάτην, πρὸς ἀντιδιαςολὴν τοῦ ἑτέρου τοῦ σημαίνοντος τὸ οὕτως. Polit.

2. Τὸ δέ, Μή μοι) Homerus, Μή τι. Polit.
ob metrum μή τι. *nequaquam*, *nullo modo*. Salvin.

μοι φόβονδ' ἀγόρευε, ἐλέλειπται. Καί πως ἡ φράσις αὕτη συνεπισπεύδει τῇ περισπερχείᾳ τοῦ ἥρωος. Ἔστι γὰρ τὸ πλῆρες, οὕτω
Baſ.p.414. πως· μή μοι ἀγόρευε, τραπῆναι φόβονδε. ἢ, μή μοι ἀγόρευε ὀτρύνων φόβονδε. ἢ γοῦν ἀλλὰ, μή μοι ἀγόρευε τὰ φόβονδε. ἤγουν τὰ πρέποντα εἰς φυγήν. Τηρηθήσεται δὲ καθ' ὅμοιον λόγον κατωτέρω [1] καὶ ἕτερα ἐλλειπτικά.

οζ΄. Ἐν δὲ τῷ, Οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι, οὐδὲ καταπτώσσειν, ἦθος θαρσαλέον, καὶ ἀνδρεῖον ἐνδείκνυται. Ἔστι δὲ τὸ μὲν γενναῖον, ἀσύνηθες. Οὐ γὰρ ἐπὶ ἰσχυροῦ κεῖσθαι νῦν βούλονται οἱ παλαιοί, [2] ἀλλ' ἐπὶ τοῦ ἐκ γένους, ἢ μᾶλλον ἀπὸ γέννης, ἵνα λέγῃ, ὅτι οὐ προγονικόν μοι τὸ δειλαίνεσθαι. ἢ καὶ ἄλλως, κατὰ τοὺς παλαιοὺς, γενναῖον τὸ συγγενὲς, καὶ ἔμφυτον, [3] καὶ, κατὰ Πίνδαρον εἰπεῖν, ἐμφυές. [4] Ὅτε δέ που ὁ Πλάτων γενναῖα λέγει σῦκα, οὐ μόνον τὰ εὐφυῆ δοκεῖ οὕτω καλεῖν, ἀλλ' ἴσως καὶ τὰ ἐπιγεγεννημένα ἐξ ἐπεμβεβλημένων συκεῶν, [5] κατὰ τὰς παρὰ τῷ Ἀριστοτέλει ἐπεμβολάδας ἀπίους, τὰς κοινότερον εἰπεῖν ἐγκεκεντρισμένας. Τοιαύτη δὲ ἴσως καὶ ἡ [6] παρ' αὐτῷ γενναία σταφυλή. Τάχα δὲ καὶ ἡ μεγάλη, κατὰ καὶ [7] γενναῖον κρέας παρὰ τῷ Κωμικῷ, τὸ ἁδρὸν κόμμα. Ἰστέον δὲ, ὅτι καὶ Λύκιοι μέχρι νῦν γενναῖον ἄνδρα, οὐ τὸν ἰσχυρὸν φασὶν, ἀλλὰ τὸν ἀπὸ γένους, καὶ μὴ τυχόντα, καὶ ἀφανῆ. Τὸ δὲ ἀλυσκάζοντι, ἢ ἀλυσκάζοντα μάχεσθαι
Rom.p.456. [8] (ἄμφω γὰρ ἀσόλοικα) τὸ ἐν σχήματι φυγῆς, ὅμως πάλιν μάχεσθαι, ὅπερ καὶ λέοντές ἐστιν ἴδιον

nus per ellipſin eſt illud: Μή μοι φόβονδ' ἀγόρευε. *Ne mihi verba facias ad fugam.* Et ſic quodammodo elocutio ipſa herois ſimul cum eo properat huc, & illuc curſitante. Plena enim, & integra oratio ad hunc ferè modum ſe habet: Μή μοι ἀγόρευε, τραπῆναι φόβονδε. *Ne mihi verba facias, nec ſuadere velis, ut memet in fugam vertam.* Vel, μή μοι ἀγόρευε ὀτρύνων φόβονδε. *Ne mihi verba facias, quibus me impellas, atque horteris ad fugam.* Aut certè, μή μοι ἀγόρευε τὰ φόβονδε. videlicet τὰ πρέποντα εἰς φυγήν. *Ne mihi verba facias de fugâ. Ne mihi loquaris, neque ſuadeas, quæ ad fugam.* videlicet *quæ pertineat ad fugam.* Et alia quoque loca ſimili ratione inſeriùs obſervantur, in quibus per ellipſin aliquid eſt prætermiſſum.

LXXVII. Præterea in illis verbis: Οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι, οὐδὲ καταπτώσσειν. *Non enim mihi generoſum, neque honeſtum, fugitare inter pugnandum, ac trepidare:* ingenium ſatis apparet audax, & virile. Sumitur autem τὸ γενναῖον, *generoſum*, ſenſu minùs uſitato. Non enim de forti, nec de valente, poſitum nunc eſſe volunt veteres Grammatici; ſed de eo, quod eſt ἐκ γένους, *a genere*, aut potiùs ἀπὸ γέννης, *a gente, ſive a familiâ, idest, gentilitium, ſeu gentis propriam, ac peculiare.* ita ut dicat, non avitum, nec gentilitium ſibi eſſe, timore affici. Aut etiam alio modo, ſecundùm veteres, γενναῖον, *ingenuum*, idem eſt atque τὸ συγγενὲς, *cognatum, ſeu congenitum*, & ἔμφυτον, *innatum*, atque, ut loquar cum Pindaro, ἐμφυές, *inſitum a naturâ*. Plato autem, cum γενναῖα dicit σῦκα, *generoſas ficus*, non modò videtur ſic vocare ficus bene a naturâ comparatas, ſeu quæ bono ſunt genere; verùm etiam fortaſſe eas ficus, quæ natæ inſuper ſunt, atque accreverunt ex inſitis ficulneis, ſive ex ficis arboribus inoculatis, quales ſunt piri, quas Ariſtoteles vocat ἐπεμβολάδας, *inſitione affectas*, & communiùs dicimus ἐγκεκεντρισμένας, *inſititio ſurculo inoculatas*. Atque ita fortaſſe apud eum quoque accipitur γενναία σταφυλή, *generoſa uva*. Quamquam etiam fortaſſe eadem hæc eſt, atque ἡ μεγάλη, *magna*, ut γενναῖον κρέας, *generoſa caro*, dicitur apud Comicum prægrande fruſtum carnis. Ubi ſciendum, Lycios etiam nunc γενναῖον ἄνδρα, *generoſum virum*, non fortem, aut robuſtum vocare, ſed ingenuum, eumque, non hominem de vulgo, neque ignobilem. Τὸ ἀλυσκάζοντι, vel ἀλυσκάζοντα μάχεσθαι, *fugitanti, vel fugitantem pugnare*, (ambo enim recta, & procul ſolœciſmo) idem eſt, atque in modum fugientis; a tergo tamen pu-

1. καὶ ἕτερα ἐλλειπτικά) Moſchus in Amore Fugitivo: Μή τι δίγῃς. *Ne quid tangas.* id eſt, φύλαττε, μή τι δίγῃς. *Cave, ne quid tangas.* Elegantiſſima ellipſis. *Salvinus.*

2. ἀλλ' ἐπὶ τοῦ ἐκ γένους) γενναῖον τὸ ἐκ γένους παρειλημμένον. Politus.

3. καὶ, κατὰ Πίνδαρον εἰπεῖν, ἐμφυές) ἐμφυὲς εἶδος Pindarus τὸ ἐν τῇ φύσει, τὸ ἔμφυτον, τὸ φυσικόν. Polit.

4. Ὅτε δέ που ὁ Πλάτων γενναῖα λέγει σῦκα) Lex Platonis Lib. 8. De Legibus: ὃς δ' ἂν οὖν γενναίαν τὴν λεγομένην σταφυλὴν, ἢ τὰ γενναῖα σῦκα ἐπονομαζόμενα ὀπωρίζειν βούληται, ἐὰν μὲν ἐκ τῶν οἰκείων λαμβάνῃ, ὅπως ἂν ἐθέλῃ, καὶ ὁπόταν βούληται, δρεπέσθω. ἐὰν δ' ἐξ ἄλλων, μὴ πείσας, ἑπομένως τῷ νόμῳ τῷ μὴ κινεῖν, ὅ τι μὴ κατέθετο, ζημιούσθω. Platonis verba adducit, & interpretatur Athenæus lib. 14. cap. 19. Adducit, inquam, leviter ita nonnullis variatis: ὃς δ' ἂν τὴν γενναίαν νῦν λεγομένην σταφυλὴν, ἢ τὰ γενναῖα σῦκα ἐπονομαζόμενα ὀπωρίζειν βούληται, ἐὰν μὲν ἐκ τῶν οἰκείων λαμβάνῃ, ὅπως ἂν ἐθέλῃ, καὶ ὁπόταν βούληται, καρπούσθω. ἐὰν δὲ ἐξ ἄλλων, μὴ πείσας, ἑπόμενος τῷ νόμῳ, τῷ μὴ κινεῖν, ὅ τι μὴ κατέθετο, ζημιούσθω. Quam autem dicat Plato γενναίαν σταφυλὴν, & quæ γενναῖα σῦκα, duplex eſt Maſurii apud Athenæum explicatio. Altera, ut γενναῖα vocet Philoſophus τὰ εὐγενῆ· altera, ut γενναῖα appellet τὰ ἐπιγεγεννημένα. Utramque hanc explicationes memorat hic Euſtathius: apud quem pro τὰ ἐπιγεγεννημένα, quod præferunt editiones, Romana, & Baſileenſis, ex Athenæo legendum eſt, τὰ ἐπιγεγεννημένα. id eſt, *quæ poſt inſitionem.* Sed & tertia eſt explicatio Euſtathii: cui γενναία σταφυλὴ eadem etiam videtur eſſe, atque ἡ μεγάλη. Tertia hæc τοῦ γενναίου interpretatio videtur & aliis placuiſſe. Etymologici Magni Auctor: γενναῖος, ἀνδρεῖος, εὐγενὴς, μέγας. Heſychius: γεννάδας, γενναῖος, ἀνδρεῖος, εὐγενὴς, συγγενὴς, μέγας. Politus.

Vinum generoſum, οἶνος γενναῖος, idem ac nobile. Plato largitatem vocat γενναίαν εὐήθειαν *nobilem ſimplicitatem.* Salvinus.

5. κατὰ τὰς παρὰ τῷ Ἀριστοτέλει ἐπεμβολάδας ἀπίους, τὰς κοινότερον εἰπεῖν ἐγκεκεντρισμένας) Athenæus: ὁ δὲ Ἀριστοτέλης καὶ ἐπεμβολάδας ἀπίους ὀνομάζει τὰς ἐγκεκεντρισμένας. Harpocration: ἐμβεβλημένα, ἀντὶ τοῦ ἐγκεκεντρισμένα. Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον. καὶ Ἀριστοτέλης δ' ἐμβολάδας ἀπίους λέγει, τὰς τοιαύτας. Alii pro Ἀριστοτέλης legiſſe videntur Ἀριστοφάνης. Suidas: ἐμβεβλημένα, ἐγκεκεντρισμένα. Ἀριστοφάνης δὲ καὶ ἐμβολάδας ἀπίους τὰς τοιαύτας λέγει. & idem: ἐμβολάδας, ἤτοι ἐγκεκεντρισμένας. Ἀριστοφάνης ἐμβολάδας ἀπίους. Hanc lectionis diverſitatem ex ſcriptoræ compendio profectam eſſe opinor: quum librarius fortaſſe priores duntaxat vocis hujus litteras, Ἀρισ. videlicet, expreſſiſſet. Politus.

6. παρ' αὐτῷ) apud Platonem, ut dictum eſt. Polit.

7. γενναῖον κρέας παρὰ τῷ Κωμικῷ, τὸ ἁδρὸν κόμμα) γενναιότατον κρέας Ariſtophanes Equitibus. Τὸ γενναιότατον Scholiaſta exponit, ἐξοχώτατον, ἐκ μεταφορᾶς τῶν ἐξοχῶν κρεῶν, ὅ ἐστι τὸ παχύτατον κρέας. Polit.

8. ἄμφω γὰρ ἀσόλοικα) Sic apud Martialem: *Nobis non licet eſſe tam diſertos.* ſi dixiſſet, *diſertos*, tantumdem eſt. utrumque rectum. *Salvinus.*

pugnare. quod proprium quidem eſt leonis. *Sicuti & alicubi Ajax, dum fugit; tamen inſequentibus hoſtibus reſiſtit*. Primitivum autem τὸ ἀλυσκάζειν, *fugitare*, eſt τὸ ἀλύσκειν, *effugere, evitare, declinare*. Quorum amborum verborum primitivum eſt τὸ ἀλύω, *graviter ſum affectus ob conſilii inopiam, ac mœrorem, animo concido, animo ſum anxio, ac triſtiori, animo diſcrucior, ſive exulto*. Sicuti enim ex μεθύω, *ebrius ſum*, fit μεθύσκω, *inebrio, ebrium reddo*; ita ex ἀλύω, *animo ſum mœſto, conſiliique inope, ſive exulto*, ἀλύσκω, *effugio, declino, evito*, & inde ἀλυσκάζω, *fugito*. Πτώσσειν porrò idem eſt, atque, verſo tergo, curſuque concitato, fugere: ex quo etiam πτὼξ, *lepus*. Quod autem ad verbum ὀκνεῖν, *pigere*, attinet; etſi Homerus verbum hoc accipit, quatenus ſignificat pigrum, ſeu ſegnem eſſe, ſegniter agere, pigrari, ita ut ὀκνεῖν, *pigreſcere*, idem ſit, atque τὸ οὐκ ὀνεῖν, *non juvare*, videlicet non agere, nihil facere; tamen ſciendum, frequentiori uſu eorum, qui poſt Homerum ſcripſerunt, uſurpari τὸν ὄκνον de timore, ac metu. Ex multa ſunt exempla apud Sophoclem. Ἐπιβαίνειν ἵππων, *equos inſcendere*, dicit in currum adſcendere, ſeu conſcendere: ſicuti ἀποβαίνειν, *deſcendere*, dicitur dare ſe pedeſtri itineri, ſeu dare ſe pedibus in viam.

LXXVIII. Τὸ, τρεῖν μ' οὐκ ἐᾷ Παλλὰς Ἀθήνη. *tremere me non ſinit Pallas Minerva*; id, inquam, verbi formatur hoc modo apud veteres. Conſuetudinis eſt Homeri, verba ſecundæ Conjugationis circumflexa in ſecundâ tertiâque perſonâ ſubinde diſſolvere in duo α, quorum primum breve, alterum productum cum ι. Exempli cauſsâ, οὐχ ὁράᾳς, οἷος κἀγώ; *Nonne vides, qualis & ego?*

ἴδιον. Οὕτω δέ που καὶ ὁ Αἴας φεύγων, ἀνθίσταται τοῖς διώκουσι. Προϋπάρχει δὲ τοῦ ἀλυσκάζειν τὸ ἀλύσκειν. [1] ἀμφοῖν δὲ τὸ ἀλύω. Ὡς γὰρ μεθύω μεθύσκω, οὕτως ἀλύω ἀλύσκω, καὶ ἐξ αὐτοῦ, ἀλυσκάζω. Πτώσσειν δὲ, τὸ προτροπάδην φεύγειν, [2] ἐξ οὗ καὶ πτὼξ λαγωός. Τὸ ὀκνεῖν δὲ ἰστέον, ὅτι, κἂν Ὅμηρος ἐπὶ τοῦ [3] ὀκνηλῶς ἔχειν ἔταξεν, [4] ἵνα ᾖ ὀκνεῖν, τὸ οὐκ ὀνεῖν, ἤγουν μὴ ἐνεργεῖν, [5] ἀλλ' ἡ πλείων χρῆσις τῶν μεθ' Ὅμηρον ἐπὶ φόβου τὸν ὄκνον τίθησι. [6] καί ἐστι πολλὴ ἡ χρῆσις παρὰ τῷ Σοφοκλεῖ. Ἐπιβαίνειν δὲ ἵππων λέγει, τὸ εἰς ἅρμα ἀναβαίνειν· ὥσπερ ἀποβαίνειν τὸ πεζεύειν.

οη'. Τὸ δὲ, τρεῖν μ' οὐκ ἐᾷ Παλλὰς Ἀθήνη, οὕτω σχηματίζεται παρὰ τοῖς παλαιοῖς. [7] Ἔθος Ὁμήρῳ τὰ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ῥήματα κατὰ τὸ δεύτερον, καὶ τρίτον πρόσωπον πολλάκις εἰς δύο ἀ διαλύειν· ὧν τὸ μὲν πρῶτον, συνεσταλμένον· τὸ δὲ δεύτερον, [8] ἐκτεταμένον σὺν τῷ ι. οἷον, Οὐχ ὁράᾳς, οἷος κἀγώ. καὶ, Ἰσχα-

1. ἀμφοῖν δὲ τὸ ἀλύω) ἀλύω, quod ſignificat τὸ δυσφορῶ, καὶ ἀπορῶ, καὶ λυποῦμαι, videtur eſſe ex λύω, μετὰ τοῦ ςερητικοῦ ἀ, ita ut ἀλύειν ſit τὸ μὴ λύσιν εὑρίσκειν τῶν κακῶν. Ideo ἀλύοντα minimè quibuſdam videbatur ſ [illegible] eſſe ex ἀλύω, quia τὸ ἀλύειν ſignificat τὸ ἐκλύεσθαι, καὶ ἀποφύγειν. Sed cur non poſſit τὸ ἀλύειν eſſe per paragogen ex λύω μετὰ τοῦ ἀ, ὃ πλεονάζοντος, ἢ ἀπ' ἐπιτάσεως λαμβανομένου; qua certè ratione fuerit ab ἀλύω, non quatenus id eſt τὸ ἀπορῶ, καὶ λυποῦμαι, ſed quatenus ſignificat τὸ λύω. ita ut non jam per privationem, ſed per incrementum ſignificationis, dicatur ἀλύειν τὸ λύσιν εὑρίσκειν τῶν κακῶν. quod quidem evitare eſt, ac declinare. Zenobius apud Etymologum v. ἀλύσσω. καὶ μήποτε δύναται παραγωγὴ εἶναι ἐκ τοῦ λύω, τοῦ α ὃ πλεονάζοντος, ἢ ἀπ' ἐπιτάσεως λαμβανομένου, ὁ μέλλων ἀλύσω· καὶ πλεονασμῷ τοῦ κ, ἀλύσκω. ὡς μεθύω μεθύσω μεθύσκω. ἀλύσκω δὲ τὸ φεύγω λέλυθα. Ita hic fortaſſe accepit τὸ ἀλύω Euſtathius. ut & ad lib. γ' p. 840. ἀλύσκω ἐκ τοῦ ἀλύω, ὅθεν τὸ ἀλυσκάζω quamvis ibi, ut & hoc loci, τὸ ἀλύειν cum noſtris vulgò Grammaticis, ipſoque alibi Euſtathio, interpretati fuerimus ἀντὶ τοῦ ἀδημονῶ. Diſcretè idem Euſtathius ad lib. Ϛ' Il. Τὸ δὲ ἀλυσκάζω, δύο ἔχει παραγωγάς. ἔςι γὰρ ἀλύω ῥῆμα, ὃ τὸ ἀδημονῶ, ἀλλ', ὡς καὶ ἐν Ὀδυσσείᾳ φαίνεται. τὸ χαίρω, καὶ ἀνίεμαι, καὶ ἐκλέλυμαι. ὁ μέλλων ἀλύσω, καὶ παράγωγον ἀλύσκω· ἐξ οὗ αὖθις παρῆκται τὸ ἀλυσκάζω. Et ad Odyſſeam: Τὸ δὲ ἀλύεις. ἀντὶ τοῦ ἐκλέλυσαι τῇ χαρᾷ. Quamquam eo Odyſſeæ loco etiam ἀλύειν τὸ ἀδημονεῖν dictum velit Euſtathius. tamquam ἀντὶ τοῦ ἐκλύειν. Δῆλον δὲ, inquit, ὅτι καὶ ἐπὶ ἀδημονίας ἡ λέξις κεῖται, καὶ μάλιςα παρὰ τοῖς ὕςερον, ὡς ἀπὸ τοῦ ἐκλύειν. Et ad eundem lib. α'· ἔςι δὲ ἀλύειν τὸ ἀδημονεῖν, καὶ οἷον ἐκλελύσθαι. quaſi ſcilicet ἀλύειν ſit animo ſolvi, ac deficere. Alii ἀλυσκάζειν τὸ φεύγειν, deducunt παρὰ τὸ ἀλᾶσθαι πλάζειν. οἱ γὰρ φεύγοντες πλανῶνται. Sed quatenus idem, ut mihi quidem videtur, etiam ἀλύειν, ex quo ἀλύσσειν, & ἀλυσκάζειν, deducunt παρὰ τὴν ἄλην. Quippe hæc etiam quibuſdam placuit etymologia τοῦ ἀλύειν. Etymologici Magni Auctor v. ἀλύω. ὃ παρὰ τὸ ἀλῶ τὸ πλανῶμαι, ἀλύω, ὡς πλάζω, πλαθῶ. οἱ γὰρ λυπούμενοι, ἐν πλάνῃ εἰσίν. Scholiaſta Euripidis ad illud in Oreſte: Ἔα, τί χρῆμ' ἀλύω, Τί τὸ πρᾶγμα, καὶ τίς ὁ τόπος οὗτος, ἀνθ' οὗ ἀπορῶμαι, καὶ ἀδημονῶ. παρὰ τὴν ἄλην. Unde ἀλύειν Suidæ non eſt utcumque τὸ δυσφορεῖν, ſed τὸ ἐν ἄλῃ δυσφορεῖν. Qua explicatione alludit Suidas ad verbi ejuſdem etymologiam. Qua etiam ex etymologiâ factum videtur, ut Herophilus συνώνυμον poneret τὸ ἀλύειν τῷ πλανᾶσθαι. Sed Herophilum minimè probat Erotianus. Verba hæc Erotiani: Βακχεῖος μέντοι ἐν τῷ πρώτῳ τῶν λέξεών φησι τὸ ἀλύειν ἀδυνατεῖν, πλανᾶσθαι, ἄχθεσθαι, οὐκ ὀρθῶς. Οὐ γὰρ εἴ τις ἄχθεται, πλανᾶται, ὃ ἀδυνατεῖ πάντως, καὶ ἀλύει. Οἱ γὰρ ἀλύοντες ἄχθονται μὲν ἐν τῷ ὀδυνᾶσθαι· οὐκ ἀλύουσι δὲ οἱ πλανώμενοι, κτλ., ὡς αὐτός, εὐλόγως αὐτὸν Ἡρόφιλος, συνώνυμον θεὶς τὸ ἀλύειν τῷ πλανᾶσθαι. At enim & οἱ ἀλύοντες, ſeu qui animo anguntur, ii planè animo πλανῶνται. ut Philoctetes ille Sophocleus, de de quo Neoptolemus:

ἀλύει δ' ἐπὶ παντί τῳ
χρείας ἱσταμένῳ, πῶς ποτε πῶς
δύσμορος ἀντέχει.

Et ἀπὸ τοῦ ἀλύειν ἄλυς ἡ πλάνη ἢ ἀπορίας. Immo verò & de gaudio, animique relaxatione accipiunt τὸ ἀλύειν ab eadem etymologiâ, videlicet παρὰ τὴν ἄλην. Nam & qui lætantur, mente veluti vagantur, atque aberrant, quippe animo ſoluti. Unde & Pauſanias ἀλύειν dixit τὸ ἐν ἄλῃ, καὶ πλάνῃ τὴν ψυχὴν ἔχειν. Etymologici Magni Auctor: δηλοῖ καὶ τὸ χαίρω, ὡς τό, Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην; καὶ οὕτω παρὰ τὸ ἀλῶ τὸ πλανῶ, πλανῶνται γὰρ τῶν χαιρόντων αἱ ψυχαί. Ex quibus patet, tam de mœrore, quàm de lætitiâ dictum quoſdam exiſtimaſſe τὸ ἀλύειν ἀπὸ τῆς ἄλης, eo quòd in utraque illâ perturbatione animi noſtri, præſertim ſi gaudio impotentiùs efferuntur, aut triſtitiâ, atque ægritudine nimis dejiciuntur, veluti errare, & vagari videantur. Hinc, quia utraque illa animi perturbatio, ſi impotentior illa quidem eſt, atque immoderatior, quædam eſt mentis veluti abalienatio, ſumptum quoque aliquando videtur τὸ ἀλύειν pro μαίνεσθαι. Hanc etiam verbi ſignificationem agnoſcis ex antiquis Grammaticis Euſtathius: ἀλύω, ἀντὶ τοῦ μαίνεται, ἀπορεῖ κατὰ διάνοιαν. Politian.

2. ἐξ οὗ καὶ πτὼξ λαγωός) Etymologici Magni Auctor: πτὼξ. παρὰ τὸ πτῶ, παράγωγον πτώσσω. ὁ μέλλων, πτώξω. καὶ ἀποβολῇ. Polit.

3. ὀκνηλῶς) l. ὀκνηρῶς. Polit.

Atqui ὀκνηλὸς, & ὀκνηρὸς, utrumque dicitur. *Salvinus*.

4. ἵνα ᾖ ὀκνεῖν, τὸ οὐκ ὀνεῖν, ἤγουν μὴ ἐνεργεῖν) pro οὐκ ὀνεῖν malim, οὐ κινεῖν. Etymologiæ Græcæ: ὀκνῶ, τὸ ῥᾳθυμῶ, οἷον τὸ οὐ κινῶ. Et ὄκνος ἡ ἀκινησία, eſt quaſi ἄκινος τις. Unde per ſyncopen, & mutando τὸ α in ο, ὄκνος. Polit.

De Ocno, pigritiæ ſymbolo, funem torquente, & aſello, v. Politian. in Miſcellaneis. *Salvin.*

5. ἀλλ' ἡ πλείων χρῆσις τῶν μεθ' Ὅμηρον ἐπὶ φόβου τὸν ὄκνον τίθησι) Uſus hic præcipuè Oratorum. Suidas: οἱ ῥήτορες οὐκ ἐπὶ ῥᾳθυμίας ἐχρήσαντο τῷ ὀνόματι, ἀλλ' ἐπὶ τοῦ φόβου, καὶ τοῦ φοβεῖσθαι. Et, ut notat Suidas, Homerum etiam in hoc ſenſu τὸν ὄκνον dixiſſe. Cur autem τὸ ὀκνεῖν ἀντὶ τοῦ φοβεῖσθαι uſurpaverint, ratio illa eſt a Grammaticis excogitata, quia ὀκνηροί, φοβούμενοι, καὶ δειλοί. Politian.

6. καί ἐστι πολλὴ ἡ χρῆσις παρὰ τῷ Σοφοκλεῖ) Suidas: καὶ παρὰ τούτῳ κεῖται Σοφοκλῆς ἐπὶ τοῦ φοβεῖσθαι.

Φρονοῦσα γάρ σοι εὖ ἂν ἐξίσω ὄκνῳ.

Polit.

7. Ἔθος Ὁμήρῳ) ex Etymologo. Polit.

8. ἐκτεταμένον σὺν τῷ ι) Etymologus: τὸ δεύτερον ἐκτεταμένον, καὶ σὺν τῷ ι γραφόμενον. Polit.

ναίας δακέειν. καὶ, [1] ἀκπεραίας μέγα κῦμα. καὶ, Οὐκ ἐάας Κρονίδης. [2] Τοῦτο τὸ ἐάας, ἐὰν ἀποκοπῇ, ποιεῖ, ὡς ἐν μέτρῳ δακτυλικῷ, τὸ, τρεῖν μ' οὐκ ἔα· ἀναβιβασθέντος τοῦ τόνου, μετὰ βραχείας τῆς παραληγούσης, ὡς τῆς ἐν τῷ τέλει μακρᾶς ἀποκοπείσης. Οὐ γὰρ εἶχεν ἀναλογίαν τινὰ ἡ ὀξυτόνησις. [3] Εἰ δὲ γράφεται, τρεῖν μ' οὐκ ἐᾷ, περισπωμένως, [4] ὅπερ ἥκιστα ἐν τοῖς παλαιοῖς εὕρηται, θεραπευθήσεται σπονδειακῶς τὸ μέτρον διὰ συνιζήσεως. Τὸ δὲ, εἰ γοῦν ἅτερός γε φύγῃσιν, ὅμοιον μέν ἐστι τῷ ἀλλαχοῦ εἰρημένῳ περὶ τῆς Ἄτης· [5] κατὰ δ' οὖν ἕτερόν γε πέδησεν. Ἔστι δὲ καὶ αὐτὸ ἐλλειπτικόν· δηλοῖ κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα, ὅτι, εἴπερ ἀνάγκη φυγεῖν, οὐ φεύξονται οἱ δύο, ἀλλ' ὁ εἷς. ὃ καὶ γίνεται. Ἀγχίνους γάρ ἐστιν ὁ Διομήδης τὸ μέλλον προϊδεῖν. διὸ καὶ ἡ πολύβουλος, κατὰ τὸν Ποιητὴν, Ἀθηνᾶ λέγεται αὐτῷ συναίρεσθαι τῆς μάχης. τουτέστιν, ἡ φρόνησις, ἣν προσφυῶς τῇ ἀλληγορίᾳ πολύβουλον ἔφη, κατὰ μετάληψιν τοῦ πολυμήχανος, καὶ ἔτι μᾶλλον, τοῦ πολύμητις. Ἐλλέλειπται δὲ καὶ τὸ, μεμνημένος. Λείπει γὰρ τὸ, οὗ εἶπον, ἤτι τοιοῦτον.

οθ'. Τὸ δὲ ποινὴν ἀντὶ τοῦ ἀντάλλαγμα κεῖται. ὥστε σημειωτέον, ὅτι ποινὴ οὐ μόνον [6] λέγεται τὸ ὑπὲρ φόνου, ἀλλὰ καὶ τὸ ἁπλῶς ἀνταπόδομα. [7] ἡ δὲ χρῆσις πολλὴ παρὰ Πινδάρῳ. Ἰστέον δὲ, ὅτι, καθὰ ἡ ποινὴ ἀμοιβήν τινα ἐστιν ὅτε δηλοῖ, [8] οὐχ ὡς ἀπὸ τοῦ φόνου ἴσως, [9] ἀλλὰ τοῦ πόνου, ὅπερ ἐστὶ, τῆς ἐπαινετῆς ἐνεργείας, [10] οὕτω καὶ ἡ ἄμοιβα. Φησὶ γὰρ ὁ Γραμματικὸς Ἀριστοφάνης, τὸ ἀμύνεσθαι, οὐ μόνον σημαίνειν [11] τὸ κακῶς παθόντα ἀντιδιατιθέναι, ἀλλὰ τεθεῖσθαι καὶ ἀντὶ ψιλοῦ τοῦ ἀμείψασθαι ὁτιοῦν. καὶ φέρει χρῆσιν, ἐκ τοῦ Ἀλκμᾶ-

βροσίᾳ χρώμενοι, ἀθάνατά εἰσιν. οἱ θεοὶ ἄρα ἀθάνατοι. Σημείωσαι δὲ καὶ, ὅτι ἐπὶ ἐγκρατευτῶν ἀνδρῶν ῥηθήσεται τὸ, οὐ γὰρ σῖτον ἔδουσιν, οὐ πίνουσιν αἴθοπα οἶνον, τὸ δ᾽ ἑξῆς, παρῳδηθήσεται. οἷον, Τοὔνεκα ὀλιγαίμονές εἰσι, καὶ τῇ ἀρετῇ ἀθάνατοι καλέονται. Καὶ ταῦτα μὲν τοιαῦτα. [1] ὁ δὲ ἰχὼρ ἀπὸ τοῦ ἴχω, κατὰ τοὺς παλαιοὺς, γίνεται, ἀφ᾽ οὗ καὶ ἡ ἰσχὰς, [2] ὁ ἰσχναίνων τὸ σῶμα ἐν τῷ ἀπορρέειν. διὸ, φασι, καὶ ἐκτείνει τὴν ἄρχουσαν, ὁμοίως τῷ, γίγνεται γίνεται.

Καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσατο Φοῖβος Ἀπόλλων
Κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων
Χαλκὸν ἐνὶ στήθεσσι βαλὼν, ἐκ θυμὸν ἕλοιτο.
Τῷ δ᾽ ἐπὶ μακρὸν ἄυσε βοὴν ἀγαθὸς Διομήδης.

νϛ΄. Κυανέην νεφέλην ἱστᾷ περὶ τὸν Αἰνείαν ὁ Ἀπόλλων, καὶ κρύπτει αὐτὸν, καὶ οὕτω σώζει δι᾽ ἁρπαγῆς. Οὐ γὰρ μόνον φωσφόρος ὁ ἥλιος, ἀλλὰ καὶ νεφεληγερέτης διὰ τὰς ἀναθυμιάσεις, ἃς ἀνάγει. ὥσπερ οὐδὲ μόνον [3] ἀλεξίκακος, ἀλλὰ καὶ ἀπόλλων. Οὕτω δὲ καὶ ὁ Ποσειδῶν οὐ μόνον σεισίχθων, ἀλλὰ καὶ ἀσφάλιος, ὡς ὑγρότητι συνέχων τὴν γῆν, διὸ καὶ γαιήοχος λέγεται. Φράζει δ᾽ ἐνταῦθα Ὅμηρος οὕτω. Καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσατο, τουτέστιν, ἠρύσατο, ἐφύλαξε, Φοῖβος Ἀπόλλων κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων, καὶ ἑξῆς, ὡς προγέγραπται.

Εἶκε, Διὸς θύγατερ, πολέμου, καὶ δηϊοτῆτος.
Ἦ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις;
Εἰ δὲ σύ γ᾽ ἐς πόλεμον πωλήσεαι, ἦ τέ σ᾽ ὀΐω
Ῥιγήσειν πόλεμόν γε, καὶ εἴ χ᾽ ἑτέρωθι πύθηαι.

νζ΄. [4] Θηλύφρονι ἀνδρὶ, ἀχρείῳ τε εἰς πόλεμον, ἐπιφωνηθήσεται τὸ, Εἶκε πολέμοιο, καὶ δηϊοτῆτος. Ἦ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις; καὶ τὰ ἑξῆς. Ὅμηρος δὲ περὶ Ἀφροδίτης τοῦτό φησιν, ἥτις, ὥσπερ τὴν Ἑλένην, οὕτω καὶ ἄλλας ἀπατῶσα, ἐποίει ἀφραίνειν. [5] Τὸ δὲ, Ἦ οὐχ ἅλις, συνίζησιν ἔχει τῶν ἐν ἀρχῇ δύο μακρῶν συλλαβῶν εἰς μίαν μακρὰν, καὶ λογίζεται ἀντὶ δακτύλου, [6] διὰ τὴν τοιαύτην συνίζησιν. Σημείωσαι δὲ, ὅτι οὐ μόνον ἀπολύτως φράζεται, ὡς Baſ. p. 421.

1. ὁ δὲ ἰχὼρ ἀπὸ τοῦ ἴχω) A verbo ἴχω viſcus, viſcum, ob tenacitatem. Salvinus.

2. ὁ ἰσχναίνων τὸ σῶμα ἐν τῷ ἀπορρέειν) Etymologici Magni Auctor: ἀπὸ τοῦ ἴχω τὸ λεπτύνω, ἰχὼρ, καὶ ἰχῶρος, ὁ λεπτύνων τὸ σῶμα ἐν τῷ κατασταζειν· ὅθεν καὶ τὸ ι φύσει μακρόν· ὡς ἐν τῷ γίγνεται, γίνεται. Politus.

ἰχὼρ habet primam productam, quia, quum ſit ab ἴχω, τὸ ἰῶτα ſuppreſſi ſigmatos quamdam in ſe vim retinet. Sic in γίνεται ab integro γίγνεται. Salvinus.

3. ἀλεξίκακος) qui titulus etiam Herculi datur monſtrorum domitori. Salvin.

4. Θηλύφρονι ἀνδρὶ, ἀχρείῳ τε εἰς πόλεμον, ἐπιφωνηθήσεται) Parodias haſce ex Homero depromtas, & variis caſibus applicandas, adnotat Euſtathius. Salvin.

5. Τὸ δὲ, Ἦ οὐχ ἅλις, συνίζησιν ἔχει τῶν ἐν ἀρχῇ δύο μακρῶν συλλαβῶν εἰς μίαν μακράν) Idem de hoc verſu animadverſum ab Hephæſtione. Τὴν συνίζησιν Hephæſtio vocat συνεκφώνησιν. Hic autem, videlicet in τῷ, Ἦ οὐχ ἅλις, τὸ ἤ, καὶ οὐ, ἀμφότερα μακρὰ ὄντα, εἰς μίαν συλλαβὴν μακρὰν συλλογίζονται. Politus.

6. διὰ τὴν τοιαύτην συνίζησιν) Ex vi Synizeſeos. Scholiaſtes Hephæſtionis: αὕτη ἡ συνεκφώνησις λέγεται καὶ συνίζησις. γίνεται δὲ [illegible] τῶν φωνηέντων, ὅτε ἡ φωνὴ ὑπολισθάνουσα, καὶ [illegible] τῶν φωνηέντων, τὰς καταμετρήσεις [illegible] τῶν στίχων. [illegible] Explicat etiam Scholiaſta, quomodo Synizeſis differat a Synalœphe: [illegible] συνεκφωνήσεως [illegible] συνιζάνοντος. [illegible] Διὸ καὶ συνίζησις λέγεται. Συνίζησιν γὰρ λέγεται τὸ [illegible] μείζονας εἰς ἐλάττω συνιέναι. [illegible] συμβαίνοντος· [illegible] μέγεθος. Politus.

ϗ ἐνταῦθα τὸ ἅλις, ϗ ἐν τῷ, ἅλις δέ οἱ· ἀλλὰ ϗ γενικῇ ὡς τὰ πολλὰ ἔχει σύνταξιν. ὡς τὸ, [1] τούτων μὲν ἅλις. ϗ Εὐριπίδης· ἅλις ὀδυρμῶν ἐμῶν. ϗ ἔχει ἔλλειψιν ὑπαρκτικοῦ ῥήματος ἡ τοιαύτη σύνταξις. Ἔστι δὲ ὅτε ϗ κατ᾽ εὐθεῖαν προάγεται. οἷον, ἅλις πόλις ὡς ἔχει. ϗ, ἅλις γὰρ οἱ γεγαῶτες. ϗ λείπει ἐν τοῖς τοιούτοις ῥῆμά τι ἐκ τοῦ ἔχω. Τὸ δὲ ἔπος τὸ, Ἦ οὐχ᾽ ἅλις, ϗ ἑξῆς, ὡς πεποιθὸς πλεονασμὸν περὶ τὴν κεφαλὴν, προκέφαλον λέγεται, ὡς οἷον εἰπεῖν, πρόμηκες τὴν κεφαλήν. Διὸ τὸ αὐτὸ ϗ μακροκέφαλον, ὡς διπλάζον τὴν ἄρχουσαν· ἧς εἴτις ἀφέλοι τὸ κορυφαῖον, ὡς οἷά τινα περιττότατα, ὑγιοῦται τὸ λοιπὸν εἰς δάκτυλον. ὃ ϗ ἄλλως γίνεται τῇ ῥηθείσῃ συνιζήσει τῶν δύο μακρῶν, κατὰ τὸ, Ἢ λάθετ᾽, ἢ οὐκ ἐνόησε. Κοινὴ γὰρ τὸ, ἢ οὐκ ἐνόησεν, εἰς δάκτυλον ποδίζεται. Καὶ τοιοῦτον μὲν τὸ ῥηθὲν ἔπος, ϗ ὅσα κατ᾽ αὐτό. Ἀνάπαλιν δὲ τῷ τοιούτῳ πάθει ἔχει τὸ ἀκέφαλον, ὅπερ τὸν δ᾽ εἰπεῖν βραχυκέφαλον, κατὰ τὸ, ἀμαθὴς ὁ ὀλιγομαθής. ὃ τοῦ κατὰ τὴν ἄρχουσαν μεγέθους ἐκπεσὸν, ἀπὸ βραχείας ἄρχεται. ὁποῖον σὺν ἄλλοις, ἃ ἑτέρωθι φαίνεται, ϗ τὸ, [2] Ἐπειδὴ ἐπὶ νῆάς τε, ϗ Ἑλλήσποντον ἵκοντο. ϗ, Ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο. ϗ, [3] Ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετευχώς.

ϟε΄. Ταύτης δὲ πάθους ἔτυχε ϗ τὸ, Βο-
Rom. p. 555. ρέης, ϗ Ζέφυρος, τώ τε Θρήκηθεν ἄητον. ϗ τὸ, [4] Πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν. Εἰ γὰρ ϗ ἰσοδάκτυλοι εἶεν οἱ πρῶτοι πόδες, ὡς τετράχρονοι, ἀλλ᾽ ὅμως οὐκ ἔστι προκεφάλους εἰπεῖν αὐτοὺς, ὅτι μηδὲ περιττεύει αὐτοῖς ἡ κεφαλὴ μακρὰ οὖσα· ἀκεφάλους δὲ μᾶλλον, διὰ τὸ ἐκπεσεῖν τῆς κατὰ τὴν ἄρχουσαν ἐκτάσεως. Ἀκέφαλοι δὲ ὁμοίως στίχοι ϗ τὸ, Ἕως ἐγὼ περὶ κεῖνα πολὺν βίοτον ξυναγείρων. ϗ, Ἕως ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα, ϗ κατὰ θυμόν. Περὶ δὲ τούτων φασὶν οἱ παλαιοὶ ϗ, ὅτι γελοῖοι οἱ τὴν μέσην μακρὰν ἐν τῇ ποδολογίᾳ προτάτ-

ut & alibi: ἅλις δέ οἱ. *ſatis autem ei*; verùm etiam ut plurimùm conſtrui cum genitivo. ut, τούτων μὲν ἅλις. *horum quidem ſatis*. & apud Euripidem: ἅλις ὀδυρμῶν ἐμῶν. *ſatis lamentationum, & querelarum mearum*. Quo in genere conſtructionis deficit per ellipſin verbum ſubſtantivum. Quin & aliquando effertur per rectum. exempli cauſâ: ἅλις πόλις ὡς ἔχει. *ſatis ſuperque urbs ut habet*. &, ἅλις γὰρ οἱ γεγαῶτες. *ſatis enim ii, qui nati*. Et in his loquendi generibus varbum aliquod deficit ex ἔχω, *habeo*. Ceterùm hic iſte verſus: Ἦ οὐχ ἅλις, &c. *An non ſatis, &c.* utpote qui pleonaſmum habet περὶ τὴν κεφαλὴν, *in capite, ſive in principio*, vocatur προκέφαλος, *procephalus, capite promenente, atque acuminata*, quaſi ſcilicet, ut ita dicam, capite oblongo. Quocirca idem etiam verſus μακροκέφαλος, *macrocephalus, ideſt, capite longo*, utpote qui geminat primam ſyllabam: unde ſiquis apicem ipſum, ſeu verticem capitis, tamquam reſegmen minimè omnium neceſſarium, auſert, id profecto, quod reliquum eſt, in dactylum convaleſcit. quod etiam aliter fit per Syoizeſin eam, quam diximus, duarum longarum, ut in τῷ, Ἢ λάθετ᾽, ἢ οὐκ ἐνόησε. *Sive oblitus eſt, ſive non advertit*. Nam & illic τὸ, ἢ οὐκ ἐνόησεν, *ſive non advertit*, pede definitur dactylo. Atque ita quidem ſeſe habet verſus ille, quem diximus, & quicumque alii ſunt verſus ejus generis. Verùm oppoſitâ ratione, atque id figuræ, ſeu vitii genus, ſeſe habet verſus ἀκέφαλος, *acephalus, tamquam ſine capite*. quod idem eſt, ac ſi diceretur βραχυκέφαλος, *brachycephalus, brevi capite*. ut ἀμαθὴς, *indoctus, atque imperitus*, idem eſt, atque ὁ ὀλιγομαθὴς, *parum doctus, parùm peritus, parùm eruditus*. Hic enim verſus ipſo ſtatim initio a magnitudine, ac longitudine ſuâ deſciſcit, quippe qui incipiat a ſyllabâ brevi. cujuſmodi, præter alios verſus, quos alibi compertum ſumus, eſt etiam ille verſus: Ἐπειδὴ ἐπὶ νῆάς τε, ϗ Ἑλλήσποντον ἵκοντο. *Poſteaquam ad naves, & Helleſpontum pervenerunt*. Et, Ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο. *Poſteaquam reliquit domum Calypſonis pulchra in comâ*. &, Ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετευχώς. *Lorum revinctum erat, e bovis corio factum*.

XCVIII. Ejuſce etiam figuræ illud: Βορέης, ϗ Ζέφυρος, τώ τε Θρήκηθεν ἄητον. *Boreas, & Zephyrus, qui e Thraciâ ſpirant*. & illud: Πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν. *Plures certè proci in veſtris domibus*. Etſi enim primi horum verſuum pedes pares ſunt dactylis, quippe quaternorum temporum; tamen non licet eos vocare προκεφάλους, *procephalos, ſeu capite oblongo*, quia non ſunt ii reverâ capite ſupra modum longiori; ſed potiùs ἀκεφάλους, *acephalos, ſine capite*, eo quòd longa eos in principio ſyllaba deficit. Ac ſimiliter verſus ἀκέφαλοι, *acephali, ſine capite*, illi: Ἕως ἐγὼ περὶ κεῖνα πολὺν βίοτον ξυναγείρων. *Interea dum ego circa loca illa multum victum colligens*. &, Ἕως ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα, ϗ κατὰ θυμόν. *Dum hæc ille agitabat mente, & animo*. De his autem verſibus notant veteres Grammatici, ridiculos eos eſſe, qui in concinnandis numerandiſque pedibus mediam longam priori loco collocant, & τὸ ἕως, *dum*,

1 τούτων μὲν ἅλις) Procumbunt ἅλις ἀρωγῆς. ſubintelligitur πράγματα. τοι. Solvinus.
Ariſtophanes: ἅλις ἀρωγῆς. Polit.
2. Ἐπειδὴ νῆάς τε) Athenæus: ἀκέφαλοι δ᾽ εἰσὶν οἱ ἐπὶ τῆς ἀρχῆς τὴν χωλότητα ἔχοντες (στίχοι)· Ἐπειδὴ νῆάς τε, ϗ Ἑλλήσποντον ἵκοντο. Vetus Scholiaſte ad hunc ipſum verſum Homericum lib. ψ. Iliad. ἀκέφαλον καλεῖται τοῦτο τὸ μέτρον. ... ὁ στίχος. Melius verſum hunc ἀκέφαλον diceres, & claudicantem, quem cum Hephæſtione legeres: Ἐπειδὴ δ᾽ ἐς νῆάς τε, ϗ Ἑλλήσποντον ἵκοντο. Et aliud agebat Hephæſtio, cum verſum hunc in exemplum aſſumeret ejus Syncephoneſeos, in qua βραχεῖα, καὶ μακρὰ εἰς μίαν μακρὰν παραλαμβάνονται. Nec enim locum hic habere poteſt Syncephoneſis, mediâ inter vocales conſonante. *Politus*.
3. Ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετευχώς) Exemplum adducit Athenæus: Ἐπίτονος τανύσας βοὸς ἶφι κταμένοιο. Polit.
4. Πλέονές κε) Alii per amphimacrum, Πλεῖονες. Πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν. Sed & anapæſtum fuiſſe, qui in τῷ, Πλέονες, metro medeantur per ſynizeſin, ſumptis duabus brevibus pro unâ longâ, pariter atque in τῷ, Νέα μὲν μοι ... Ποσειδάων ... quod adducit exemplum Hephæſtio. Alii malunt anapæſtum. *Politus*.
Vnc. *Fluviorum Rex Eridanus*. anapæſtus ἰσόχρονος dactylo. Salvinus.

Digitized by Google

dum, *interea dum*, dicunt ὥος, ſicuti etiam in illo: Βορέης, καὶ Ζέφυρος, *Boreas*, & *Zephyrus*, primum pedem metiuntur, τέθριπ. Quòd ſi, ut ajunt, ſuppetias per artem ferre oportet; eo loci: Ἕως ἐγὼ, *interea dum ego*, &, Ἕως ὅ, *dum ille*; perinde primus pes proferendus, ac ſi eſſet ὥς· quippe factâ ibi Synizeſi in modum communis ſyllabæ. Alioquin enim, inquiunt, quum id carminis genus nullam medicinam admittat, habetur loco acephali, quatenus prima pedis ſyllaba, licet brevis; tamen poſita eſt pro longâ. Atque hæc quidem ita. Verùm de eo genere figurarum, quod verſus ventre graciliores facit, & cruribus breviores, ſuis alibi in locis ſumus dicturi. Mulieres porrò ἀνάλκιδες, *infirmæ*, *imbecilles*, *invalidæ*, per commune epitheton. Tales enim ipſæ: niſi ſiqua forte ſit bellicoſa, Penelopes inſtar, aut ut fortis illa, planèque virilis Atalanta, aut Arganthona, aut Rhodoguna, aut ſiqua alia mulier hujuſcemodi. quales etiam barbaræ illæ feminæ, Artemiſia, & Nitocris. Ad ignavum meticuloſumque hominem perterrefaciendum percommodum illud: Εἰ δὲ σύ γ' ἐς πόλεμον πωλήσεαι, ἦ τέ σ' ὀΐω ῥιγήσειν πόλεμόν γε, καὶ εἴ χ' ἑτέρωθι πύθηαι. *Seu autem tute in bello verſabere, certe te quidem puto formidaturum eſſe pugnam, etiamſi vel alibi audieris.* Ubi vide, ut ſemel atque iterum eadem continenter vox uſurpatur, ὁ πόλεμος, *bellum*; itemque ut illud, ἐς πόλεμον πωλήσεαι, *in bello verſabere*, quamdam habet parecheſin: quales profectò parecheſes tum in Odyſſeâ ſunt expoſitæ, tum in libro *a* hujuſce Iliadis. Simile etiam Ariſtotelicum illud: τὰ φολιδωτὰ φωλεῖ μὲν τὰ πλεῖστα. *quæ ſquamea ſunt animalia, ea in latibulis ut plurimùm latent.*

Sic dixit. Illa verò mœrens abiit, vehementerque affligebatur.
Hanc autem prehenſam celeripes Iris extra turbam duxit
Oppreſſam doloribus. Quippe pulchrâ in cute nigreſcebat.

XCIX. Τὸ ἀλύω, *animo vehementer afficior*, *animo laboro*, *oberro*, non de mœrore modò, ac triſtitiâ, ut hoc quidem loci Venus ἀπέβη ἀλύουσα, τείρετο δ' αἰνῶς, *abiit mœrens*, *graviterque affligebatur*; verùm etiam de gaudio, ut in loco illo Odyſſeæ: ἀλύεις, ὅτι Ἶρον ἐνίκησας; *an exſultas gaudio, quòd Irum ſuperaveris?* Immo & Plutarchus ad ſatietatem uſque in hunc ſenſum voce hac utitur. Ajunt autem, Aſcalonitam denſo ſpiritu afferre τὸ ἁλύω, cum gaudium ſignificat. Sed de hoc verbo dictum eſt etiam Commentariis in Odyſſeam. Venus, poſt acceptum vulnus, a fabuloſâ Iride manuducitur, atque e prœlio educitur, quum doloribus premeretur,

ταλλοντες, καὶ τὸ, ἕως, ὥες λέγοντες, καθὰ καὶ ἐν τῷ, Βορέης, καὶ Ζέφυρος, πεβορε ποδίζοντες τὴν ἄρχεσαν. Εἰ δὲ δεῖ, φησι, κατὰ τέχνην βοηθεῖν, ἐν τῷ, Ἕως ἐγώ. καὶ, Ἕως ὅ, [1] προενεκτέον τὸν πρῶτον πόδα, ὡς εἴπερ ἦν, ὥς· οἷα συνιζήσεως ἐν αὐτῷ γενομένης κατὰ κοινὴν συλλαβήν. Ἄλλως δέ, φασιν, ἀβοήθητον ὄν, τάττεται εἰς ἀκέφαλον, καθότι ἡ πρώτη τοῦ ποδὸς βραχεῖα οὖσα, κεῖται ὡς καὶ μακρά. Καὶ τοιαῦτα μὲν ταῦτα. [2] Περὶ δέ γε τῶν κατὰ κοιλίαν, καὶ σκέλη ϛιχηρῶν παθῶν, ἐν οἰκείοις ἑτέρωθι χωρίοις ῥηθήσεται. Γυναῖκες δὲ ἀνάλκιδες, κατὰ κοινὸν ἐπίθετον. Τοιαῦται γὰρ αὐταί· εἰ μήτις ἄλλως δαΐφρων εἴη, κατὰ τὴν Πηνελόπην, ἢ κατὰ τὴν ἀνδρικὴν Ἀταλάντην, ἢ Ἀργανθώνην, ἢ Ῥοδογύνην, καὶ εἴτις ἄλλη τοιαύτη γυνή. ὁποῖαι καὶ ἡ Ἀρτεμισία, καὶ ἡ Νίτωκρις αἱ βάρβαροι. Ἐκφόβησις κατὰ δειλοῦ τὸ, Εἰ δὲ σύ γ' ἐς πόλεμον πωλήσεαι, ἦ τέ σ' ὀΐω ῥιγήσειν πόλεμόν γε, καὶ εἴ χ' ἑτέρωθι πύθηαι. Ὅρα δὲ, ὅτι τε δὶς ἐταυτολογήθη συνεχῶς ὁ πόλεμος, καὶ ὅτι τὸ, ἐς πόλεμον πωλήσεαι, παρήχησίν τινα ἔχει· ὁποῖαί τινες καὶ ἐν Ὀδυσσείᾳ, καὶ ἐν τῇ α ῥαψῳδίᾳ τῆς Ἰλιάδος ταύτης ἔκκεινται. [3] Ὅμοιον δὲ καὶ τὸ Ἀριστοτελικὸν τὸ, τὰ φολιδωτὰ φωλεῖ μὲν τὰ πλεῖστα.

Ὡς ἔφαθ', ἡ δ' ἀλύουσ' ἀπεβήσατο, τείρετο δ' αἰνῶς.
Τὴν μὲν ἄρ' Ἶρις ἑλοῦσα ποδήνεμος ἔξαγ' ὁμίλου,
Ἀχθομένην ὀδύνῃσι. μελαίνετο δὲ χρόα καλόν.

νθ'. [4] Τὸ ἀλύω, οὐ μόνον ἐπὶ λύπης, [5] ὡς ἐνταῦθα ἡ Ἀφροδίτη ἀπέβη ἀλύουσα, τείρετο δ' αἰνῶς· ἀλλὰ καὶ ἐπὶ χαρᾶς, ὡς ἐν Ὀδυσσείᾳ ἐν τῷ, ἀλύεις, ὅτι Ἶρον ἐνίκησας; [6] καὶ Πλούταρχος δὲ κατακόρως οὕτω χρᾶται τῇ λέξει. Φασὶ δὲ, [7] τὸν Ἀσκαλωνίτην δασύνειν τὸ ἀλύω ἐπὶ τῆς χαρᾶς. Εἴρηται δὲ περὶ τούτου καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Ἀφροδίτη, μετὰ τὴν βολήν, ὑπὸ Ἴριδος τῆς μυθικῆς χειραγωγεῖται, καὶ τοῦ πολέμου ἐξάγεται,

1. προενεκτέον τὸν πρῶτον πόδα, ὡς εἴπερ ἦν, ὥς) Quid dicemus in ἕως ὁ, de articulo ὁ, qui brevis eſt? Omnia hæc excuſantur per ἰσοδυναμίαν, ſeu æquipollentiam. Nam ἕως ὁ, una longa cum duabus brevibus, æquipollet duobus longis. *Salvinius.*

2. Περὶ δέ γε) l. Περὶ δέ γε. Loquitur autem hic de verſibus λαγαροῖς, & μειούροις. Politus.

3. Ὅμοιον δὲ καὶ τὸ Ἀριστοτελικόν) Ariſtot. hiſt. animal. *Salvinius.*

Ariſtoteles De Hiſt. Animal. lib. 8. cap. 17. τὰ δὲ φολιδωτὰ, φωλεῖ μὲν χρόνον τὸν πλεῖστον· ὅσα μὲν τὸ δέρμα μαλακὸν, καὶ μὴ ὀστρακῶδες, ὥσπερ ἡ χελώνη (καὶ γὰρ ἡ χελώνη τῶν φολιδωτῶν ἐστι, καὶ ὁ ὄφις) οὗτοι ἀναλαμβάνουσι, καὶ σαῦρος, καὶ μάλιστα πάντων οἱ ὄφεις. Politus.

4. Τὸ ἀλύω, οὐ μόνον ἐπὶ λύπης) ἀλύω, externor, ἐκτὸς ἐν ἑαυτῷ εἰμι. tam a mœrore, quam a gaudio. *Salvinius.*

Scholiaſta Euripidis ad Oreſtem, ad illud: Ἔα, τί χρῆμ' ἀλύω, τὸ ἀλύειν δὲ ποτὲ μὲν ὁ Ποιητὴς ἀντὶ τοῦ ἀσχάλλειν, καὶ ἀπορεῖσθαι λαμβάνουσιν, ὡς ἐνταῦθα, καὶ παρὰ τῷ Ποιητῇ· ἡ δ' ἀλύουσ' ἀπεβήσατο. ποτὲ δὲ ἀντὶ τοῦ γαυριᾶν, καὶ χαίρειν, ὡς τό, Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην. Τὸ ἀλύω deducit ibidem Scholiaſta παρὰ τὴν ἄλην. Politus.

5. ὡς ἐνταῦθα ἡ Ἀφροδίτη ἀπέβη ἀλύουσα) Erotianus in Lexico Hippocratis: Ὅμηρος ἐν τῷ ε τῆς Ἰλιάδος ἐπὶ τῆς Ἀφροδίτης τετρωμένης φησίν· Ὡς ἔφαθ'. ἡ δ' ἀλύουσ' ἀπεβήσατο. ἀντὶ τοῦ ἀπορῶν, καὶ ῥιπταζομένη. Poliτ.

6. καὶ Πλούταρχος δὲ κατακόρως οὕτω χρᾶται τῇ λέξει) Non utitur modò ſæpe hac ipſa voce Plutarchus; ſed & ejus vocis uſum egregiè obſervat apud Poëtam, eo libro, quo quærit, πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν. Sic ibi Plutarchus: καὶ τὸ ἀλύειν ποτὲ μὲν ἀντὶ τοῦ δυσφορεῖν, καὶ ἀπορεῖσθαι κεῖται· Ὡς ἔφαθ'· ἡ δ' ἀλύουσ' ἀπεβήσατο, τείρετο δ' αἰνῶς. ποτὲ δὲ ἀντὶ τοῦ γαυριᾶν, καὶ χαίρειν· Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην; Politus.

7. τὸν Ἀσκαλωνίτην δασύνειν τὸ ἀλύω ἐπὶ τῆς χαρᾶς) tanquam videlicet ἀπὸ τῆς ἅλσεως, cum aſpiratione. Suidas: Σημαίνει δὲ ἀλύειν καὶ τὸ γεγηθέναι, ἀπὸ τῆς ἅλσεως καὶ ἀναχύσεως. Ὅμηρος· Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην; ἔδει καὶ δασύνεσθαι. Legendum hic ἁλύεις, & ἅλσεως cum aſpiratione, verba ipſa Suidæ loquuntur. Notat etiam Suidas, Atticos δασύνειν τὸ ἁλτεῖσθαι, καὶ ψιλοῦν τὸ ἀλύειν. Politus.

γεται, ἀχθομένη ὀδύναις, μελαίνοιτο δὲ χρόα καλόν. Φασὶ δὲ, τὴν Ἶριν ἐρωτικὴν καὶ αὐτὴν εἶναι. Καὶ μὴν τινες, ὡς καὶ προεγράφη, αὐτῆς, καὶ Ζεφύρου παῖδά φασι γενέσθαι τὸν ἔρωτα. Ταῦτα δὲ οὕτω μυθεύεται διὰ τὴν ἀλληγορουμένην Ἶριν· ἐπεὶ καὶ αὐτὴ ἔχει τί ἐπαφρόδιτον [1] διὰ τὸ τῶν χρωμάτων κάλλος. Διὸ καὶ οἰκείως πως ἔχειν δοκεῖ πρὸς Ἀφροδίτην. Ὠκεῖαν δὲ καὶ νῦν, ὡς ποδήνεμον, ταυτὸν δ' εἰπεῖν ἀελλόποδα τὴν Ἶριν λέγει, μυθικῶς μὲν, διὰ τὸ πτερωτὴν εἶναι, καὶ ταχεῖαν, καθὰ καὶ ὁ Ἑρμῆς. [2] Ἄγγελοι γάρ εἰσι καὶ ἀμφότεροι. διὸ καὶ ἀπὸ τοῦ εἴρω τὸ ἀγγέλλω ἐτυμολογοῦνται. ἀρετὴ δὲ ἀγγέλου τὸ τάχος. Ἀλληγορικῶς δὲ, διὰ τὸ ταχὺ τῆς Ἴριδος εἴς τε τὸ γίνεσθαι, καὶ εἰς τὸ ἀπογίνεσθαι. Ὅτι δὲ διττῶς ἡ Ἶρις (ἡ μὲν γὰρ, σωματοειδὴς, ὡς δῆθεν κατὰ γυναικὸς εἶδος. οἷον· [3] Ἶρις δ' αὖθ' Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν· ἡ δὲ, τὸ ἐν ἀέρι σημεῖον. οἷον· [4] Ὡς δ' ὅτε πορφυρέην Ἶριν, καὶ ἑξῆς) καθωμίληται. Τὸ μέντοι ἴρινον μύρον, καὶ τρίτην τινὰ ἶριν ἐμφαίνει εἶναι, περὶ ἧς ἐν ἄλλοις δηλοῦται.

tur, pulchraque ejus cutis nigreſceret. Ferunt autem de Iride, ipſam quoque eſſe amatoriam. Quin etiam tradunt nonnulli, ut ſupra quoque ſcriptum, ex eâ, atque ex Zephyro natum eſſe Amorem. Quæ ſic fabuloſè memorantur propter eam Irim, quæ in allegoriam venit: quoniam & ipſa neſcio quid venuſtatis, atque elegantiæ habet propter pulchritudinem colorum. Ideoque neceſſitudo quommodo, & familiaritas videtur ei cum Venere intercedere. Irim autem etiam nunc vocat ὠκεῖαν, *velocem, ac celerem*, tamquam ποδήνεμον, *pedibus ventos æquantem, ſeu ventorum inſtar celeripedem*. quod idem eſt, ac ſi diceres ἀελλόποδα, *procellæ inſtar celeripedem*. Fabuloſè quidem, eo quia alata illa eſt, ac velox, pariter atque ὁ Ἑρμῆς, *Mercurius*. Nuntius enim uterque. Ideoque nomen ductum habent ab εἴρω, quod ſignificat *nuntio*. Nuntii autem virtus, atque laus, celeritas. Allegoricè verò, propter ipſius Iridis & in ortu, & in interitu celeritatem. Irim autem bifariam intelligi, id certè quidem eſt communi ſermone pervulgatum. Altera namque prædita eſt formâ corporis, quaſi ſcilicet in ſpeciem muliebrem, ut: Ἶρις δ' αὖθ' Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν. *Iris interea ad Venerem candidis præditam ulnis nuntia venit*. Altera verò, ſignum eſt in aëre, ſeu arcus cœleſtis, ut: Ὡς δ' ὅτε πορφυρέην Ἶριν, &c. *Sicuti autem quando purpuream Irim, &c.* At enim & τὸ ἴρινον μύρον, *Irinum unguentum*, tertiam quoque eſſe Irim, herbam videlicet, denotat, de qua alibi clarè agitur.

Εὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα
Ἥμενον· ἠέρι δ' ἔγχος ἐκέκλιτο, καὶ ταχέ' ἵππω.
Ἡ δὲ, γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο,
Πολλὰ λισσομένη, χρυσάμπυκας ᾔτεεν ἵππους.

Invenit deinde ad ſiniſtram pugnæ furibundum Martem
Sedentem. Caligine circumdata erat haſta, & veloces equi.
Illa verò ad genua accidens fratris ſui,
Multis precibus equos aurato crinali redimitos petebat.

Baſ.p.422. ρ'. Ἔοικεν ὁ Διομήδης περὶ τὰ τοῦ πολέμου δεξιὰ εὐδοκιμεῖν, ὡς τῶν Τρωϊκῶν ἀριστέων ἐν τοῖς ἀριστεροῖς νῦν μάλιστα πονουμένων. Διὸ Ἀφροδίτη μάχης ἐπ' ἀριστερὰ τὸν
Rom.p.556. Ἄρην εὑροῦσα κεκαθήμενον, ἤτοι ἐγκείμενον, καὶ προσεδρεύοντα, ἤδη δὲ καὶ ἀργοῦντα, καὶ οὐ πάνυ ἀγωνιῶντα, διὰ τὰ ἐκεῖσε τοὺς Τρωϊκοὺς ἀριστέας νικᾶν, εἰς ἐπικουρίαν τῶν δεξιῶν αὐτὸν προκαλεῖται, ὡς πονούντων δηλαδὴ, καὶ ἐρρεθίζει κατὰ τοῦ Διομήδους. Φησὶ γὰρ ὁ Ποιητής· Εὗρε μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα, ὅς τις ἐκεῖθεν διεγερθεὶς οἷον, καὶ διαναστὰς εἰς ἄμυναν, ἐπελεύσεται τῷ Διομήδει· ὅτε καὶ δείκνυται μείζων ἡ τοῦ Διομήδους ἀριστεία· μυθικῶς μὲν, Ἄρεος τρωθέντος τοῦ βροτολοιγοῦ, τῇ δὲ ἀληθείᾳ, γενναίων ἀνδρῶν ἀρειμανίων ἐπελθόντων μὲν τῷ Διομήδει πλειόνων τοῦ πλήθει, ἤπερ ἐπὶ τοῦ Αἰνείου, καὶ Ἀφροδίτης, ἡττηθέντων δέ. Ἐρεῖ γὰρ, ὅτι Τρώων στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών. οἳ δηλαδὴ καὶ συνέμιξαν τῷ Διομήδει. Καὶ γὰρ ζηλοῦσιν, ἐὰν ὁ Διομήδης εἷς ὢν, τοσαῦτα κακὰ ποιῇ.

C. Videtur Diomedes præclara illa facinora in dextro cornu fortiter pugnans ediſſe, eo quia viri Trojanorum fortiſſimi nunc maximè in cornu ſiniſtro laborant. Idcirco Venus quum in ſiniſtrâ acie Martem offendiſſet καθήμενον, *deſidentem*, videlicet ἐγκείμενον, *quieſcentem*, & aſſidentem, jam verò etiam otio perfruentem, neque admodum animi anxium, aut ſollicitum, eo quòd Trojani ibi proceres viribus prævalebant; eum ad auxilium dextro cornu ferendum incitat, quia ibi nimirum laborabant, & in Diomedem commovet, atque exſtimulat. Sic enim narrat Poëta: *Offendit ad ſiniſtram pugnæ furibundum Martem*: qui inde veluti excitatus, atque ad Trojanorum defenſionem exſurgens, procedit poſtea adversùs Diomedem: quando etiam Diomedis virtus, majori edito facinore, major ipſa quoque exiſtit. Nam fabuloſè quidem Mars vulneratur, pernicies illa, & exitium mortalium; reverâ autem ſtrenui viri, Martio furore perciti, quum in Diomedem majori longè multitudine invadant, quàm quos diximus in re Æneæ, & Veneris accurriſſe, cladem nihilominus accipiunt. Quippe infra narrat, ut Τρώων στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών· *Trojanorum ordines perniciosus Mars obeundo concitavit*. qui nimirum ordines pugnam etiam cum Diomede conſeruerunt. Etenim ex æmulatione quadam, atque invidentiâ ægrè ferunt, quòd unus Diomedes tot mala, ac tanta faciat, non

ἐπ

1. διὰ τὸ τῶν χρωμάτων κάλλος) Virg. *Mille trahit varios adverſo Sole colores*. Atque ita variè colorati iridem teſcunt. Horat. *Et tinctus violâ pallor amantium*. Salvinus.

2. Ἄγγελοι γάρ εἰσι καὶ ἀμφότεροι) Lucianus De Sacrificiis: ἡ Ἶρις, καὶ ὁ Ἑρμῆς, ὄντες ἄγγελοι, καὶ ἀγγελιαφόροι τοῦ Διός. Polit.

3. Ἶρις δ' αὖθ' Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν) Virg. *Irim de cœlo miſit Saturnia Juno*. Salvin.

4. Ὡς δ' ὅτε πορφυρέην Ἶριν) lib. ρ' Iliad. Ἠΰτε πορφυρέην Ἶριν θνητοῖσι τανύσσῃ Ζεὺς ἐξ οὐρανόθεν. Polit.

in ſingulos modò milites; verùm etiam in multitudinem. Ideoque accurrunt multa hominum millia, ut poſtea videbitur: qui & ipſi tamen ſuperantur: itaque vulnerari videtur Mars, qui eos concitaverat. Eo loci: ἠέρι δ' ἔγχος ἐκέκλιτο. *in caligine autem reclinata erat, ac demiſſa haſta*, haſta nimirum Martis, καὶ ταχέ' ἵππω, *& duo veloces equi:* adjumento eſt vocis ambiguitas ad ſententiam rectè percipiendam. Sicuti enim haſta ἐκέκλιτο, *reclinata erat*, videlicet ἔκειτο, *jacebat;* ſic etiam equi ἐκέκλιντο, *reclinati erant*, videlicet ἵσταντο, *ſtabant*. Utrumque enim ſignificatur verbo κεῖσθαι, *poſitum, ſeu ſitum eſſe*, cum id, quod propriè dicitur κεῖσθαι, *jacere*, cum τὸ ἵστασθαι, *ſtare*. Rurſus, alio modo, haſta quidem ἐκέκλιτο, *reclinata erat;* equi tamen non ἐκέκλιντο, *reclinati erant;* ſed, ut recta ratio poſtulat, ἵσταντο, *ſtabant*. Ut: σῖτον ἔδοντες, καὶ οἶνον. *panem edentes, & vinum*. nimirum πίνοντες, *bibentes*. Sic & pleraque alia. Sin autem & cum quid dicitur κεκλίσθαι, notat id eſſe contentum, circumdatum, undique clauſum, ut: Λίμνῃ κεκλιμένος Κηφισίδι. *Lacu clauſus Cephiſſide;* facillimum ita ſit, maximèque expeditum, quod difficultatem qualemcumque afferebat. Erat enim caligo circumjecta, atque circumfuſa haſtæ Martis, equiſque ejus bijugibus, eo quòd iſta ſenſum omnem oculorum effugiebant. Τὸ, γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο, *ad genua procidens fratris ſui*, idem eſt, ac ſi diceret, γονυπετήσασα τὸν ἀδελφόν· *genua amplectens fratris, ſive fratris genibus advoluta:* non ita tamen, ut fratris genua quomodocumque ſuppliciter tetigerit, atque prenſaverit; ſed cum vehementi animi motu, aptèque ad miſericordiam captandam, ita ut ſemet ipſa ad illius genua projecerit. Sic & eadem poſtea ad genua Diones matris accidens, ignaviter ei, & muliebriter ſupplicat. quod & infra alia quoque dea facere conſpicitur, cum in deſcribendâ deorum pugnâ flens ad Jovem, & ejulatus edens inducitur. Neque incompertum eſt, nonnullos, qui inter pugnandum dejecti ſunt, dici γνὺξ ἐριπεῖν, *in genua cecidiſſe*. Ἄμπυξ vocata eſt catena aurata ad ſparſos crines in equorum fronte colligandos: ex qua equi nunc Martis duobus in locis dicti χρυσάμπυκες, *aurato crinali redimiti, ſeu reticulum ex auro habentes ad crines conſtringendos*. Verùm, quid ſit ἄμπυξ, *crinale, ſeu vinculum, aut reticulum ad comas cohibendas*, ſumus clariùs explicaturi in libro χ'.

Frater mi, curam mei habeto, da mihi equos,
Ut ad Olympum perveniam, ubi Immortalium ſedes eſt.
Valdè doleo ex vulnere, quo me mortalis vulneravit homo
Tydides, qui nunc certè vel cum Jove patre pugnaret.
Sic dixit. Ei verò Mars dedit aurato crinali redimitos equos.
At illa currum conſcendit, mœrens animo ſuo.

CI. Τὸ φίλε, *chare*, hoc item loci producit ancipitem primæ ſyllabæ, ut & in libro γ'. Dicit enim: Φίλε κασίγνητε, κόμισαί τέ με· δὸς δέ μοι ἵππους. *Cōare frater, habeto curam mei: da mihi equos*. Quare etiam Aſcalonita, ut ajunt, circumflectebat τὸ φί. Ac vide etiam nunc mediam, atque ambiguam naturam ancipitum harum litterarum. ſiquidem & τὸ φίλος, *charus*, nunc producit primam, nunc

ποιῆ, οὐ μόνον εἰς τοὺς καθ' ἕνα, ἀλλὰ καὶ εἰς πλῆθος. Διὸ καὶ ἐπέρχονται χιλιάδες πολλαὶ, ὡς ἐν τοῖς ἑξῆς φανήσεται, καὶ ἡττῶνται καὶ αὐταί· καὶ οὕτω δοκεῖ τρωθῆναι Ἄρης ὁ ὄρσας αὐτούς. Ἐν τῷ, ἠέρι δ' ἔγχος ἐκέκλιτο, τὸ τοῦ Ἄρεος δηλαδὴ, καὶ ταχέ' ἵππω, λέξεως ὁμωνυμία βοηθεῖ τῇ ὀρθῇ ἐννοίᾳ. Τὸ μὲν γὰρ ἔγχος ἐκέκλιτο, ἤτοι ἔκειτο· εἰ δὲ ἵπποι ἐκέκλιντο, ἤγουν ἵσταντο. [1] Ἄμφω γὰρ δηλοῖ τὸ κεῖσθαι, τό, τε ἰδίως λεγόμενον κεῖσθαι, καὶ τὸ ἵστασθαι. Καὶ ἄλλως δὲ ἔγχος μὲν, ἐκέκλιτο· ἵπποι δὲ οὐχὶ ἐκέκλιντο, ἀλλὰ, κατὰ τὸ εὔλογον, ἵσταντο. ὡς τὸ, [2] σῖτον ἔδοντες, καὶ οἶνον. πίνοντες δηλαδή. Οὕτω δὲ καὶ ἄλλα πολλά. Εἰ δὲ καὶ περιοχὴν τὸ κεκλίσθαι δηλοῖ, ὡς τὸ, Λίμνῃ κεκλιμένος Κηφισίδι, εὐμαρέστατον οὕτω τὸ ὑποδύσκολον. ἠέρι γὰρ περιείχετο καὶ τὸ ἔγχος τοῦ Ἄρεος, καὶ ἡ ξυνωρὶς, διὰ τὸ ἀόρατον. Τὸ, γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο, ταυτὸν μέν ἐστι τῷ, γονυπετήσασα τὸν ἀδελφόν· πλὴν οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πάθους, ὡς καὶ ἑαυτὴν προσρίψαι τοῖς ἐκείνου γόνασιν. Οὕτω δὲ καὶ ἑξῆς ἐν τοῖς γόνασι πίπτει τῆς μητρὸς Διώνης ἡ αὐτὴ, ἀγεννῶς, καὶ θηλυπρεπῶς ἱκετεύουσα. [3] Τοιαύτη δέ τις φαίνεται καὶ, ὅτε πρὸς τὸν Δία ἐν τῇ τῶν θεῶν μάχῃ κλαυθμυρίζεται. Οὐκ ἄδηλον δὲ, ὡς καὶ ἐν πολέμῳ καταῤῥιφέντες τινὲς, [4] γνὺξ ἐριπεῖν λέγονται. Ἄμπυξ ἐκαλεῖτο σειρὰ κατάχρυσος τὰς περὶ τὸ μέτωπον τῶν ἵππων τρίχας συνδέουσα· ἐξ ἧς καὶ οἱ τοῦ Ἄρεος νῦν ἵπποι ἐν δυσὶ τόποις χρυσάμπυκες λέγονται. Λεχθήσεται δὲ καὶ ἐν τῇ χ' ῥαψῳδίᾳ περὶ ἄμπυκος σαφέστερον.

Φίλε κασίγνητε, κόμισαί τέ με, δὸς δέ μοι ἵππους,
Ὄφρ' ἐς Ὄλυμπον ἵκωμαι, ἵν' ἀθανάτων ἕδος ἐστί.
Λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνὴρ
Τυδείδης, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο.
Ὣς φάτο, τῷ δ' Ἄρης δῶκε χρυσάμπυκας ἵππους.
Ἡ δ' ἐς δίφρον ἔβαινεν, ἀκηχεμένη φίλον ἦτορ.

ρα'. Τὸ, φίλε, ἐκτείνει καὶ ἐνταῦθα τὸ τῆς ἀρχούσης δίχρονον, ὡς καὶ ἐν τῇ γ' ῥαψῳδίᾳ. Φησὶ γάρ· Φίλε κασίγνητε, κόμισαί τέ με· δὸς δέ μοι ἵππους. [5] Διὸ καὶ ὁ Ἀσκαλωνίτης, φασὶ, περιέσπα τὸ φί. Καὶ ὅρα τὴν ἀδιαφορίαν καὶ νῦν τῶν διχρόνων. εἴγε καὶ τὸ φίλος ποτὲ μὲν ἐκτείνει, ποτὲ δὲ συστέλλει

1. Ἄμφω γὰρ δηλοῖ τὸ κεῖσθαι) Malim τὸ κλίνεσθαι. Sic enim poſtulare videtur ſententia. *Politus*.

2. σῖτον ἔδοντες, καὶ οἶνον) Od. lib. π'. Καὶ σῖτον δειπνησάμενοι, καὶ οἶνον ἔδοντες. Volt.

3. Τοιαύτη δέ τις φαίνεται καὶ, ὅτε πρὸς τὸν Δία ἐν τῇ τῶν θεῶν μάχῃ κλαυθμυρίζεται) Lib. φ' Il.
Ἡ δ' ἄρ' Ὄλυμπον ἵκανε, Διὸς ποτὶ χαλκοβατὲς δῶ,
Δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη.
De Dianâ. *Politus*.

4. γνὺξ ἐριπεῖν λέγονται) Etymologici Magni Auctor: γνὺξ, ἐπὶ γόνατα. παρὰ τὸ γόνυ, γόναξ καὶ, Γνὺξ δ' ἔριπ' αἱμάξας. ἀντὶ τοῦ ἐπὶ γόνυ ἔπεσεν. Volt.

5. Διὸ καὶ ὁ Ἀσκαλωνίτης, φασὶ, περιέσπα τὸ φί) Canon eſt grammaticus: In vocibus diſyllabis, quum prima longa, ſecunda brevis, circumflectitur prima. *Salvinus*.

λῃ τὴν ἄρχουσαν. Σημειοῦνται δὲ καὶ, ὅτι ἐν μὲν τῷ, Αἰδεῖσθαι θ' ἱερῆα· καὶ ἐν τῷ, [1] προσέφ' ἱερὴ ἴς Τηλεμάχοιο, συστέλλεται τὸ ι τοῦ ἱερός· ἐν δὲ τῷ, ἱερὸν ἰχθὺν, ἐκτείνεται. ὡς μὲν τινές φασι, καθὰ λέγει καὶ Τρύφων ἐν τοῖς περὶ ἀρχαίας ἀναγνώσεως, διὰ τὸ τὸν Ποιητὴν ἐκτείνειν πολλὰ, ἕνεκεν τοῦ μέτρου· ὡς δὲ οἱ ἀκριβέστεροι λέγουσι, διὰ τὸ φευκτέον εἶναι ἐν δακτυλικῷ μέτρῳ τὸ παράλληλον τῶν τριῶν βραχειῶν. Τούτῳ τῷ λόγῳ καὶ τοῦ ἀκάματος, καὶ ἀθάνατος, ὡς προερρέθη, ἐκτείνεται τὸ κατ' ἀρχὰς δίχρονον, καὶ τοῦ, Ἄορι θεινομένων. καὶ, [2] Ἶσος Ἐνυαλίῳ. καὶ, [3] Ἱέμενος καπνὸν ἀποθρώσκοντα νοῆσαι. καὶ, [4] ἀποπέσῃσιν, ἐν τῷ τῆς Ὀδυσσείας ω. καὶ ἄλλα πολλά. Ἰστέον δὲ, ὡς τῶν τινες παλαιῶν ἀπηλεγέως ἀποφηνάμενοι καθ' Ὁμήρου, ὡς οἷα διαγνόντες καὶ ἄλογον εἶναί ποτε παρ' αὐτῷ συστολήν τε, καὶ ἔκτασιν διὰ μέτρον, κατευθυνάγουσι τῇ τοιαύτῃ ἀποφάσει καὶ τὸ, Φίλε κασίγνητε, ἄλλως χρονισθὲν παρὰ τὸ,
Rom.p.557. Ἀνέρες ἐστὲ, φίλοι. ὥσπερ καὶ τὸ, ἀνὴρ, ἐν μὲν τῷ, Ἀνέρες ἐστὲ, μακρὰν ἔχει τὴν ἄρχουσαν· ἐν δὲ τῷ, ὃς δέ κ' ἀνὴρ μενεχάρμης, βραχεῖαν αὐτήν. Οὕτω δὲ καὶ ὁ δαὴρ διφορεῖται· οἷα ἐν μὲν τῷ, Δαὴρ αὖτ' ἐμὸς. καὶ, Αὐτοκασίγνητον, καὶ δαέρα, μηκύνων τὸ ἄρχον δίχρονον· συστέλλων δὲ ἐν τῷ, Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε. Καὶ τὸ ὕδωρ δὲ ὁμοίως παρὰ τῷ Ποιητῇ πάσχει διφόρησιν, καὶ ἡ λήγουσα τοῦ ἀντικρύ.

ρβ'. Τὸ δὲ κόμισαι, ἀντὶ τοῦ ἐπιμελήθητι, ἐκ τοῦ κομίζω, ἐξ οὗ καὶ κομιδὴ ἡ ἐπιμέλεια· ἧς ἡ δοτικὴ ποιεῖ ἐπιρρηματικῶς τὸ, κομιδῇ. ὅπερ ἐστὶ, λίαν, καὶ, ὡς εἰπεῖν, ἐν ἐπιμελείᾳ. Σεμνολογῶν τις ἀρχεῖον λαμπρὸν, εἴποι ἂν τὸ, Ὄφρ' ἐς Ὄλυμπον ἵκωμαι, ἵν' ἀθανάτων ἕδος ἐστίν. Ὑποκαταβὰς δὲ Ὅμηρος, πάλιν περὶ Ὀλύμπου φησὶν θεῶν ἕδος, αἰπὺν Ὄλυμπον. ὃ [5] περιφράζων Σοφοκλῆς, αἰπὺν οὐρανόν φησι. Γενναίαν πληγὴν ἐκ τινος ἀλαζόνος δηλοῖ τὸ, Λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνὴρ, ὃς δῆγε καὶ ἂν θεῷ πατρὶ μάχοιτο. Βαρυνομένη δὲ Ἀφροδίτη κατὰ Διομήδους, τοῦτό φη-
Baſ.p.423. σιν. Ἐν τούτοις δὲ κεῖται καὶ [6] ἀντὶ τοῦ ἀκα-

χη-

nunc corripit. Præterea verò obſervant, his quidem in locis, videlicet in τῷ, Αἰδεῖσθαι θ' ἱερῆα. *reverendumque eſſe ſacerdotem*. itemque in τῷ, προσέφ' ἱερὴ ἴς Τηλεμάχοιο. *allocuta eſt ſacra vis Telemachi*; corripi τὸ ι τοῦ ἱερὸς, *ſacrum*: produci verò eamdem litteram in τῷ, ἱερὸν ἰχθύν. *ſacrum piſcem*. ſive, ut quidam ajunt, ſicuti etiam ſcribit Tryphon in Antiquâ Lectione, eo quia Poëta pleraque ob metrum producit; ſive, ut cenſent accuratiores peritioreſque Grammatici, quia in dactylico metro cavendum eſt, ne tres ſimul breves collocentur. Qua certè ratione, ut ſupra dictum eſt, producitur etiam anceps illa in principio littera τοῦ ἀκάματος, *indefeſſus, infatigabilis*, & ἀθάνατος, *immortalis*: itemque τοῦ, ἄορι θεινομένων, *enſe percuſſorum*. & ἶσος Ἐνυαλίῳ, *par Enyalio*. &, Ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι. *Cupiens vel fumum exſilientem videre*. &, ἀποπέσῃσιν, *cadere fecit, ſeu dejecit*, in libro ω Odyſſeæ; & multarum aliarum vocum. Sciendum tamen eſt, veterum Grammaticorum nonnullos palam atque apertè ſententiam contra Homerum ferre, quippe qui cenſeant, præter rationem fieri, ut eadem aliquando apud eum littera propter metrum & corripiatur, & producatur. qui in hanc iſtam claſſem etiam referunt τὸ, Φίλε κασίγνητε, *chare frater*: quippe quum aliam id menſuram temporis habeat, atque τὸ, Ἀνέρες ἐστὲ, φίλοι. *Viri eſtote, amici*. Sicuti etiam τὸ ἀνὴρ, *vir*, hoc quidem loci: Ἀνέρες ἐστὲ, *viri eſtote*, longam habet primam: alibi verò, ubi dicit: Ὃς δέ κ' ἀνὴρ μενεχάρμης. *Quicumque autem vir fortis, & bellicus par laboribus ſuſtinendis*; eam corripit. Et ſic etiam dupliciter effertur ὁ δαὴρ, *levir*: quippe quum primam ancipitem producat in Δαὴρ αὖτ' ἐμός. *Levir item meus*. & in Αὐτοκασίγνητον, καὶ δαέρα. *Germanum fratrem, & leviram*. corripiat autem in Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε. *Hector, animo meo levirorum multò chariſſime*. Ac ſimiliter apud Poëtam bifariam variat τὸ ὕδωρ, *aqua*, ultimaque ſyllaba τοῦ ἀντικρύ, *in conſpectu, e regione, palam*.

CII. Τὸ κόμισαι pro ἐπιμελήθητι, *cura, curam habe, curam gere*, ex κομίζω, *curo, curam habeo, curam gero*: ex quo etiam κομιδὴ, ideſt, cura, curatio: cujus dativus in modum adverbii facit τὸ κομιδῇ. hoc eſt, valde, atque, ut ita dicam, cum curâ, ac diligentiâ. Siquis ſplendidam regiam verbis celebrat, atque extollit, uſurpaverit illud: Ὄφρ' ἐς Ὄλυμπον ἵκωμαι, ἵν' ἀθανάτων ἕδος ἐστίν. *Ut in Olympum veniam, ubi immortalium ſedes eſt*. Homerus autem infra de Olympo rurſus dicit θεῶν ἕδος, αἰπὺν Ὄλυμπον. *deorum ſedem, altum Olympum*. quod per paraphraſin explicat Sophocles, cum dicit αἰπὺν οὐρανὸν, *altum cœlum*. Vulnus validè illatum ab homine quopiam ſuperbo, atque arrogante declarant illa: Λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνὴρ, ὃς δῆγε καὶ ἂν θεῷ πατρὶ μάχοιτο. *Valde doleo ex vulnere, quo me mortalis homo vulneravit, qui quidem certè vel contra deum patrem pugnaret*. Quæ ſunt verba Veneris graviter commotæ, atque indignantis adverſus Diomedem. Atque hic pro ἀκαχημένη, *mærens, atque triſtis*,

litte-

1. προσέφ' ἱερὴ ἴς Τηλεμάχοιο) Ad rationem metricam ſcribendum, προτιέφ' ἱερή. Eſt autem προτιέειπε. Ceterum pro προσέφ', apud Homerum in Odyſſeâ vulgò legunt μετέφ'. ut lib. β. Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἴς Τηλεμάχοιο. itidemque alibi in Odyſſeâ. Politus.

2. ἶσος Ἐνυαλίῳ) infra, δαίμονι ἶσος. & alibi: ἶσος Ἄρηϊ. Polit.

3. Ἱέμενος καπνόν) Odyſſ. lib. α. Ἱέμενος καὶ καπνόν. Polit.

4. ἀποπέσῃσιν, ἐν τῷ τῆς Ὀδυσσείας ω) lib. ω Odyſſ. Τρίζουσαι (νυκτερίδες) ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν ὁρμαθοῦ ἐκ πέτρης. Politus.

5. περιφράζων Σοφοκλῆς) Malim παραφράζων. Politus.

6. ἀντὶ τοῦ ἀχνυμένη, ἀκαχημένη, μεταθετικῶς) Thema eſt ἀκάχημαι τὸ λυποῦμαι. Participium τὸ ἀκαχήμενος, & ἀκαχημένη. Eclogæ Hiſtorum Adonides: ἀκαχήμενος. ἰστέον, ὅτι τὸ ἀκαχήμενος οὐκ ἔστι παρακείμενος, ἐπεὶ ὤφειλε προπαροξύνεσθαι, ὡς οἱ πεποιημένος· ἀλλ' ἔστιν ἀκαχῶ, ἀκάχω. ὁ παθητικὸς ἐνεστὼς, ἀκάχομαι. οἱ δ' Αἰολεῖς τὴν παραλήγουσαν συστέλλουσι. καὶ ἡ μετοχὴ ὁ ἀκαχήμενος. Heſychius: ἀκαχήμενος, λυπούμενος. Suidas: ἀκαχημένη, λυπουμένη, καὶ ἀκαχήμενον, οὐδέτερον. Inde igitur ἀπὸ τοῦ ἀκαχημένη, μεταθετικῶς, διὰ χρείαν μέτρου, τὸ ἀκαχημένη. Quamquam hoc ipſum ἀκαχημένη olim videatur eſſe a Præterito Paſſivo ἀκάχημαι, per reduplicationem Atticam. Etymologici Magni Auctor: ἀχῶ τὸ λυποῦμαι, ἀχέσω, ἤχηκα. ὁ Ἀττικὸς, ἀκήχεκα. ὁ παθητικὸς, ἀκάχημαι, καὶ ἀκαχημένη. Politus.

Digitized by Google

litterarum commutatione per metatheſin, propter metri neceſſitatem, poſitum eſt ἀκηχεμένη. Dicit enim, ἀκηχεμένη φίλον ἦτορ. *mœrens animo ſuo.* Eſt autem a nobis per parœdiam expreſſum illud: θεῷ πατρί. Homerus namque dicit, Διὶ πατρί. *Jovi patri.* An autem illa verba: Λίην ἄχθομαι ἕλκος, &c. *Valde doleo ex vulnere, &c.* novæ alicui nuptæ ſint ex uſo, ut ea ingenioſè accommodet ad ſpiculum maritale, nihil eſt, quòd quis ambigat. Eſt enim id lippis, & tonſoribus notum.

χημένη, ἀκηχεμένη, μεταθετικῶς, διὰ χρείαν μέτρου. Φησὶ γὰρ, ἀκηχεμένη φίλον ἦτορ. Τὸ δὲ θεῷ πατρὶ, παρῴδηται ἡμῖν. Ὅμηρος γὰρ Διῒ πατρὶ ἔφη. Εἰ δὲ τὸ, Λίην ἄχθομαι ἕλκος, καὶ ἑξῆς, [1] εἰς γαμικόν τινι εὐφυῶς ἐχρησίμευσε κέντρωνα, οἶδεν ὁ περιτυχών.

Iris porro apud eam conſcendit, cepitque manu habenas,
Flagellavitque, currum ut agerent. Illi verò non inviti volabant;
Statimque ad deorum ſedem, excelſum Olympum pervenerunt.
Ibi equos ſtitit, ventorum inſtar, celeripes Iris,
Solutos ex curru, uſque immortale pabulum appoſuit.

Πὰρ δέ οἱ Ἶρις ἔβαινε, καὶ ἡνία [2] λάζετο χερσί·
Μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἀέκοντε πετέσθην·
Αἶψα δ' ἔπειθ' ἵκοντο θεῶν ἕδος, αἰπὺν Ὄλυμπον.
Ἔνθ' ἵππους ἔστησε ποδήνεμος ὠκέα Ἶρις,
Λύσασ' ἐξ ὀχέων· παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ.

CIII. Et ὁ παραιβάτης, *ſocius in curru, is, qui e curru pugnat*, dictus aliquando invenitur ἡνίοχος, *auriga*, ut cum Hectorem Poëta inferiùs vocat θρασὺν ἡνίοχον, *audacem aurigam*; & ipſe etiam ἡνίοχος, *auriga*, dictus alicubi invenitur παραιβάτης, *ſocius in curru, atque e curru pugnator.* Et nunc igitur id quodammodo innuit Poëta in his verbis: Πὰρ δέ οἱ Ἶρις ἔβαινε, καὶ ἡνία ἔλαβε χερσίν. *Et apud eam Iris adſcendit, & habenas cepit manibus.* Eadem namque, tum παραιβάτις, *ſocia in curru*, διὰ τὸ παραβαίνειν, *eo quia apud alteram conſcendit*, tum ἡνίοχος, *auriga*, διὰ τὸ ἡνία λαβεῖν, *eo quia habenas cepit, ac moderatur.* Denique hæ voces variare inter ſe ſignificationem, & una pro alterâ accipi conſpiciuntur. An verò & ea, quæ ſponſæ in nuptiali curru aſſidet, & ab ejus latere vehitur, rectè dicatur παραιβάτις, quæſitum alibi, atque explicatum comperietur. Ad magnam velocitatem, atque alacritatem equorum exprimendam percommodum illud: Μάστιξεν δ' ἐλάαν. *Percuſſit autem ſcuticâ, currum ut agerent.* equos nimirum. τὼ δ' οὐκ ἀέκοντε πετέσθην. *Nec illi inviti volabant.* Ac vide, quàm nullo inter ſe diſcrimine poſiti ſint hi caſus. Dicere enim quum poſſet numero duali illud ſupra: δῶκε χρυσάμπυκας ἵππους. *dedit auratis crinali redimitos equos.* ſimiliterque infra illud: Ἔνθ' ἵππους ἔστησε. *Ibi equos ſtitit*; tamen dixit multitudinis numero: perinde quaſi nihil omnino interſit, hoc, aut illo modo dicere. Sic etiam antea dixerat: Μή τοι μὲν δείσαντε ματήσετον, τεὸν φθόγγον ποθέοντες. *Ne forte illi territi, ſegniores tardioreſque ſint, vocem tuam deſiderantes.* &, Ὣς ἄρα φωνήσαντες, ἐμμεμαῶτ' ἐπὶ Τυδείδῃ ἔχον. *Sic igitur locuti, prompto paratoque animo, contra Tydidem direxerunt.* &, Ἄνδρε ὁρῶ κρατερὼ, ἶν' ἀπέλεθρον ἔχοντας. *Viros duos video fortes, immenſis viribus præditos.* Denique, ſine ullo prorſus diſcrimine, apud Poëtam tum dualia pluraliter, tum pluralia dualiter exprimuntur, eaque ipſa inter ſe complicantur, ac confunduntur, mixturâ quadam, quam veteres quidem latiùs obſervant.

CIV. Τοῦ μάστιξε, *flagellavit, verberavit, percuſſit*, hujus, inquam, verbi periphraſis alibi illa eſt: νώτῳ δ' ἐπέβαλλεν ἱμάσθλην. *dorſoque ſcuticam impegit.* Majorem tamen periphraſin habet illud Tragici: κέντρα πώλοις μετάφρενον ἰθύνει. *Calcaria equuleis dorſum dirigunt.* Sciendum autem eſt, equos, qui volare dicuntur, eoſdem etiam jure vocari poſſe ἀελλόποδας, *procellæ inſtar, pedibus veloces*, & πο-

ρϒ΄. Καὶ ὁ παραιβάτης, ἐνίοτε ἡνίοχος εὑρίσκεται λεγόμενος, ὡς ὅτε τὸν Ἕκτορα θρασὺν ἡνίοχον ὁ Ποιητὴς ἐρεῖ· εὕρηται δέ που καὶ ὁ ἡνίοχος παραιβάτης. Καὶ νῦν οὖν τοιοῦτόν τι ἐμφαίνει ὁ Ποιητὴς ἐν τῷ, Πὰρ δέ οἱ Ἶρις ἔβαινεν, καὶ ἡνία ἔλαβε χερσίν. Ἡ γὰρ αὐτὴ, καὶ παραιβάτις, διὰ τὸ παραβαίνειν, καὶ ἡνίοχος, διὰ τὸ ἡνία λαβεῖν. Καὶ ὅλως ἐπαλλάσσουσιν αἱ λέξεις αὗται ἀλλήλαις φαίνονται. Εἰ δὲ καὶ ἡ νυμφικὴ πάροχος εὖ λέγεται παραιβάτις, φαίνεται ῥηθὲν ἀλλαχοῦ. Πολλοῦ τάχους, καὶ προθυμίας ἵππων δηλωτικὸν τὸ, [3] Μάστιξε δ' ἐλάαν. ἵππους δηλαδή. τὼ δ' οὐκ ἀέκοντε πετέσθην. Καὶ ὅρα τὴν ἀδιαφορίαν τῶν πτώσεων. Δυνάμενος γὰρ εἰπεῖν δυϊκῶς καὶ ἀνωτέρω τὸ, δῶκε χρυσάμπυκας ἵππους· ὁμοίως καὶ κατωτέρω τὸ, Ἔνθ' ἵππους ἔστησεν· ὁ δὲ, πληθυντικῶς εἶπεν, [4] ὡς ἀδιάφορον ὂν, οὕτως, ἢ ἐκείνως εἰπεῖν. Οὕτω καὶ πρὸ τούτου ἔφη· Μή τοι μὲν δείσαντε ματήσετον, τεὸν φθόγγον ποθέοντες. καὶ, Ὣς ἄρα φωνήσαντες, ἐμμεμαῶτ' ἐπὶ Τυδείδῃ ἔχον. καὶ, Ἄνδρε ὁρόω κρατερὼ, ἶν' ἀπέλεθρον ἔχοντας. Καὶ ὅλως παρὰ τῷ Ποιητῇ ἀδιαφόρως τὰ δυϊκά τε πληθυντικῶς ἐκφωνοῦνται, καὶ τὰ πληθυντικὰ δυϊκῶς, καὶ ἀλλήλοις συμπλέκονται, κατά τινα σύγχυσιν, ἣν παρασημειοῦνται εἰς πλάτος οἱ παλαιοί.

ρδ΄. Τοῦ δὲ μάστιξε, περίφρασις ἀλλαχοῦ τὸ, νώτῳ δ' ἐπέβαλλεν ἱμάσθλην. τὸ δὲ Τραγικὸν περιφραστικώτερον ἐν τῷ, κέντρα πώλοις μετάφρενον ἰθύνει. Ἰστέον δὲ, ὡς οἱ πέτεσθαι λεγόμενοι ἵπποι, καὶ ἀελλόποδες ἂν εἰκο-

1. ὡς γαμικόν τινι εὐφυῶς ἐχρησίμευσε κέντρωνα) Sic Diogenes Cynicus apud Laertium ad obſcenum ſenſum detorſit, ſeu παρῴδησεν illud Homeri: μεμαρπὼς ἐν δορὶ πῆξεν. Salvinus.

2. λάζετο χερσί) Videtur Euſtathius pro λάζετο, legiſſe ἔλαβε. Citat enim ex Homero hæc verba: καὶ ἡνία ἔλαβε χερσίν. niſi ſiquis velit, ita eum Homeri verba citaſſe παραφραστικῶς. Politus.

3. Μάστιξε δ' ἐλάαν) Hunc etiam Homeri Μάστιξεν δ' ἐλάαν, ad ſuum propoſitum comedendi olivas traduxit Diogenes. Salvinus.

4. ὡς ἀδιάφορον ὂν, οὕτως, ἢ ἐκείνως εἰπεῖν) Licet elegans propterea linguæ Græcæ ſit, dualem numerum habere; ſpecies tamen ille pluralis numeri eſt. Salvinus.

εἰκότως ῥηθῆναι, καὶ πεδίλωμα, [1] καὶ ὁπλαῖς ἀρπυίαις ἴσα, κατὰ Λυκόφρονα. Τὸ δὲ ἱπτάτον πέτεσθαι, οὐ μόνον ἐτυμολογίαν παραλαλεῖ (ἐκ τοῦ ἵπτασθαι γὰρ ποσὶν ὁ ἵππος συντέθειται) ἀλλὰ καὶ ἀφορμὴ τῷ μύθῳ γέγονε τῆς τοῦ δῆθεν πτερωτοῦ Πηγάσου πλάσεως, διὰ τὸ, ὡς εἰκὸς, ἀπαράμιλλον τάχος ἐκείνου. Ἱστέον δὲ, ὅτι τὸ, οὐκ ἄκοντε, ἀρετὴν ἵππων δηλοῖ. Εἰ γὰρ, κατὰ τὸν Λυρικὸν, ἀγαθὸς ἵππος [2] ὁ δέμας ἀκέντητον παρέχων, ἄρα ὁ μαστιζόμενος, καὶ οὕτω θέων, οὐκ εὖ ἔχει· καὶ ὅμως ὁ τοιοῦτος, εἴπερ οὐκ ἀέκων θέει, ἀγαθός ἐστιν. Τοῖς ἵπποις τοῦ Ἄρεος ἀμβρόσιον εἶδαρ ὁ μῦθος, ὡς θείοις τισὶ, παραβάλλει. Καὶ ὅρα τὸ παραβάλλει, ἀντὶ τοῦ παρατίθησιν· ἐξ οὗ καλῶς παρὰ τοῖς πολλοῖς λέγεται τὸ παράβλημα. Εἰ δὲ οὐκ αὐτόχρημα ἀμβροσίαν ἁπλῶς δηλοῖ τὸ ἀμβρόσιον εἶ-
Rom.p.558. δαρ ([3] οὔτε γὰρ ὁ ἀμβρόσιος χιτὼν ἐᾷ νοεῖν οὕτω, καὶ οὐδὲ ἵπποις πρέπον ἡ ἀμβροσία) ὅμως, ἐπεὶ ἐν τοῖς ἑξῆς, τοῖς ἵπποις Ἥρας ὁ Σιμόεις ἀμβροσίαν ἀνέτειλε νέμεσθαι, νοητέον ἀμβροσίαν καὶ ἐνταῦθα τὸ ἀμβρόσιον εἶδαρ, περιφραστικῶς. Ὅτι δὲ καὶ ἄνθος παραμέμικται τῇ τῆς ἀμβροσίας σκευῇ, ἐν ταῖς εἰς τὴν Ὀδύσσειαν δεδήλωται.

Ἡ δ' ἐν γούνασι πῖπτε Διώνης δῖ' Ἀφροδίτη
Μητρὸς ἑῆς· ἡ δ' ἀγκὰς ἐλάζετο θυγατέρα ἥν,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, Οὐρανιώνων
Μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;
Τὴν δ' ἠμείβετ' ἔπειτα φιλομμειδὴς Ἀφροδίτη·
Οὖτά με Τυδέος υἱὸς ὑπέρθυμος Διομήδης,
Οὕνεκ' ἐγὼ φίλον υἱὸν ὑπεξέφερον πολέμοιο
Αἰνείαν, ὃς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστι.

ρε΄. Ὡς πατρωνυμικὸν ἡ Διώνη ἡ τῆς Ἀφροδίτης μήτηρ. Ὡς γὰρ Ἀκρίσιος Ἀκρισιώνη, οὕτω πως Διὸς Διώνη. Εἰ δὲ Διώνης ἡ Ἀφροδίτη, οὐκ οἶδεν ἄρα Ὅμηρος τὴν καθ' Ἡσίοδον ἐκ μηδέων γέννησιν αὐτῆς, [4] καθ' ἣν ἐκεῖνος φιλομμηδῆ οἶδεν αὐτήν. Τὸ ἀγκὰς ἐλάζετο, ἤτοι ἔλαβε, θυγατέρα ἥν· εἰ μὲν ἐπίρρημά ἐστι, συστέλλει τὸ α, ὡς τὸ ἑκὰς, ἀνδρακάς· εἰ δέ ἐστιν αἰτιατικὴ πληθυντικὴ, ἧς εὐθεῖα αἱ ἀγκαὶ, [5] καὶ δηλοῖ τὰς ἀγκάλας, Δωρικῶς συστέλλει τὸ α. ὡς καὶ πρὸ τούτου τινὲς ἐνόουν τὸ, ὑποσχὼν θήλεας ἵππους, γράφοντες, ὑποσχὼν [6] θηλέας ἵππους, ἀντὶ τοῦ θηλείας, παροξυτόνως, καὶ οὐ προπαροξυτόνως θή-

δίμους, *ventorum inſtar, celeripedes*, atque, ut eſt apud Lycophronem, ὁπλαῖς ἀρπυίαις ἴσας, *ungularum velocitate pares harpyis, ſeu harpyiarum inſtar acupedias*. Verùm quidquid hoc eſt volatûs, quod equis attributum eſt, non etymologiam modò, & veriloquium repræſentat, ſiquidem ὁ ἵππος, *equus*, dictus eſt, nomine compoſito ἐκ τοῦ ἵπτασθαι ποσὶν, *ex eo, quòd volet pedibus*; verùm etiam occaſionem dedit fabulæ, fingendi videlicet Pegaſi alati, propter incomparabilem illius, ut videtur, velocitatem. Rurſus ſciendum, claré inde ſignificari præſtantiam, & bonitatem equorum, quòd iidem dicuntur οὐκ ἄκοντε, *non inviti*. Si enim, ſecundùm Lyricum Poëtam, bonus eſt equus, qui ſine calcaribus, ac ſtimulo corpus curſui exhibet; is igitur, qui ſcuticâ cæditur, & ſic currit, non eſt bonus: & tamen hic iſte, ſiquidem non invitus currit, certè eſt bonus. Equis Martis, tamquam divinis, fabula ἀμβρόσιον εἶδαρ παραβάλλει, *divinum, atque immortale pabulum objicit*. Ac vide τὸ παραβάλλει, *abjicit, ſive exhibet*, pro παρατίθησι, *apponit*. ex quo pulchrè apud vulgus dicitur τὸ παράβλημα, *animantium pabulum, id quod animantibus ad edendum abjicitur*. Sin autem τὸ ἀμβρόσιον εἶδαρ, *ambroſium pabulum, atque immortale*, ſic generatim non reverâ ambroſiam ſignificat (neque enim ὁ ἀμβρόσιος χιτὼν, *ambroſia, ſeu divina tunica*, ita nos intelligere permittit, neque verò equis convenit ambroſia) quia tamen poſtea Junonis equis Simoëis germinare facit ambroſiam, qua paſcantur; hoc etiam loci τὸ ἀμβρόσιον εἶδαρ, *ambroſium pabulum*, intelligenda eſt per periphraſin ambroſia. Ambroſiæ autem conficiendæ genus quoddam floris admixtum fuiſſe, oſtenſum eſt Commentariis in Odyſſeam.

Ad genua porrò Diones accidit diva Venus
Matris ſuæ. Hæc in ulnas excepit filiam ſuam,
Manuque eam demulſit, verbaque fecit, nomque compellavit:
Quiſnam tibi hæc fecit, filia mi, Cælicolarum
Temerè, quaſi quid ſcelus palam perpetraſſes?
Ei verò deinde reſpondit amans riſûs Venus:
Vulneravit me Tydei filius, ſuperbus Diomedes,
Eo quòd ego charum filium e prælio ſubducebam
Æneam, qui mihi multò omnium eſt chariſſimus.

CV. Nomen veluti patronymicum, ἡ Διώνη, *Dione*, mater Veneris. Sicuti enim ex Ἀκρίσιος, *Acriſius*, fit Ἀκρισιώνη, *Acriſione, Acriſii filia*; ita quodammodo ex Διὸς, *Jovis*, Διώνη, *Dione*. Sin autem Diones filia, Venus; non igitur novit Homerus id, quod narrat Heſiodus, procreatam eam fuiſſe ἐκ μηδέων, *ex genitalibus*. qua ille ratione dictam ipſam putat φιλομμηδῆ, *genitalium amantem*. Τὸ ἀγκὰς ἐλάζετο, videlicet ἔλαβε, θυγατέρα ἥν. *Ulnis prehendit, ſive excepit filiam ſuam*: ſiquidem eſt adverbium, corripit τὸ α, ut τὸ ἑκὰς, *procul*, & ἀνδρακάς, *viritim*. Sin autem accuſativus eſt pluralis, cujus rectus αἱ ἀγκαὶ, & ſignificat τὰς ἀγκάλας, *ulnas*; Doricè corripit τὸ α. Sicuti etiam ſupra accipiebant nonnulli τὸ, ὑποσχὼν θήλεας ἵππους. *ſubmittens feminas equas*: quum ipſi ſcriberent ὑποσχὼν θηλέας ἵππους, *ſubmittens equas ſecus femineum*, paroxytonè pro θηλείας, & non θήλεας, proparoxytonè. Cujuſmodi

1. καὶ ὁπλαῖς ἀρπυίαις ἴσαι, κατὰ Λυκόφρονα) Lycophro:
Καὶ τὰς ἀελλαῖς Ἀρπυιῶν Ἁρπυίαις ἴσαν.
Scholiaſtes: ἀελλαῖς, ταῖς ὄνυξιν. κυρίως δὲ ὁπλὴ τὸ ἀπὸ μέρους χρῆμα, περὶ γὰρ ὁμοιότητα ἴσαν Ἁρπυίαις, ὁπλαῖς ἴσων. Potterus.
2. ὁ δέμας ἀκέντητον παρέχων) ἀκέντητον ἐν δρόμοισι δέμας παρέχων. Pind. Olymp. Ode prima, de Pherenico Hieronis Regis equo. Salvin.
3. οὔτε γὰρ ὁ ἀμβρόσιος χιτὼν ἐᾷ νοεῖν οὕτω) Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος. Iliad. α΄. & alibi: Ἀμβροσίαν ἀντίχειρε χάριν κεφαλῷ τε, καὶ ὤμοις. Salvinus.

4. καθ' ἣν ἐκεῖνος φιλομμηδῆ οἶδεν αὐτήν) Heſiodus:
Ἠδὲ φιλομμειδέα, ὅτι μηδέων ἐξεφαάνθη.
Φιλομμηδέα plerique legunt, geminato τῷ μ, ſcilicet propter metrum. Quibuſdam etiam, ſi duo placet, recentioribus magis placet, φιλομμειδέα. Politus.
5. καὶ δηλοῖ τὰς ἀγκάλας) Heſychius: ἀγκάς, ἀγκάλας, ἢ ἀγκάλαις. Etymologus: ἀγκάς, τὰς ἀγκάλας. Polit.
6. θηλέας ἵππους, ἀντὶ τοῦ θηλείας) Scribe, θηλείας ἵππους, ἀντὶ τοῦ θηλείας. Polit.

di Doricos accuſativos pleroſque apud Heſiodum extare autumant, tametſi minimè omnium apud Homerum. Etſi verò Recti nominum plurativorum deſinentes in αι, apud Dorienſes, ut in Theocrito manifeſtè apparet, corripiunt τὸ ᾱ accuſativorum; tamen ſciendum, eamdem in accuſativis litteram produci a rectis pluralibus deſinentibus in ες contra atque fit in dialecto communi. Illud porrò, ἀγκὰς ἐλάζετο, *in ulnas cepit, ulnis excepit*, ſono eſt minus aſpero, quàm id, quod infra alicubi poſitum eſt, ἀγκὰς ἔμαρπτε, *in ulnas prehendit, ſeu ulnis complexus eſt*. Καταῤῥέζειν, *demulcere*, etiam nunc idem eſt, atque manu defricare, ac palpare in modum blandientis. Sic igitur Poëta: Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε· Τίς νύ σε τοιάδ' ἔρεξε; *Manuque ipſum demulſit, verbaque fecit, eamque nominatim compellavit: Quis tibi talia hæc fecit?* Ac vide frequentia illa, & ſpiſſa comparia, τὸ κατέρεξε, *defricavit*, τὸ ἔκ τ' ὀνόμαζε, *nominatimque compellavit*, τὸ ἔρεξε, *fecit*. quibus exornatur oratio. Itemque vide, ut ex uno verbo diverſæ ſunt illæ ſententiæ, videlicet, χειρὶ κατέρεξε. *Manu demulſit*. &, τοιάδ' ἔρεξε. *talia hæc fecit*. De hoc autem loquendi genere: κατέρεξε, ϗ ἐξονόμαζε, *manuque demulſit, & nomine compellavit*, dictum eſt in libro α. In his verbis: ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ. *quaſi quid flagitii palam perpetraſſes*: ἐνωπὴν dicit conſpectum, publicumque ſpectaculum, quod ſcilicet fit in propatulo. Unde etiam ἐνώπιος, *in conſpectu, ſive ex adverſo poſitus*. Hæc ipſa autem ἐνωπὴ, *conſpectus*, perinde dicitur, & per eamdem analogiam, atque ἡ περιωπὴ, *circumſpectus*. At verò τὸ ῥέζειν, *facere*, propria vox eſt, tamquam in carmine. Ideoque in eâ hîc per epimonen permanet Poëta. Deinde hæc ἐνωπὴ, *ſpectatio, ſeu conſpectus*, analogiam habet cum τῇ μαχίμῃ ἐνοπῇ, *clamore militari, qui inter pugnandum a militibus editur*. Quemadmodum enim ducta hæc vox eſt ἐκ τῆς ὀπὸς, *a voce*; ita illa ἐκ τοῦ ὠπὸς, *ab oculo*. Ad amorem ſtudiumque ſummum benevolentiæ erga unum aliquem explicandum facit illud: ὅς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστι. *qui mihi omnium multò chariſſimus eſt*. Unde exemplum Sophocles accepit, ut Ἀχιλλέως τὰ φίλτατα, *rem Achilli omnium chariſſimam, delicias, & amores Achillis*, Patroclum diceret. quod quidem poſteriores Homero ſcriptores uſurpant de iis, qui proximo ſanguinis gradu ſe prorſus contingunt. Chariſſima enim unicuique, parentes, uxor, ac liberi. Vide verò hoc loci, quàm appoſitus ſit, & opportunus gradus ſuperlationis. Quum enim Venus Æneam φίλον υἱὸν, *charum filium*, dixiſſet; gradu deinde ſuperlativo ſubjicit τὸ, πολὺ φίλτατος, *multò chariſſimus*.

θήλεας. Τὰς δὲ τοιαύτας Δωρικὰς αἰτιατικὰς, παρὰ Ἡσιόδῳ πολλὰς εἶναί φασιν· εἰ ϗ μὴ παρ' Ὁμήρῳ. Ἰστέον δὲ ϗ, ὅτι, ὡς ϗ ἐν τοῖς Θεοκρίτου φαίνεται, αἱ μὲν εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, συστέλλουσι τὸ α τῶν αἰτιατικῶν, παρὰ τοῖς Δωριεῦσιν· αἱ δὲ εἰς ες, ἐκτείνουσιν, ἀπεναντίας τῇ κοινῇ διαλέκτῳ. *Baſ. p. 424.* Τοῦ δὲ, ἀγκὰς ἐλάζετο, τραχυφωνότερον τὸ, ἀγκὰς ἔμαρπτε, κείμενόν που ἐν τοῖς ἑξῆς. Καταῤῥέζειν ϗ νῦν τὸ τῇ χειρὶ καταψᾶν κολακευτικῶς. Φησὶν οὖν ὁ Ποιητής· Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε· Τίς νύ σε τοιάδ' ἔρεξε; Καὶ ὅρα τὰ συχνὰ πάρισα, τὸ, κατέρεξε, ϗ τὸ, ἔκ τ' ὀνόμαζε, ϗ τὸ, ἔρεξε, δι' ὧν ὁ λόγος καλλωπίζεται. ϗ ὅτι ἐξ ἑνὸς ῥήματος διάφοροι ἔννοιαι τὸ, χειρὶ κατέρεξε. ϗ, τοιάδ' ἔρεξε. Περὶ δὲ τοῦ, κατέρεξε, ϗ ἐξονόμαζεν, ἐν τῇ α ῥαψῳδίᾳ εἴρηται. Ἐν δὲ τῷ, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ, [1] ἐνωπὴν λέγει τὴν ὄψιν, ϗ τὴν ἐν φανερῷ θέαν. [2] ὅθεν ϗ τὸ ἐνώπιος. ἀνάλογος δὲ ἡ ἐνωπὴ αὕτη τῇ περιωπῇ. Τὸ δὲ ῥέζειν, κυρία λέξις, ὡς ἐν ποιήσει. Διὸ ἐπέμεινεν αὐτῇ ἐνταῦθα ὁ Ποιητής. Ἡ δὲ ἀναλογία τῆς ἐνωπῆς ταύτης, κατὰ τὴν μάχιμον ἐνοπήν. [3] Ὡς γὰρ τοῦτο ἐκ τῆς ὀπὸς, ἐκεῖνο ἐκ τοῦ ὠπός. Ἄκρας φιλίας δηλωτικὸν τὸ, ὅς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστιν. [4] ἐνταῦθα λαβὼν Σοφοκλῆς, [5] Ἀχιλλέως τὰ φίλτατα ἔφη τὸν Πάτροκλον, ὅπερ οἱ μεθ' Ὅμηρον ἐπὶ τῶν πάνυ ἐγγυτάτω φασὶ συγγενῶν. Φίλτατα γὰρ ἑκάστῳ, γονεῖς, ϗ γυνὴ, ϗ παῖδες. Ὅρα δ' ἐν τούτοις καιρίαν ὑπέρθεσιν. Φίλον γὰρ υἱὸν ἡ Ἀφροδίτη τὸν Αἰνείαν φαμένη, ἐπέγαγεν ὑπερθετικῶς τὸ, πολὺ φίλτατος.

Non enim ampliùs Trojanorum, & Achivorum pugna gravis erit,
Sed jam certè Danai vel cum immortalibus pugnant.

Οὐ γὰρ ἔτι Τρώων, ϗ Ἀχαιῶν φύλοπις αἰνὴ,
Ἀλλ' ἤδη Δαναοί γε ϗ ἀθανάτοισι μάχονται.

CVI. Magnæ audaciæ, & temeritatis notam præ ſe ferunt illa verba: *Non enim ampliùs Trojanorum, & Achivorum eſt gravis pugna; ſed jam certè Danai vel cum immortalibus pugnant*. Et obſerva, quàm decorè, atque honeſtè Venus in deorum adverſarios Græcos ipſos referat: ſiquidem vel cum immortalibus pugnaverint. ut olim nimirum Titanes, & gigantes. Vide etiam, quantùm ipſa creſcat oratio. Paullò enim ante dixerat,

ρϛʹ. Πολλῆς τόλμης, ϗ θρασύτητος ἐνδεικτικὸν τὸ, Οὐ γὰρ ἔτι Τρώων, ϗ Ἀχαιῶν φύλοπις αἰνὴ, ἀλλ' ἤδη Δαναοί γε ϗ ἀθανάτοισι μάχονται. Καὶ σημείωσαι, ὅτι εὐσχημόνως εἰς ἀντιθέους ἡ Ἀφροδίτη ἄγει τοὺς Ἕλληνας· εἴγε ϗ ἀθανάτοισι μαχέσονται. [6] ὥσπερ ποτὲ δηλαδὴ Τιτᾶνες, ϗ γίγαντες. Ὅρα δὲ ϗ τὴν αὔξησιν τοῦ λόγου. Πρὸ ὀλίγου μὲν

1. ἐνωπὴν λέγει τὴν ὄψιν) Heſychius: ἐνωπῇ, ἐν ὄψει, φανερῶς, ἐν μέσῳ. Etymologici Magni Auctor: ἐνωπῇ, ἀντὶ τοῦ ἐν ὄψει, φανερῶς, παρὰ τὴν ὦπα. Politus.

2. ὅθεν ϗ τὸ ἐνώπιος) apud Interpretes ſeptuaginta Exodi c. 25. ἐπιθήσεις ἐπὶ τὴν τράπεζαν ἄρτους ἐνωπίους. & c. 33. ϗ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν ἐνώπιος ἐνωπίῳ. Politus.

3. Ὡς γὰρ τοῦτο ἐκ τῆς ὀπὸς, ἐκεῖνο ἐκ τοῦ ὠπὸς) ita μερόπων ἀνθρώπων apud Homerum vertitur. *variè loquentium hominum*; &, *variam faciem habentium*. Salvinus.

4. ἐνταῦθα) f. ἐντεῦθεν. Polit.

5. Ἀχιλλέως τὰ φίλτατα) Cariſſima Achillis, ideſt, delicias, atque amores. Τὰ παιδικά. Salvinus.

6. ὥσπερ ποτὲ δηλαδὴ Τιτᾶνες, ϗ γίγαντες) Gigantes ideo dicti θεομάχοι. Salvin.

μὲν γὰρ ἔφη, ὅτι ὁ Διομήδης καὶ ἂν Διῒ πατρὶ μάχοιτο. ἐνταῦθα δὲ, κατὰ μεταποίησιν ῥητορικὴν, [1] ἢ παράφρασιν, ἐπιτείνουσα τὸν αὐτὸν λόγον, φησὶν, ὅτι οὐκέτι Τρώων, καὶ Ἑλ-
Rom. p. 559. λήνων μάχη, ἀλλ᾽ ἤδη Ἀχαιοὶ καὶ θεοῖς μάχονται, ὡς οἷον ἀντίθεοι. Καὶ τοίνυν ἦσαν ἀντίθεοι· οὐχ οἵους μέντοι βούλεται ἡ Ἀφροδίτη λέγειν αὐτοὺς, ἀλλὰ ἰσόθεοι, καὶ, κατὰ τὸν Διομήδην, ἀγχίθεοι. Καὶ ἡ μὲν Ἀφροδίτη κατὰ τῶν Ἀχαιῶν οὕτω λέγει, διὰ τὸ πάθος αὔξουσα τὸ κακόν. ἡ μέντοι μήτηρ Διώνη σεμνότερον λαλοῦσα, οὐκ ἐκ βροτοῦ ἀνδρός φησιν αὐτὴν τὸ ἕλκος παθεῖν, ἀλλά τινος τῶν οὐρανίων. Λέγει δὲ καὶ παρεκτείνουσα, ὡς οἱ θεοὶ ἐπ᾽ ἀλλήλοις ἄλγεα τιθέντες, ἐξ ἀνδρῶν χαλεπὰ ἄλγεα πάσχουσι. Τοῦτο δὲ καὶ παραμυθία ἐστὶ τὸ μὴ ἐξ ἐλαττόνων, ἀλλὰ κρειττόνων, ἢ ἴσων, πάσχειν τὰ κακά.

rat, Diomedem vel cum Jove patre pugnaturum fuiſſe. Hic verò, mutatâ oratoriè elocutione, aut per paraphraſin, eamdem orationem amplificat, quatenus ait, non Trojanorum ampliùs, Græcorumque eſſe pugnam; ſed jam nunc Achivos vel cum diis pugnare, quaſi videlicet *ἀντιθέους*, *adverſarios deorum*. Et profectò erant *ἀντίθεοι deorum æmuli*: non quales tamen vult eos Venus dicere; ſed *ἰσόθεοι*, *pares diis*, *diiſque æquiparandi*, &, Diomedis inſtar, *ἀγχίθεοι*, *diis propinqui*, *ſive ad conditionem deorum proximè accedentes*. Atque hæc quidem verba ſunt Veneris in Græcos, dum præ indignatione, ac dolore animi malum exaggerat. Verumtamen mater ejus Dione oratione utitur graviori, magiſque ad majeſtatem compoſitâ: quippe quæ non ab homine mortali; ſed ab uno aliquo Cœlicolarum eam vulnus accepiſſe fateatur. Quin & ipſo orationis progreſſu commemorat, ut dii ſibi invicem dolores inferunt, itaque per homines gravibus magniſque doloribus afficiuntur. Id porro eſt ſolatio, ſiquis ſcilicet non ab inferioribus, aut minoribus, ſed a potentioribus, aut ab æqualibus, mala, & dolores perpetitur.

Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα Διώνη δῖα θεάων·
Τέτλαθι, τέκνον ἐμὸν, καὶ ἀνάσχεο, κηδομένη περ.
Πολλοὶ γὰρ δὴ τλῆμεν Ὀλύμπια δώματ᾽ ἔχοντες
Ἐξ ἀνδρῶν, χαλέπ᾽ ἄλγε᾽ ἐπ᾽ ἀλλήλοισι τιθέντες.
Τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος, κρατερός τ᾽ Ἐφιάλτης,
Παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ.
Χαλκέῳ δ᾽ ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας·
Καί νύ κεν ἔνθ᾽ ἀπόλοιτο Ἄρης ἆτος πολέμοιο,
Εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια,
Ἑρμέᾳ ἐξήγγειλεν. ὁ δ᾽ ἐξέκλεψεν Ἄρηα
Ἤδη τειρόμενον. χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα.
Τλῆ δ᾽ Ἥρη, ὅτε μιν κρατερὸς παῖς Ἀμφιτρύωνος
Δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι
Βεβλήκει. τότε καί μιν ἀνήκεστον λάβεν ἄλγος.
Τλῆ δ᾽ Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστὸν,
Εὖτέ μιν ωὐτὸς ἀνὴρ υἱὸς Διὸς Αἰγιόχοιο,
Ἐν πύλῳ ἐν νεκύεσσι βαλὼν, ὀδύνῃσιν ἔδωκεν.
Αὐτὰρ ὁ βῆ πρὸς δῶμα Διὸς, καὶ μακρὸν Ὄλυμπον.
Κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος. Αὐτὰρ ὀϊστὸς
Ὤμῳ ἐνὶ στιβαρῷ ἠλήλατο, κῆδε δὲ θυμόν.

Huic autem deinde reſpondit Dione, diva dearum:
Perfer, filia mea, & tolera, quamvis læſa.
Multi enim jam pertulimus Cœlicolæ
Ab hominibus, quum graves nobis invicem dolores intulerimus.
Pertulit quidem Mars, quando eum Otus, fortiſque Ephialtes,
Aloei filii, duris vinculis ligaverunt.
Æreo in carcere vinctus fuerat menſes tredecim;
Et ibi facile Mars bello inſatiabilis periiſſet,
Niſi noverca perpulchra Eeribœa
Mercurio indicaſſet, qui Martem furto ſubduxit
Jam pene confectum. dura enim eum vincula preſſerant.
Pertulit etiam Juno, quando eam fortis Amphitryonis filius
Ad dextram mammam ſagittâ tricuſpide
Vulneraverat. tunc eam ſanè immedicabilis dolor cepit.
Pertulit & ingens inter hos Pluto veloces ſagittam.
Quando eum vir idem, Jovis Ægiochi filius,
Ad portam apud inferos vulneratum doloribus affecit.
Ille porro ivit ad Jovis domum, magnumque Olympum,
Corde dolens, doloribus confixus. Quippe ſagitta
In humerum robuſtum adacta erat, animumque cruciabat.

ρζ΄. Κατὰ μὲν τὸν μῦθον, ἡ Διώνη παράγουσα θεῖα πρόσωπα δυστυχήσαντα, πα-
Baſ. p. 425. ραμυθεῖται ἀπὸ τῶν ὁμοίων, ἢ καὶ μειζόνων, τὴν τῆς θυγατρὸς Ἀφροδίτης πληγὴν, ὅτε λέγει, ὡς ἔτλη ὁ Ἄρης, καὶ ἡ Ἥρα, καὶ ὁ Ἅδης. Καὶ ἔστιν ἐκ τοῦ μείζονος ἡ ἀφορμὴ τῆς τοιαύτης ἐπιχειρήσεως, κατὰ τοὺς ῥήτορας. Καὶ οὕτω μὲν μυθικώτερον· τῇ δὲ ἀληθείᾳ, ὁ Ὅμηρος τεχνικῶς ἑαυτῷ βοηθεῖ. Ὡς γάρ τινος τυχὸν ὑποκρούσαντος, πῶς δήποτε τολμᾷ θεοὺς, τὸν Ἄρην, καὶ τὴν Ἀφροδίτην, τιτρωσκομένους ὑπὸ Διομήδους πλάττειν, παράγει μύθους ἀρχαίους ὁμοίους· ἐν οἷς ἡ Ἥρα, θήλεια καὶ αὐτὴ θεὰ, συμμαχοῦσα ποτὲ τῷ Νηλεῖ κατὰ τὴν Πύλον, δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ βάλλεται, μείζων τῆς Ἀφροδίτης οὖσα. Καὶ πάλιν θεὸς ἄῤῥην ὁ Ἅδης, τὸν στιβαρὸν ὦμον βέβληται. Καὶ αὐτὸς δὲ ὁ νῦν τιτρωσκόμενος Ἄρης ἔπαθέ τι ποτὲ, κατὰ τὸν παλαιὸν λόγον, καὶ αὐτὸς, εἰ καὶ μὴ πληγεὶς, ἀλλὰ δεθεὶς [2] δεσμῷ κρατερῷ, ταυτὸν δ᾽ εἰπεῖν, χαλε-

CVII. Quod ad fabulam quidem attinet, adducit Dione infelices caſus deorum, ut a ſimilibus, vel etiam majoribus exemplis, filiæ Veneris vulnus deliniat, ejuſque dolorem conſoletur: quando ipſamet narrat, quid malorum, atque ærumnarum Mars, Juno, & Pluto ſuſtinuerint. Cujus vis argumentationis ducta eſt a majori, ut Rhetores docent. Atque ita quidem fabulosè. Sed reverâ Homerus, ipſe ſibi ab arte remedium, & auxilium comparat. Nam perinde quaſi unus aliquis forte interpellando percontetur, quo pacto deos, Martem ſcilicet, ac Venerem, fingere umquam audeat vulneratos a Diomede, ſimiles antiquas fabulas in medium profert: in quibus fertur Juno, femina & ipſa dea, quum olim Neleo ad Pylum pugnanti auxiliaretur, vulnus ad dextram papillam, conjectâ in eam ſagittâ, accepiſſe. At enim illa major eſt Venere. Rurſus ex diis maſculis dicitur Pluto forti in humero vulneratus. Quin & Mars ipſe, cui nunc vulnus infligitur, ipſe quoque, ex priſcarum fabularum fide, malè quondam eſt habitus: quum, etſi nullum vulnus acceperit, tamen conſtrictus ligatuſque fuerit *δεσμῷ κρατερῷ*, *vinculo forti*. quod perinde eſt, ac ſi diceres, χα-

1. περίφρασιν) l. παράφρασιν. Polit.

2. δεσμῷ κρατερῷ, ταυτὸν δ᾽ εἰπεῖν, χαλεπῷ) Hom. Iliad. ε Ἀλλὰ κακῷ ὀϊζύϊ. κρατερὸν δ᾽ ἐπὶ μῦθον ἔτελλε. Salvin.

κεῷ, *gravi, ac duro*, ut paullò poſt clarè explicat Poëta in illis verbis: χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα. *grave autem vinculum eum preſſerat*. ita ut propterea nihil omnino e ſimilitudine veri alienum fingere videatur Poëta, ſi hæc talia de diis vulgata antea in fabulis fuerunt. Quod autem narrant de Libero patre, eum ab Edono Lycurgo injuriosè tractatum fuiſſe, pulchrum id quidem eſt, & percommodum, quod in exemplum proponatur: neque tamen prorſus horum exemplorum eſt ſimile. Neque enim vulneratus fuit Liber pater, neque in vincula conjectus; ſed tantummodò expulſus, atque ejectus. Ideoque id exempli ſejungit Poëta: quippe quum id ipſum poſtea ſubjiciat, ut ſimul & ſcribendi copiam ipſe ſibi hoc modo ſolerter inveniat, & verùs de induſtriâ locis argumenta ſimilia diſpertiatur; ac præterea propter diſſimilitudinem, ut ne id ſcilicet cum aliis loci hujus exemplis conjungat.

CVIII. Narrat autem, Martem vinculis conſtrictum fuiſſe ab Oto, & Ephialte, qui patrem habuerunt Aloëum, matrem Iphimedeam, de quibus dictum eſt etiam in Odyſſeâ. Ii porrò Martem ligaverunt ἐν χαλκέῳ κεράμῳ, videlicet ἀγγείῳ, *in vaſe æreo, ſive in aheno*. puta, dolio, aut urceo. Cujus quidem vocis exemplum extat etiam in libro ί. Verùm alii exponunt, δεσμωτηρίῳ στερρῷ, *firmo validoque carcere*, quippe qui dicant, Cyprios κέραμον, carcerem vocare. Quamquam alii τὸν Κέραμον, *Ceramum*, urbem Cariæ intelligant, quæ veluti ahenea videretur, itaque per metaphoram appellaretur, propter murorum firmitatem. Hic Martem ſub vinculis menſes tredecim detentum fuiſſe, donec Aloidarum noverca, Eeribœa, malè in privignos ſuos animata, rem indicavit Mercurio: qui, in gratiam Junonis, Martem furtim ſubduxit. Unde hic fugiens, in Naxum venit. Ceterùm apud eos, qui allegoricè dicta ad humanos mores accommodant, vult antiqua hæc fabula obſcurè hoc modo ſignificare vinculum animi per rationem. Quod ſcilicet vinculum habet animus tum ab Oto, videlicet a ratione comparatâ per inſtitutionem, ac diſciplinam, cuiuſmodi ratio ingeneratur ex auditione, videlicet δι' ὤτων, *per aures*, tum a ratione, quæ intra animum noſtrum concipitur, & ſuapte naturâ nobis ἰάλλεται, *inſita eſt*, atque immiſſa. quam ipſam rationem propemodum ſignificat ὁ Ἐφιάλτης, *Ephialtes*, ut illam alteram ὁ Ὦτος, *Otus*. Ejuſcemodi autem Mars non ſemper apud nos vinculis eſt conſtrictus: ſed perturbatio quædam, atque affectio animi, non bona illa ſanè, matris inſtar, ſed quodammodo noverca graviter irata, atque infenſa, clam eum ſubducit, ac ſolvit. Non enim fieri poteſt, ut toto quis vitæ tempore placidum, atque æquabilem vitæ tenorem ſervet. Ubi ſciendum, τὴν μητρυιὰν, *novercam*, commutari a veteribus in nomen maſculinum, ita ut τὸν πατρωὸν, *vitricum*, dicant μητρυιὸν, itaque dicere Theopompum, & maximè Comicos, ſecundùm veteres. Sciendum item, affectiones, & motiones bonas rectè unum aliquem eſſe appellaturum matres no-

λεπῷ, καθὰ διασαφεῖ μετ' ὀλίγα ὁ Ποιητὴς, εἰπών· χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα. ὥστε διὰ ταῦτα μηδέν τι τὸν Ποιητὴν δοκεῖν πλάττειν ἀπίθανον, εἰ τοιαῦτα προμεμυθολόγηνται περὶ θεῶν. Τὸ δὲ καὶ τὸν Διόνυσον ὑπὸ τοῦ Ἠδωνοῦ Λυκούργου κακὰ παθεῖν, καλὸν μὲν καὶ αὐτὸ εἰς παράδειγμα· οὐχ ὅμοιον δὲ πάντη πρὸς τὰ ἐνταῦθα. Οὔτε γὰρ ἐτρώθη ὁ Διόνυσος, οὔτε ἐδέθη, ἀλλὰ μόνον ἐδιώχθη. Διὸ καὶ διαστήσας ὁ Ποιητὴς τὸ τοιοῦτον παράδειγμα, ἐπάγει αὐτὸ ὕστερον, ἅμα καὶ γραφῆς εὐπορίαν ἑαυτῷ οὕτω τεχνώμενος, καὶ διαφόροις ἐπίτηδες μερίζων τόποις τὰ ὅμοια νοήματα· ἔτι δὲ καὶ διὰ τὸ ἀνομοειδὲς, οὐ συντάττων αὐτὸ τοῖς παροῦσι.

ρά. Φασὶ δὲ, τὸν μὲν Ἄρην δεθῆναι ὑπὸ τῶν περὶ Ὦτον, καὶ Ἐφιάλτην, [1] οἳ Ἀλωέως μὲν ἦσαν, καὶ Ἰφιμεδείας, περὶ ὧν καὶ ἐν Ὀδυσσείᾳ εἴρηται. Ἔδησαν δὲ τὸν Ἄρην ἐν χαλκέῳ κεράμῳ, [2] ἤγουν ἀγγείῳ. οἷον, πίθῳ. Χρῆσις δὲ τῆς λέξεως ταύτης καὶ ἐν τῇ ί ῥαψῳδίᾳ. [3] Ἄλλοι δέ φασι, δεσμωτηρίῳ στερρῷ, λέγοντες, Κυπρίους κέραμον καλεῖν τὸ δεσμωτήριον. Οἱ δὲ, πόλιν Καρίας φασὶ τὸν Κέραμον, χάλκεον εἶναι δοκοῦσαν, καὶ τροπικῶς λεχθεῖσαν, διὰ τὸ στερρὸν τοῦ τειχίσματος. ἔνθα δεδέσθαι τὸν Ἄρην τρισκαίδεκα μῆνας, ἕως Ἠερίβοια, ἡ τῶν Ἀλωϊδῶν μητρυιὰ, δυσμενῶς τοῖς προγόνοις ἔχουσα, ἐξήγγειλε τῷ Ἑρμῇ. ὁ δὲ χαριζόμενος τῇ Ἥρᾳ, ἐξέκλεψε τὸν Ἄρην. ὅθεν φυγὼν, ἧκεν εἰς Νάξον. Βούλεται δὲ παρὰ τοῖς ἀλληγοροῦσιν ἠθικῶς ὁ παλαιὸς οὗτος λόγος, δεσμὸν ἔλλογον αἰνίττεσθαι τοῦ θυμοῦ. ὃν δὴ δεσμὸν πάσχει ὑπό τε τοῦ Ὤτου, ἤτοι τοῦ ἐκ μαθήσεως, καὶ διδασκαλίας λόγου, τοῦ ἐξ ἀκοῆς τῆς δι' ὤτων ἐγγινομένου, καὶ ὑπὸ τοῦ ἐνδιαθέτου, καὶ φύσει ἰαλλομένου, καὶ ἐπιπεμπομένου ἡμῖν. ὃν ὁ Ἐφιάλτης παραδηλοῖ, ὡς ἐκεῖνον ὁ Ὦτος. ὅστις Ἄρης οὐκ ἀεὶ παρ' ἡμῖν δέδεται· ἀλλά τις ψυχικὴ διάθεσις οὐκ ἀγαθὴ, ὁποία καὶ μήτηρ, ἀλλὰ τρόπον τινὰ μητρυιὰ ἔγκοτος, λαθοῦσα ὑπεκκλέπτει, καὶ λύει αὐτόν. Οὐ γάρ ἐστι, διὰ βίου πραΰθυμον εἶναί τινα. Ἰστέον δὲ, ὅτι τὲ καὶ μητρυιὸν οἱ παλαιοί φασι τὸν πατρωὸν, ἀρρενωνυμοῦντες τὴν μητρυιάν· [4] καὶ λέγει οὕτω Θεόπομπος· καὶ οἱ Κωμικοὶ δὲ μάλιστα, κατὰ τοὺς παλαιούς. καὶ ὅτι τὰς μὲν ἀγαθὰς διαθέσεις καλῶς ἄν τις μητέρας ἡμῶν Rom.p.560.

1. οἱ Ἀλωέως μὲν ἦσαν) Virg. l. vi.
Hic & Aloidas geminos, immania vidi
Corpora, qui manibus magnum reſcindere cælum
Aggreſſi, ſuperiſque Jovem detrudere regnis.
Salvinus.

2. ἤγουν ἀγγείῳ) τῷ κεραμίῳ. Polit.

3. Ἄλλοι δέ φασι, δεσμωτηρίῳ στερρῷ) Heſychius. Κέραμος, πίθος, καὶ τὸ ὄργανον, καὶ δεσμωτήριον, καὶ ὑπόγαιον, καὶ πόλις Καρίας. Salvinus.

Scholiaſta Homericus: χαλκέῳ κεράμῳ. χαλκῷ ἀγγείῳ. πίθῳ, ἢ δεσμωτηρίῳ. οἱ γὰρ Κύπριοι τὸ δεσμωτήριον, κέραμον καλοῦσι. Politus.

4. καὶ λέγει οὕτω Θεόπομπος) Theopompus Comicus in Pace. Politus.

εἰμῶν ἐρεῖ· τὰς δὲ μὴ τοιαύτας, μητρυιάς. Οὕτω καὶ [1] Ἡσίοδος τὰς μὲν τῶν ἡμερῶν, μητέρας λέγει, τὰς χρηστὰς δηλαδή· τὰς δὲ, μητρυιὰς εἶναί φησι, τὰς μὴ ἀγαθάς. Καὶ Αἰσχύλος δὲ, [2] Σαλμυδησσία γνάθος, πού λέγει, ἐχθρόξενος ναύταισι, μητρυιὰ νεῶν. ἤτοι ἐχθρὰ, καὶ ὀλέθριος. Ἀλλὰ ταῦτα μὲν, σκληρότερον τετράπταιαι· ἀσφαλέστατα δὲ τῇ ἀπὸ μητρυιᾶς εἰκόνι ἐχρήσατο [3] ὁ φράσας, ὅτι Πλάτων πᾶσι τοῖς Σωκράτους μαθηταῖς ἐπεφύκει μητρυιᾶς ἔχων διάθεσιν.

ρθʹ. Ἐνταῦθα δὲ σημείωσαι περὶ τοῦ τέθριππος, καὶ περὶ τοῦ μητρυιὰ, ὡς ἐκεῖνο μὲν, ἀναλόγως ἔτρεψε τὸ ψιλὸν εἰς δασὺ, διὰ τὸ δασύνεσθαι τὸ ἵππος· ἐν δὲ τῷ μητρυιὰ, τοῦτο οὐ γέγονεν, ἴσως μὲν Ἰωνικῶς, ἢ καὶ κατὰ Αἰολεῖς, οἳ καὶ τὸ ὕρχας, καὶ τὸ ὕμμιν ψιλοῦσιν, οἷα ψιλωτικοὶ ὄντες· ἴσως δὲ καὶ ἵνα καθαρὸν καὶ πάντη ἀπαραποίητον φυλαχθῇ τὸ τῆς μητρὸς ὄνομα. [4] Τὸ δ' αὐτὸ λογιστέον καὶ ἐπὶ τοῦ πατρυιός. Ἀλλὰ τοιαύτη μὲν, κατά τινας, ἡ τοῦ Ἄρεος λύσις, ἣν ἀπεύχεται ὁ φρονῶν· δύναται δὲ καὶ τὸ ἐναντίον, ἤτοι τὴν ἔλλογον λύσιν τοῦ θυμοῦ, ὁ μῦθος ὑπαινίττεσθαι· ἵνα, ὥσπερ λόγῳ δεσμεῖται, οὕτω καὶ λόγῳ λύηται. Χρῆται γάρ ποτε τῷ δορυφόρῳ θυμῷ ὁ βασιλεὺς νοῦς, καὶ λύσει τὸν δεσμώτην τοῦτον ἐν καιρῷ ὑπὲρ νόμων, καὶ ἱερῶν, καὶ πατρίδος, καὶ γονέων, καὶ παίδων, καὶ φίλων. Διὸ καὶ Ἑρμῆς, ὅ ἐστι, λόγος, λύει αὐτόν. Ἔλλογος γὰρ, ὡς ἔφαμεν, ἡ τοιαύτη λύσις αὐτοῦ, ἅτε καὶ ἡ μητρυιὰ, ἡ τῷ Ἑρμῇ τούτῳ συμπράξασα, στάσις τις νοηθήσεται, καὶ ἐρεθισμὸς εἰς θυμόν· πλὴν, οὐ φαύλη, ὡς ἀνωτέρω, [5] ἀλλὰ χρηστὴ, διὰ τὸ ἐπὶ δικαίοις ἀμυντικόν. Διὸ καὶ Ὅμηρος, περικαλλὴς μητρυιὰ, φησὶν, οὐδὲν εἰπὼν περὶ αὐτῆς φορτικόν. Καὶ τοιαύτη μὲν ἡ πρὸς ἦθος ἐν τούτοις ἀλληγορία. Ἄλλοι δὲ ἱστοροῦσιν, ἀνδρειοτάτους γενέσθαι τοὺς τοῦ Ἀλωέως παῖδας· καὶ περιγενομένους τῶν κατ' αὐτοὺς, καὶ ἐκ πολέμων εἰρηνεύσαντας, [6] δῆσαι τὸν Ἄρην τούτῳ τῷ τρόπῳ φασί. Καὶ οὕτω τὸν μῦθον ἱστορικῶς θεραπεύ-

noſtras; motiones verò minimè bonas, novercas. Sic & Heſiodus dierum alias vocet matres, bonas nimirum, & benignas; alias, novercas eſſe ait, ideſt, minimè omnium bonas. Quin etiam Æſchylus alicubi dicit, Σαλμυδησσία γνάθος, ἐχθρόξενος ναύταισι, μητρυιὰ νεῶν. *Salmydeſia maxilla, hoſpita infeſta nautis, navium noverca*. inimica videlicet, & exitialis. Et, quamvis ſint hæc iſta durioris metaphoræ; tamen planiſsimè atque rectiſſimè exemplo hoc, & ſimilitudine novercæ is uſus eſt, qui dixit, Platonem erga diſcipulos omnes Socratis ſeſe perinde, ut novercam, geſſiſſe.

CIX. Hîc volo, obſerves de his vocibus, τέθριππος, *quadrijugus, quatuor equos junctos habens*, & μητρυιὰ, *noverca*, ut prior illa vox, pro ratione analogiæ, mutat tenuem in adſpiratam, eo quia ἵππος, *equus*, primam habet adſpiratam; id verò minimè omnium fit in τῷ μητρυιὰ, *noverca*, ex Jonum fortaſſe conſuetudine, aut etiam Æolenſium, qui & τὸ ὕρχας, *urceos*, & τὸ ὕμμιν, *vos*, efferunt cum ſpiritu tenui, quippe qui tenui ut plurimùm ſpiritu delectentur; ſive etiam ideo fortaſſe, ut nomen ipſum τῆς μητρὸς, *matris*, purum putum, mutationiſque omnis penitus expers, ſervetur. Quod idem etiam cogitandum in τῷ πατρυιός, *vitricus*. Quamquam autem ita, ut diximus, ſecundùm nonnullos, ſeſe habet ſolutio illa Martis, quam vir quiſque ſapiens vehementer refugit, atque averſatur; tamen poteſt hæc fabula in contrarium quoque ſenſum pertrahi, ut eam animi ſolutionem ſignificet, quæ conſentanea eſt, & congruens rationi: adeo ut, quemadmodum animus quibuſdam veluti vinculis ligatur, & coërcetur a ratione, ſic etiam per rationem ſolvatur. Utetur enim interdum mens regina, tamquam ſatellite ſuo, vi illâ, & facultate animi, in qua irarum ardor exiſtit, & captivum hunc ſolvet in tempore pro legibus, & ſacris, & patriâ, & parentibus, & liberis, & amicis. Quare etiam ſolvit eum Mercurius, hoc eſt, λόγος, *ratio*. Conſentanea namque eſt, ut diximus, rationi hæc iſta ejus ſolutio: quando etiam noverca, quæ Mercurio huic favet, & operam præſtat, ſeditio, ſeu diſcordia quædam eſſe intelligetur, atque ad iram concitatio: non tamen mala, ut ſupra, aut vitioſa; ſed bona, eo quia comparata illa eſt ad propugnandum pro jure, atque æquitate. Ideoque Homerus nihil de eâ grave, aut contumelioſum profert: quando eidem dicitur περικαλλὴς μητρυιὰ, *perpulchra noverca*. Atque ita quidem ſeſe habet deducta hîc ad humanos mores allegoria. Verùm alii narrant, fortiſſimos viros fuiſſe Aloëi filios; eoſque ajunt, quum finitimos populos deviciſſent, pacemque ex bellis peperiſſent, hac Martem ratione vinculis conſtrinxiſſe. Itaque huic fabulæ per hiſto-

riam

1. Ἡσίοδος τὰς μὲν τῶν ἡμερῶν, μητέρας λέγει) Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ. Politianus vertit: *Ipſa dies nunc eſt genitrix, nunc ſæva noverca*. Sed hoc, niſi fallor, eſt Theocriti. *Salvinus*.

Heſiodi verſum citatum Moſchopulus ita interpretabatur: Ἄλλοτε μητρυιὰ ἐστὶν ἡ ἡμέρα, ἤγουν κακὴ, καὶ βλαβερὰ, ὥσπερ ἡ μητρυιὰ περὶ τοὺς προγόνους. ἄλλοτε μήτηρ, ἤγουν ἀγαθὴ, καὶ ὀνήσιμος, ὥσπερ ἡ μήτηρ περὶ τοὺς ἑαυτῆς παῖδας. Politus.

2. Σαλμυδησσία γνάθος) Æſchylus Prometheo:

Τραχεῖα πόντου Σαλμυδησσία γνάθος,
ἐχθρόξενος ναύταισι, μητρυιὰ νεῶν.

Salmydeſia illa Maxilla, navium noverca, a frequentibus ibi naufragiis. Eſt autem ῥαχία [illegible], [illegible] γνάθῳ. Politus.

3. ὁ φράσας) Athenæus l. 11. c. 15. Polit.

4. Τὸ δ' αὐτὸ λογιστέον καὶ ἐπὶ τοῦ πατρυιός) ut nempè ſimiliter per analogiam ſcribendum ſit πατρυιός, non παθρυιός, tum ex conſuetudine Jonicâ, aut Æolicâ, tum ἵνα καθαρὸν καὶ πάντη ἀπαραποίητον φυλαχθῇ τὸ τοῦ πατρὸς ὄνομα. juxta atque τὸ τῆς μητρὸς ὄνομα ἐν μητρυιᾷ. Puto tamen cum Henrico Stephano, ſcriptum hic ab Euſtathio fuiſſe non πατρυιός, ſed μητρυιός· quum ſuperiori loco, μητρυιὸν dictum nomine ex μητρυιά, non πατρυιός, vocatum vitricum dixerit. *Politus*.

5. ἀλλὰ χρηστὴ, διὰ τὸ ἐπὶ δικαίοις ἀμυντικόν) Pſalm. *Iraſcimini, & nolite peccare*. Ariſtoteles iram alicubi rationis miniſtrum vocat. *Salvinus*.

Vetus Scholiaſta: πολλάκις ὁ λόγος ἐξουσίαν δίδωσι τῷ θυμῷ, χρῆσθαι τῇ οἰκείᾳ ῥώμῃ. δεῖ γὰρ ὑπὲρ πατρίδος [illegible], καὶ ὑπὲρ παίδων, καὶ γονέων, καὶ κτημάτων, καὶ πολιτείας, πρὸς πολεμίους ἀγωνίζεσθαι. Politus.

6. δῆσαι τὸν Ἄρην τούτῳ τῷ τρόπῳ φασί) μυθεύουσι δὲ [illegible], καὶ φιλέοντας [illegible], ἀνατρέψαι τὴν προτέραν εἰρήνην. ἐν δευτέρᾳ δὲ πάλιν ὁμοίας ταραχῆς ἀναφθείσης, δόξαι τὸν Ἄρεα ἀπὸ τοῦ δεσμωτηρίου λελύσθαι. τουτέστι, τὸν πόλεμον. Politus.

riam medentur. Attamen Demo curationem his adhibuit ratione quadam Mathematicâ; ita ut aheneum vas, ſeu carcerem, eſſe diceret cœlum, quod aheneum vocatur a Poëtâ; vincula autem, quibus Mars menſes tredecim detentus fuerit, id ipſum intelligi, quod fit in Marte planetâ, ſtellarum erraticarum unâ, ideſt, fixum ejus, quem vocant, ſtatum: quem quidem ſtatum habet, dum eſt ſub Cancro, & Leone, ad menſes octo; nec non ad alios quinque, qui primæ & ſecundæ inæquali ejus ſtationi attribuuntur. Aloëi porrò filios, qui hunc ipſum Martem ligaverint, interpretatur duo illa, quæ explicavimus, æſtiva ſigna zodiaci, ideſt, Cancrum, & Leonem: quæ dum attingit *Sol*, in cauſsâ eſt τῦ ἀλωᾶν, *terendi in areâ frumenti*. Atque hæc quidem ita.

CX. Ceterùm vult fabula, Aloëi filios, inter venandum, quum cerva inter eos media occurriſſet, emiſſis veluti in cervam jaculis, ab eâ aberraſſe, ſeque invicem percuſſiſſe, quales & aliàs caſus inciderunt; itaque eos extinctos fuiſſe, eo quòd, poſt Martem in vincula conjectum, ſuperbiùs elati, Junoni quoque, & Dianæ vim inferre conarentur. Martem autem ab iis ligatum fingit fabula, eo quòd Adonin, Cinyræ filium, eorum fidei a Venere commendatum, & in monte Arabiæ Libano feras inſequentem, ipſe interfeciſſet. Porro autem Ὦτος, *Otus*, tum nomen eſt proprium, ut dictum eſt, tum genus quoddam avis apud Ariſtotelem, & alios, ut clarè etiam is docet, qui ſic ſcribit: ὦτος, *otus*, *aſio*, aſſimilis noctuæ, pinnulis περὶ τὰ ὦτα, *circa aures*, eminentibus præditus. Alii dicunt nycticoraca. De eo etiam ſic habet Ælius Dionyſius: Otus, avis, quæ περὶ τὰ ὦτα, *circa aures*, pinnulas habet. Hæc, dum laudetur, & viciſſim ſubſultat, atque geſticulariam agit, ut nycticorax, capitur. Quare vanos homines, & inaniter glorioſos, otos vocabant. Rurſus Ἐφιάλτης, *Ephialtes*, non proprium modò nomen eſt; verùm etiam vox hæc uſurpatur de malo ſtomachi, quod & dici-

πεύουσιν. [1] Ἡ μέντοι Δημὼ, μαθηματικῶς ταῦτα τεθεράπευκε, λέγουσα, χάλκεον μὲν κέραμον, τὸν ὑπὸ τοῦ Ποιητοῦ χάλκεον καλούμενον οὐρανόν· δεσμὸν δὲ Ἄρεος τρισκαιδεκάμηνον, τὸ [2] τοῦ Ἄρεος τοῦ πλάνητος ἀστέρος πάθος τὸν λεγόμενον στηριγμόν. ὃν πάσχει, γενόμενος πρὸς Καρκίνῳ, καὶ Λέοντι, ἐπὶ μῆνας ὀκτώ· ἔτι δὲ καὶ ἐπὶ ἑτέρους πέντε, οἳ τῇ πρώτῃ αὐτοῦ, καὶ δευτέρᾳ ἀνωμαλίᾳ προσλογίζονται. Ἀλωέως δὲ παῖδας δήσαντας τὸν τοιοῦτον Ἄρην, λέγει τὰ διαληφθέντα δύο θερινὰ ζώδια, τὸν Καρκίνον, καὶ τὸν Λέοντα· [3] πρὸς οἷς ὁ ἥλιος γενόμενος, τοῦ ἀλωᾶν ἐστὶν αἴτιος. Καὶ τοιαῦτα μὲν ταῦτα.

ρί. Ὁ δὲ μῦθός φησι, τοὺς μὲν Ἀλωάδας ἐν τῷ κυνηγετεῖν, ἐλάφου μεταξὺ αὐτῶν ἐλθούσης, προέσθαι ὡς ἐπ᾽ αὐτὴν τὰ δοράτια, καὶ τῆς μὲν ἀποτυχεῖν, ἀλλήλους δὲ βαλεῖν, ὁποῖα καὶ ἄλλα ἐγένοντο, καὶ οὕτω θανεῖν, διότι μετὰ τὸν Ἄρεος δεσμὸν καθυπερηφανευσάμενοι, τὴν Ἥραν τε, καὶ τὴν Ἄρτεμιν ἐβιάζοντο. Τὸν δὲ Ἄρην ὑπ᾽ αὐτῶν δεθῆναί φησιν ὁ μῦθος, διότι αὐτὸς ἀνεῖλε τὸν τοῦ Κινύρα υἱὸν Ἄδωνιν, αὐτοῖς ὑπ᾽ Ἀφροδίτης παρατεθέντα, καὶ ἐν τῷ Λιβάνῳ τῆς Ἀραβίας θηρηλατοῦντα. Ὦτος δὲ τὸ, τὸ κύριον, ὡς ἐῤῥέθη, καὶ [4] ὀρνεόν τι παρά τε Ἀριστοτέλει, καὶ ἑτέροις, ὡς δηλοῖ καὶ ὁ εἰπών· ὦτος, [5] παραπλήσιος γλαυκὶ, ἔχων περὶ τὰ ὦτα πτερύγια. [6] οἱ δὲ, νυκτικόρακα. Αἴλιος δὲ Διονύσιος, οὕτω περὶ τούτου φησίν· Ὦτος, ὄρνεον, ὃ περὶ τὰ ὦτα ἔχει πτερύγια. [7] Τοῦτο, ἐπαινούμενον, καὶ ἀντορχούμενον, ὥσπερ ὁ νυκτικόραξ, ἁλίσκεται. [8] Διὸ τοὺς χαύνους, καὶ κενοδόξους, ὤτους ἐκάλουν. Ἐφιάλτης δὲ, οὐ μόνον κύριον, [9] ἀλλὰ καὶ ἐπὶ πάθους ἡ λέξις κεῖ- Rom.p.561. Baſ.p.426.

1. Ἡ μέντοι Δημὼ) *Demo*, ſecundùm Hyperochum Cumanum, nomen Sibyllæ Cumanæ. Eadem Sibylla, aliis *Demophila*, aliter ab aliis appellata. Vetus Scholiaſtes quum & ipſa explicationem hanc fabulæ Homericæ Mathematicam ex aliquorum ſententiâ exponat, tamen nullum certum ejus auctorem nominat. *Politus*.

2. τὸ τοῦ Ἄρεος τοῦ πλάνητος ἀστέρος) τὰ Σιδηρᾶ καλουμένα. Polit.

3. πρὸς οἷς ὁ ἥλιος γενόμενος, τοῦ ἀλωᾶν ἐστὶν αἴτιος) Aratus:
Αἱ δέ που ἀσταχύων κεναὶ φαίνονται ἄρουραι,
Ἠελίῳ τὰ πρῶτα συνερχομένοιο λέοντι.
Politus.

4. ὀρνεόν τι παρά τε Ἀριστοτέλει, καὶ ἑτέροις) Ariſtoteles De Hiſt. Animal. l. 8. c. 12. ὁ δὲ ὦτος, ὅμοιος ταῖς γλαυξὶ, καὶ περὶ τὰ ὦτα πτερύγια ἔχων. ἔνιοι δὲ αὐτὸν, νυκτικόρακα καλοῦσιν. ὦτος libri editi Ariſtotelis, ὀξυτόνως. Sed Etymologus legebat ibi ὦτος, προπερισπωμένως. Sic autem Etymologus v. ὦτος· γράφει γοῦν περὶ αὐτοῦ Ἀριστοτέλης· ὁ δὲ ὦτος, ὅμοιος γλαυκὶ, καὶ περὶ τὰ ὦτα πτερύγια ἔχει. Athenæus lib. 9. ἐν ἄλλοις δὲ πάλιν φησὶν ὁ Ἀριστοτέλης· ὦτός ἐστι μὲν παρόμοιος τῇ γλαυκί· οὐκ ἔστι δὲ νυκτερινός. ἔχει τι παρὰ τὰ ὦτα πτερύγια. διὸ καὶ ὦτος καλεῖται. Ideo sit ὦτος vocatum, quia ἔχει παρὰ τὰ ὦτα πτερύγια. Sed mendoſum eſt τὸ, παρὰ τὰ ὦτα, pro περὶ τὰ ὦτα. Ariſtoteles namque, περὶ τὰ ὦτα. Eadem ncs etymologia apud Etymologum: κλήζεται δὲ ὦτος, διὰ τὸ περὶ τὰ ὦτα πτέρυγας ἔχειν. Plinius lib. 10. c. 23. *Otus bubone minor eſt, noctuis major, auribus plumeis eminentibus. unde & nomen illi. quidam Latinè aſionem vocant.* Suidas etiam προπερισπωμένως, ὦτος. Heſychio contra hæc avis, ὠτός ὀξυτόνως· ὠτός, ὄρνεον ὅμοιον γλαυκί, οἱ δὲ νυκτικόρακα λέγουσιν. Addit de Oto gigante Heſychius: Ὦτος, καὶ Ἐφιάλτης, Ἀλωέως, καὶ Ἰφιμεδείας παῖδες. Unde videatur more ſuo Grammatici differentiâ accentûs deſignare voluiſſe differentiam ſignificationis. *Politus*.

Italicè: *aſſiuolo*. a Latino *Aſio*, quaſi ὠτίων, ωνος. *Salvin.*

5. παραπλήσιον) l. παραπλήσιος. Polit.

6. οἱ δὲ, νυκτικόρακα) Etymologici Magni Auctor: ὦτος, ζῶον ὅμοιον νυκτικόρακι. ἔνιοι δὲ αὐτὸ καὶ νυκτικόρακα καλοῦσιν. Politus.

7. τοῦτο, ἐπαινούμενον, καὶ ἀντορχούμενον, ὥσπερ ὁ νυκτικόραξ, ἁλίσκεται) Suidas: ὦτος, ὄρνεον, ὅπερ ἐπαινούμενον, καὶ ἀντορχούμενον, ὥσπερ ὁ νυκτικόραξ, ἁλίσκεται. Ariſtoteles: ἔστι δὲ κόβαλος, καὶ μιμητής· καὶ ἀντορχούμενος ἁλίσκεται, περιελθόντος θατέρου τῶν θηρευτῶν, καθάπερ γλαύξ. Plinius ex Ariſtotele: *imitatrix alias avis, ac paraſita, & quodam genere ſaltatrix. Capitur haud difficulter, ut noctua, intenta in aliquo, circumeunte alio.* Athenæus: μιμητὴς ἀνθρώπων. ἀντορχούμενος γοῦν ἁλίσκεται. Rurſus Suidas: Ἀριστοτέλης δὲ ἐν δευτέρῳ ζώων ἱστορίας, τὸν ὦτόν φησι, κόβαλον, καὶ μιμητὴν ὄντα, ἀντορχούμενον ἁλίσκεσθαι. Euſtathius ad Odyſſeam: ἱστορεῖ δὲ καὶ Ἀριστοτέλης, μιμητὴν ἀνθρώπων εἶναι ὦτον κατὰ πάντα. διὸ καὶ ἀντορχούμενος, ἁλίσκεται. Politus.

8. Διὸ τοὺς χαύνους, καὶ κενοδόξους, ὤτους ἐκάλουν) Suidas: ὅθεν καὶ τοὺς χαύνους, καὶ κενοδόξους ὤτους καλοῦσιν. Polit.

9. ἀλλὰ καὶ ἐπὶ πάθους ἡ λέξις κεῖται στομαχικοῦ) Suidas: ὃ τὰς τοῦ κεφαλοῦ ἀναπέμπεται ἀναθυμιάσεις ἐξ ἀδδηφαγίας, καὶ ἀπεψίας παρὰ ἰατροῖς ἐφιάλτης λέγεται· ὁ λεγόμενος παρὰ πολλοῖς βαβουτζικάριος. Meurſius pro βαβουτζικάριος legebat καπουτζικάριος. Sed fruſtra. Τί ἐστι Βαβουτζικάριος, argumentum opuſculi, quod ſcripſit Michaël Pſellus. *Politus*.

Digitized by Google

κεῖται στομαχικοῦ, [1] ὃ καὶ ἐπίαλτος λέγεται. Τοῦτο δὲ ὁ χυδαῖος ἄνθρωπος βαρυχνᾶν λέγει. Ἡ δὲ διὰ τοῦ φ' γραφὴ τοῦ ἐφιάλτου, [2] ἃ διὰ τὸ ἴσως δασύνεσθαι τὸ ἰάλλω παρά τισι, γίνεται, ἢ κατά τινα γλῶσσαν, τροπῇ τοῦ ψιλοῦ εἰς δασύ. ὃ δὴ καὶ ἐν τῷ, κεκαφηώς, γίνεται, κατὰ Ἡρωδιανόν. κεκαπηὼς γάρ φασι τὸ ἀνάλογον. Οὕτω καὶ ὁ μοιχὸς τροπὴν ἔχει τοῦ κ' εἰς χ'. [3] Μοιχὸς γὰρ πάντως, ὁ μὴ οἰκότα, ἤγουν ἐοικότα, εἶναι τὰ γένη ἀφιείς. Καὶ ὁ αὐθέντης δὲ ψιλοῦ μεταβολὴν εἰς δασὺ ἔπαθεν, [4] ἐκ τοῦ αὐτοέντης γενόμενος. [5] Οὕτω καὶ ἐκ τοῦ πιεῖν ἡ φιάλα γέγονε. κατὰ δέ τινας, καὶ [6] ἐκ τοῦ πίνειν ὁ φίλος. [7] καὶ ἐκ τοῦ τύπους ἴλλων ἔχειν ὁ τυφλός. Ἐν δὲ ῥητορικῷ λεξικῷ φέρεται, ὅτι [8] Ἐπιάλτην Ἀττικοί φασι δαίμονά τινα, διὰ δὲ τοῦ φ' ἐφιάλτην, ἀνδρὸς ὄνομα. Ἑτέρωθι δέ, ὅτι [9] ἐπιάλτης, ὁ πνιγαλίων ὑπό τινων, [10] ὁ δ' αὐτός, καὶ ἠπίαλος. Ἐν δὲ τοῖς Ἡρωδιανοῦ κεῖται καὶ ἠπιάλης, ἠπιάλητος· οὗ χρῆσις, φησί, παρὰ Σώφρονι, οἷον· Ἡρακλῆς Ἠπιάλητα πνίγων. Καὶ τοιαῦτα μὲν τὰ κατὰ τὸν Ἄρην, καὶ τοὺς Ἀλωάδας.

ρια'. Ἥρα δέ, καὶ Ἅδης βάλλονται, μυθικῶς, ἡ μέν, ἐν Πύλῳ συμμαχοῦσα τῷ Νηλεῖ κατὰ

dicitur ἐπίαλτος, *incubus*: quod quidem malum vulgò homines vocant βαρυχνᾶν, *barychnam*. Scribitur autem ὁ ἐφιάλτης, *ephialtes*, cum φ', aut quia cum adſpiratione fortaſſe effertur apud nonnullos τὸ ἰάλλω, *mitto*, aut quia, linguâ quadam peculiari, mutetur tenuis in adſpiratam. Quod utique etiam fit in κεκαφηώς, *ſpirans*, *ſeu exſpirans*, ſecundùm Herodianum. Pro ratione enim analogiæ dicendum erat, ut ait, κεκαπηώς. Sic etiam ὁ μοιχός, *mœchus*, *ſeu adulter*, mutationem habet τοῦ κ' in χ'. Prorſus enim μοιχός, *mœchus*, is eſt, qui μὴ οἰκότα, videlicet ἐοικότα, *minimè inter ſe ſimilia*, *ſeu convenientia*, genera eſſe permittit. Mutationem pariter tenuis in adſpiratam habet ὁ αὐθέντης, *is*, *qui ſuâ ipſius manu cædem facit*, *ſeu interfector ſui*, quum fiat ex αὐτοέντης. Sic ex πιεῖν, *bibere*, fit ἡ φιάλη, *phiala*, *ſeu patera*; itemque ex πίνειν, *bibere*, ut quibusdam ſanè videtur, ὁ φίλος, *amicus*. Quin ὁ τυφλός, *cæcus*, dictus ex eo, quòd habet τύπους ἴλλων, *formas*, *ſeu ſigna oculorum*. Verùm in Dictionario Oratorio traditum eſt, Ἐπιάλτην, *Epialten*, *ſeu Incubum*, Atticos dæmonem quemdam dicere; at verò Ἐφιάλτην, *Ephialten*, cum φ', eſſe nomen viri. Alibi autem legitur Ἐπιάλτης, *Epialtes*, appellatus eſſe a quibusdam Pnigalion ipſe, ſive Incubus, quo dormientes ſupprimi, & ſuffocari ſibi videntur; idemque etiam Ἠπίαλος, *Epialus*. Quamquam apud Herodianum dicitur etiam Ἠπιάλης, Ἠπιάλητος, *Epiales*, genitivo *Epialetos*. cujus formationis exemplum extare ait apud Sophronem. quale illud: Ἡρακλῆς Ἠπιάλητα πνίγων. *Hercules Epialeta ſuffocans*. Atque ita quidem ſeſe habent, quæ de Marte, & Aloidis memorantur.

CXI. Quod autem ad Junonem, & Plutonem attinet, quibus vulnera fabuloſe inflicta narrantur, vulnerata fingitur Juno apud Pylum, dum pu-

1. ὃ καὶ ἐπίαλτος λέγεται) Alii ἐπιάλης. Euſtathius ad Odyſſeam: ἔοι προθετέον καὶ εἰς τὸ ἐπὶ ῥηθὲν πάθος, ἤγουν τὸν ἐφιάλτην, ἐπιάλτην, κατὰ παλαιὸν παρασημείωσιν, ὃ Ἀλκαῖος λέγει. Polit.

2. ὃ διὰ τὸ ἴσως δασύνεσθαι τὸ ἰάλλω παρά τισι) Euſtathius ad Odyſſeam: Ἰστέον δὲ καὶ, ὅτι τὸ ἰάλλειν, κοινὰ μὲν οὖν κανόνα τὸ ἰάς, καὶ ἴασις, καὶ τὸ ἰωσὶν, ὀρθῶς ψιλοῦται. ὁ δὲ Ὀμηρικὸς Ἐφιάλτης ἀπέσταλται ὑπό. ὡς καὶ δασύνεται ἀπὸ τὸ ἴημι. ἔδει τὸ ἀφιέν, καὶ τὸ ἀφιέναι, καὶ ὅσα τοιαῦτα. βοηθεῖ δὲ οὐ ἐνταῦθα δασύνη καὶ ἐν τῷ οἷς Κυνηγέτης τό, Ἀλλ' οὐκ ἀπέδαινες, οὐδ' ἐφιαλεῖς. οὐδ' ὅσα ἀντὶ τὸ ἐπεβαλεῖς, ὁρμήσας. Καὶ εἰ μὲν ὅπως ἡ γραφὴ συνπλάττεται, ἔχομεν τὴν ἀνάλογον δασεῖαν τὸ ἰάλλειν· εἰ δέ, κατὰ τὸ Σοΐδην, οὐκ ἔστι προσκαλεῖσθαι ἐφιαλεῖς, ἀλλὰ φιαλεῖσθαι. φιαλεῖς, ἀπὸ τὸ φιάλης, ἀντὶ τοῦ, μετ' εὐχῆς ἄρξῃ τοῦ πράγματος, κατά οἱ, ταχέως ἄνοχα τὴν φιάλην, ὅπως ἔργου φιαλοῦμεν· τοῦτο μὲν χρήσιμον ἴσως εἰς τὸ νοεῖν, ὅτι ἐκ τὸ φιάλης καὶ ῥῆμα ἐστὶ τὸ φιαλεῖ· εἰς δὲ τὸ δοκεῖν δασύνεσθαι τὸ ἰάλλω, ἀρχαῖον ὁ Ἐφιάλτης· εἴπερ αὖθις οἱ ψιλοῦντες ὑποφαίνεται ἐν τῷ ἐπίαλος. Et quidem in eo Ariſtophanis loco in Veſpis:

Ἀλλ' οὐκ ἀπέδαινες, οὐδ' ἐφιαλεῖς, οὐδ' ὅτι·

non ſatis præſidii eſſe, ut denſandum inde cenſeamus τὸ ἰάλλω, patet etiam ex Scholiaſtâ Ariſtophanico, ex quo pleraque ſua mutuatus eſt Suidas: qui Scholiaſta, patrâ ſynalœphen, ubi legit, οὐδ' ἐφιαλεῖς· tamquam ἀπὸ τὸ φιαλεῖν. Neque etiam rurſus denſandi τὸ ἰάλλω certo argumento eſſe poteſt ὁ ἐφιάλτης. quandoquidem ἀπὸ τὸ ἰάλλω deducitur a Grammaticis ἐπιάλτης, & ἐπιάλης· unde mutatione, ut videtur, tenuis in adſpiratam, ἐφιάλτης. Etymologici Magni Auctor: παρὰ τὸ ἰάλλω τὸ ἀποστέλλω γέγονεν ἰάλης. καὶ Ἐπιάλης, καὶ Ἐφιάλης. Ideo in adſtruendâ ſcripturâ τὸ ἐφιάλτου διὰ τὸ φ', melius videtur recurrendum ad linguam quamdam peculiarem, quæ tenuem commutet in adſpiratam. Michael Pſellus de Babutzicario, ἐπιάλτην τὸ πάθος credebat ita Medicorum filios nominaſſe ἀπὸ τὸ ἐφάλλεσθαι. Sed ab ἐφάλλομαι dicendum erat ἐφάλης, non ἐφιάλτης. quod monuit etiam Henricus Stephanus. Ab ἐπιάλλομαι rectè his morbus dictus fuerit ἐπιάλτης. Politus.

3. Μοιχὸς γὰρ πάντως, ὁ μὴ οἰκότα, ἤγουν ἐοικότα, εἶναι τὰ γένη ἀφιείς) Aliis μοιχός ὁ οὐ μὴ οἰκεῖα, ἤγουν πρέποντα, φρονῶν. Polit.

4. ἐκ τοῦ αὐτοέντης γενόμενος) ὄνομα ῥηματικόν, ἔντης· μετὰ τῆς αὐτὸς ἀντωνυμίας, αὐθέντης. Etymologus. Polit.

ἕω, perimo, interficio. καίνω. Salvinus.

5. Οὕτω καὶ ἐκ τοῦ πιεῖν ἡ φιάλα γέγονε) Etymologici Magni Auctor: φιάλη, κατὰ μετάθεσιν τὸ π' εἰς φ', πιάλα τίς οὖσα, παρὰ τὸ πίω, ἡ τὸ πιεῖν ἅλις παρέχουσα, ὅ ἐστι, δαψιλῶς. Politus.

quaſi ἀπὸ τοῦ πιεῖν ἅλις, a ſatis bibendo. Salvinus.

6. ἐκ τοῦ πίνειν ὁ φίλος) ἀπὸ τῶν συμποσίων αὐξάνουσι οἱ φίλοι γίνεσθαι. ex Etymologo. Polit.

De vino Varro apud Nonium: *Hoc hilaritatis dulce ſeminarium. Hoc continet coagulum convivia*. Salvin.

7. καὶ ἐκ τοῦ τύπους ἴλλων ἔχειν ὁ τυφλός) παρὰ τὸ τύπους τῶν ἴλλων ἔχειν, ἤγουν τῶν ὀφθαλμῶν. Etymologus. Polit.

8. Ἐπιάλτην Ἀττικοί φασι δαίμονά τινα) Suidas: Ἐπιάλτην, Ὅμηρος, καὶ Ἡσίοδος, καὶ οἱ Ἀττικοὶ τὸν δαίμονα. διὰ δὲ τοῦ φ', τὸν ἄνδρα Ἐφιάλτην· καὶ τὸ ἐγγαστρίμυθον λεγόμενον. Polit.

9. ἐπιάλτης, ὁ πνιγαλίων) e genere Incuborum videtur eſſe *Amor*, dictus a Theocrito βαρὺς θεός. unde Virg. *inſideat quantus miſerae Deus*. Salvinus.

10. ὁ δ' αὐτός, καὶ ἠπίαλος) Etymologici Magni Auctor: Ἠπίαλος, καὶ ἠπιάλης, καὶ ἠπιόλης, σημαίνει τὸν ῥιγοπύρετον, καὶ δαίμονα τοῖς κοιμωμένοις ἐρχόμενον. & paullò poſt: ὁ δὲ Ἀλκαῖος ἠπίαλον αὐτὸν εἶπε. Ἀπολλώνιος δέ φησι, τὸν ἐπιάλτην ἠπιάλην καλεῖσθαι, καὶ, τροπῇ τὸ ε εἰς η, ἠπιάλην. Locum hunc Etymologi indicat ad Odyſſeam Euſtathius, cum ita dicit: τὸ δ' αὐτὸ πάθος καὶ ἠπίαλόν τινες ἔλεγον· ὅτι δὲ καὶ ἠπιάλην, ὡς τὸ φαινόλην, καθὰ δηλοῖ ὁ εἰπών, ὅτι ἠπίαλος, οὐ μόνον σημαίνει τὸν ῥιγοπύρετον, ἀλλὰ καὶ δαίμονα τοῖς κοιμωμένοις ἐπερχόμενον, ὃν οἱ πλείους ἠπιάλην φασὶ διὰ τὸ η. Verum apud Etymologum non modò eſt ἠπίαλος, & ἠπιάλης· ſed etiam ἠπιόλης. Neſcio tamen, quomodo, aut unde in textum Etymologi irrepſerit τὸ Ὅμηρος. Quum enim dixiſſet Etymologus: σημαίνει τὸν ῥιγοπύρετον, καὶ δαίμονα τοῖς κοιμωμένοις ἐρχόμενον· pro qua poſtremâ voce melius cum Euſtathio ſcripſerimus ἐπερχόμενον· ſubjicitur ſtatim hæc verba: ὡς Ὅμηρος, καὶ οἱ πλείους, ἠπιάλην λέγουσι διὰ τοῦ η. Τὸ Ὅμηρος malè huc intruſum, quod nec agnoſcitur ab Euſtathio, qui legit: ἐπερχόμενον, ὃν οἱ πλείους ἠπιάλην φασὶ διὰ τοῦ η. Non videntur tamen οἱ πλείους dixiſſe accuſandi caſu ἠπιάλην. Notatum eſt ab Herodiano τὸ ἠπιάλης ἠπιάλητος, allatumque, exempli loco, illud Sophronis: Ἡρακλῆς ἠπιάλητα πνίγων. quod ſatis arguit, rarò ita veteres loquutos. Ergo non videntur plerique vulgò dixiſſe ἠπιάλητα, ut neque, mutatione τοῦ α in ο, ἠπιόλητα. Non videntur, inquam, οἱ πλείους eo flexu nomen illud uſurpaſſe, ſed dixiſſe, quemadmodum ex Etymologo refert Euſtathius, ἠπιάλην. Hunc ipſum Apollonius vocatum ſcripſit ἠπιάλην, quem nos dicimus ἐπιάλτην. Politus.

Digitized by Google

pugnanti Neleo adverſus Herculem auxiliaretur, quando ille etiam Pylum armis captam excidit, quemadmodum ſupra ſcriptum eſt, quum inde Neſtor exularet, aut aliâ ratione in Gerenis puer educaretur. Pluto autem vulnus apud inferos accepiſſe fertur ſubter terram, quando Hercules, de quo ſupra memoratum eſt, quum ei Pluto conceſſiſſet, ut, ſi umquam poſſet, Cerberum, ſine clypeo, & ferro, vinceret, ac domaret manibus, ipſe leoninâ pelle pro clypeo uſus, aptatiſque ad ſagittas cuſpidibus lapideis, quales videlicet in hiſtoriis paſſim referuntur, canem expugnavit. Qua relatâ victoriâ, adverſantem ſibi Plutonem ſagittâ vulneravit, itaque Cerberum ad aërem hunc ſuperum eduxit. Et obſerva, ut hoc loci Homerus Herculem minimè agnoſcit clavâ utentem; ſed arcu, & ſagittis rem fortiter gerentem. Et hujuſmodi quidem ſunt fabulæ, quæ de his circumferuntur. Verùm allegoria, tameiſi Ariſtarchus, quemadmodum ſupra ſcriptum eſt, nihilominus Poëticarum fabularum allegoricè excolendum, atque exornandum exiſtimabat, extra ea, quæ ſunt verbis ipſis expreſſa atque expoſita; τὸν Ἡρακλέα, *Herculem*, pro ratione accipit, propter ejus τὸ ἐπίηρον, *jucunditatem*, & τὸ εὐκλεές, *celebritatem*, *& gloriam*; at verò Ἥραν, *Junonem*, & Ἅδην, *Plutonem*, ſic interpretatur, ut hunc eſſe dicat τὸν ὑπὸ γῆν ἀΐδην, *orcum ſubterraneum*, ſive obſcurum, & tenebroſum ἀέρα, *aërem*, quem non eſt ἰδεῖν, *videre*; illam verò, ſuperum, ac lucidum aërem. quibus ſanè ſtudioſa ſapientiæ ratio vulnera eminus infligit, quatenus ipſa ſeſe omni in eos contentione dirigit, eoſque veluti ſagittis trajicit, itaque ſcopum aſſequitur, idque ipſum, quod quærebat, comprehendit. Nihil enim profectò eſt, neque ſuperarum, ac cœleſtium rerum, neque inferarum, atque terreſtrium, quod capi, expugnarique nequeat per Philoſophiam. Quocirca Mercurius ille, qui eſt rationis, χθόνιος eſt, *i. e. terreſtris*, ut clarè conſtat ex Sophocle, atque ex Comico; itemque οὐράνιος, *cœleſtis*, propter Jovem, cujus eſt nuntius; immo & θαλάττιος, *marinus*, ut fabula ipſa indicat, quæ eum ſub ſpecie, ac formâ lari demitti facit ad fluctus marinos: jam verò etiam καταχθόνιος, *ſubterraneus*, quatenus defunctorum animas ad inferos deducit. Omnia namque pervia, & comprehenſibilia ſunt rationi, pro qua non Mercurius modò accipitur; ſed etiam, ut dictum eſt, ὁ Ἡρακλῆς, *Hercules*. Hic enim, quod ad etymologiam quidem attinet, aptè ac congruenter ita videri poſſit appellatus ἐκ τῆς Ἥρας, *ab Junone*, quam proximè oſtendimus allegoricè ſignificatam: quippe quum per hanc iſtam Ἥραν, *Junonem*, κλέος, *gloriam*, ipſe, tamquam Philoſophus, nactus fuerit. Quamquam Georgius Grammaticus ejuſmodi etymologiam rejicit. qui tamen multò magis explodendam putat aliam etymologiam, Phœbo auctore, de qua ſic litteris proditum accepimus: Hercules, quum, oraculi cauſsâ, veniſſet, id reſponſi accepit:

Ἡρακλῆ, *merito dicit te nomine Phœbus.*
Ἥρα *ferens populis,* κλέος *immortale parabis.*

τὰ τοῦ Ἡρακλέους, ὅτε καὶ τὴν Πύλον ἐκεῖνος ἐπόρθησεν, ὡς προγέγραπται, φυγαδευθέντος, ἢ ἄλλως τρεφομένου παιδὸς ἐν Γερήνοις τοῦ Νέστορος· ὁ δὲ Ἅδης κάτω ὑπὸ γῆν, ἅτε παρακεχωρηθεὶς ὁ ῥηθεὶς Ἡρακλῆς ὑπὸ Πλούτωνος ἄνευ ἀσπίδος, καὶ σιδήρου χειρώσασθαι, εἰ οἷός τέ ἐστι, τὸν Κέρβερον, αὐτὸς τῇ μὲν λεοντῇ, ἀντὶ ἀσπίδος, χρησάμενος· τοῖς δὲ βέλεσι λιθίνας ἐναρμόσας ἀκίδας, ὁποῖαι πολλαχοῦ ἱστοροῦνται, τὸν κύνα κατηγωνίσατο. Μετὰ δὲ νίκην, ἀναντιούμενον τὸν Ἅδην κατατοξεύσας, καὶ οὕτω τὸν Κέρβερον ἀνήγαγε. Καὶ σημείωσαι, ὅτι οὐκ οἶδεν ἐνταῦθα Ὅμηρος τὸν Ἡρακλέα ῥοπάλῳ χρώμενον, ἀλλὰ τόξοις ἀνδραγαθοῦντα. Καὶ τοιοῦτοι μὲν καὶ οἱ περὶ τούτων μῦθοι. Ἡ δὲ ἀλληγορία, εἰ καὶ ὁ Ἀρίσταρχος ἠξίου, ὡς προεγράφη, μηδέν τι τῶν παρὰ τῷ Ποιητῇ μυθικῶν περιεργάζεσθαι ἀλληγορικῶς, ἔξω τῶν φραζομένων, τὸν μὲν Ἡρακλέα εἰς τὸν λόγον ἐκλαμβάνει, διὰ [1] τὸ ἐπίηρον αὐτοῦ, καὶ τὸ εὐκλεές· Ἥραν δὲ, καὶ Ἅδην φησὶ, τὸν μὲν, τὸν ὑπὸ γῆν ἀΐδην, ἤτοι ἀφεγγῆ ἀέρα, ὃν οὐκ ἔστιν ἰδεῖν· [2] τὴν δὲ, τὸν ὑπέργειον. καθ' ὧν ὁ φιλόσοφος λόγος, ἑαυτὸν συντείνας, καὶ οἷα διοϊστεύσας, βάλλει, καὶ τυγχάνει τοῦ σκοποῦ, καὶ ἁλίσκει τὸ ζητούμενον. Ἀνάλωτον γὰρ τῇ φιλοσοφίᾳ οὐδὲν, οὔτε τῶν ἄνω, οὔτε τῶν κατὰ γῆς. Διὸ καὶ χθόνιος ὁ κατὰ λόγον Ἑρμῆς, [3] καθὰ δηλοῖ καὶ ὁ Σοφοκλῆς, καὶ ὁ Κωμικός· καὶ οὐράνιος δὲ, διὰ τὸν Δία, οὗ ἐστιν ἄγγελος· ἀλλὰ μὴν καὶ θαλάττιος, ὡς ὁ μῦθος αἰνίττεται, [4] ὁ λάρον αὐτὸν τοῖς κύμασιν ἐπαφείς· ἤδη δὲ καὶ καταχθόνιος, [5] καθότι καὶ ψυχοπομπός. Πάντα γὰρ εὔβατα λόγῳ, καὶ ἁλώσιμα, εἰς ὃν οὐ μόνον ὁ Ἑρμῆς ἐκλαμβάνεται, ἀλλὰ καὶ ὁ Ἡρακλῆς, ὡς εἴρηται. ὃς οὐκ ἀπὸ τῆς προσεχῶς ἠλληγορημένης Ἥρας προσφυῶς ἂν ἐτυμολογοῖτο, οἷα διὰ τῆς τοιαύτης Ἥρας κλέος εὑρών, [6] ὡς φιλόσοφος. εἰ καὶ ὁ Τεχνικὸς Γεώργιος ἀποτροπιάζεται τὴν τοιαύτην ἐτυμολογίαν· ἧς ἐπὶ πλέον ἀπορραπίζει καὶ τὴν τοῦ Φοίβου, ἣν ἱστορεῖ ὁ γράψας οὕτω· Ἡρακλῆς ἐλθὼν διὰ χρησμὸν, ἤκουσε καὶ ταῦτα·

[7] Ἡρακλῆ δέ, σε Φοῖβος ἐπώνυμον ἐξονομάζει.
Ἥρα γὰρ ἀνθρώποισι φέρων, κλέος ἄφθιτον ἕξεις.

1. διὰ τὸ ἐπίηρον αὐτοῦ, καὶ τὸ εὐκλεές) Ceterùm Ἡρακλῆς eſt Ἥρας κλέος, *Junonis gloria*: quum ob Euryſtheo, Junonis juſſu, impoſitos labores glorioſè, & feliciter exantlaſſet. *Salvinus*.

2. τὴν δὲ, τὸν ὑπέργειον) Ἥρα apud Platonem in Cratylo eſt anagrammatiſmus τοῦ ἀήρ. Salvin.

3. καθὰ δηλοῖ καὶ ὁ Σοφοκλῆς, καὶ ὁ Κωμικός) Sophocles Electrâ:
Ὦ χθόνι' Ἑρμῆ, καὶ πότνι' Ἀρά.
Comicus Ranis, ſeu potiùs Æſchylus apud Comicum:
Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη.
Politus.

4. ὁ λάρον αὐτὸν τοῖς κύμασιν ἐπαφείς) Odyſſ. lib. ε de Mercurio:
Σεύατ' ἔπειτ' ἐπὶ κῦμα, λάρῳ ὄρνιθι ἐοικώς.
Politus.

5. καθότι καὶ ψυχοπομπός) Virg. Æn. l. 4.
Tum virgam capit. hac animas ille evocat Orco
Pallentes: alias ſub triſtia Tartara mittit.
Salvinus.

6. ὡς φιλόσοφος) Ἡρακλῆς ὁ Πανὸς, τοῦ καὶ Διὸς, φιλόσοφος ἄριστος. Suidas. Polit.

7. Ἡρακλῆ δέ, σε Φοῖβος) Suidas, Ἡρακλῆς· Etymologici Magni Auctor, Ἡρακλέης. Polit.

Ἡ τοιαύτη γὰρ ψιλοῖ τὴν τοῦ Ἡρακλέους ἄρχουσαν· ὅπερ ἀπὸ τοῦ ἦρα γίνεται, ὃ δηλοῖ τὴν χάριν. ὅθεν σύνθετον τὸ ἐπίηρα· ὧν ἀρχὴ, τὸ ἐρῶ, ἤγουν ἐπιθυμῶ, ψιλούμενον ἀναντιρρήτως, καθὰ καὶ τὸ ἦρα· [1] τὸ ἐντελὲς, ἐπιήρανα, κατὰ τοὺς παλαιούς. Καὶ τοιαῦτα μὲν καὶ ταῦτα. Ὅτι δὲ ἱστο-
Rom. p.562. ρία βασιλέα οἶδε τόπου τινὸς Μολοττικοῦ, Ἅδην, καὶ κύνα γενναῖον ἐκείνου τὸν Κέρβερον, ὃν Ἡρακλῆς εἷλεν ἐξ ἐπιταγῆς, καὶ τῷ Εὐρυσθεῖ ἐκόμισεν, ἐν ἄλλοις εἴρηται. Ἦλθε δὲ καὶ τοῖς νῦν εἰς πεῖραν Ἅδης, ἀνὴρ πολυκτήμων Μακεδών.

ριβ΄. Ἔστι δὲ ἐν τούτοις ἡ Ὁμηρικὴ φράσις τοιαύτη· Τέτλαθι, τέκνον ἐμὸν, καὶ ἀνάσχεο, κηδομένη περ· Πολλοὶ γὰρ δὴ τλῆμεν θεοὶ ἐξ ἀνδρῶν, χαλέπ᾽ ἄλγε᾽ ἐπ᾽ ἀλλήλοισι τιθέντες. Τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος, κρατερός τ᾽ Ἐφιάλτης, παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ. Χαλκέῳ δ᾽ ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας· καί νύ κεν ἔνθ᾽ ἀπόλοιτο Ἄρης, ἆτος πολέμοιο, εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια Ἑρμέᾳ ἐξήγγειλεν. ὁ δ᾽ ἐξέκλεψεν Ἄρηα ἤδη τειρόμενον. χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα. Τλῆ δ᾽ Ἥρη, ὅτε μιν κρατερὸς παῖς Ἀμφιτρύωνος δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι βεβλήκει. Τλῆ δ᾽ Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστὸν, εὖτέ μιν ωὐτὸς ἀνὴρ υἱὸς Διὸς ἐν πύλῳ ἐν νεκύεσσι βαλὼν, ὀδύνῃσιν ἔδωκεν. ὅ ἐστιν, ὠδύνησε. Καὶ ὁ μέν, φησιν, ἔβη πρὸς δῶμα Διὸς, καὶ Ὄλυμπον, κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος. Αὐτὰρ ὀϊστὸς ὤμῳ ἔνι στιβαρῷ ἠλήλατο. ἤγουν ἐπεπήκτο. καὶ τὰ ἑξῆς. ἐν οἷς φράζει καὶ περὶ Παιήονος, ὡς τὸν Ἅδην ἠκέσατο· καὶ κατὰ Ἡρακλέους, οἷος ἦν· καὶ ὡς ὁ Διομήδης, Ἀθηνᾶς ἀτινάσης, ἀνδραγαθεῖ· καὶ ὡς οὐκ ἀεὶ εὐτυχοῦσιν οἱ θεομάχοι· καὶ περὶ Διομήδους, ὡς χρὴ πτοεῖσθαι, μὴ πρὸ ὥρας χήρα γένηται αὐτῷ ἡ γυνὴ Αἰγιάλεια, ὡς θεομαχοῦντι. Περὶ δὲ τούτων πάντων ἐφεξῆς εἰρήσεται. καὶ τέως πρὸ τῶν ἄλλων, ἰστέον, ὡς χρᾶται καὶ ἐνταῦθα Ὅμηρος λέξεως ἐπιμονῇ, διὰ τὸ καί-
Baſ. p.427. ριον. Εἰπὼν γὰρ, [2] Τέτλαθι, τέκνον ἐμὸν, καὶ ἀνάσχεο, κηδομένη περ (παραμυθητικὸς δὲ ὁ λόγος) ἐπάγει ἐπιμένων· Πολλοὶ γὰρ δὴ ἔτλημεν. Ἔτλη μὲν Ἄρης. Ἔτλη δὲ Ἥρη. Ἔτλη δὲ Ἀΐδης πελώριος ὠκὺν ὀϊστόν. Καὶ σημείωσαι, ὅτι ἐνταῦθα μὲν, ἐντελῶς εἶπεν ἐν τῷ,

Hæc enim iſta etymologia ſpiritu tenui afficit primam τοῦ Ἡρακλέους, *Herculis*: ſiquidem derivatur ab ἦρα, quod gratiam ſignificat. unde compoſitum τὸ ἐπίηρα, *grata, amabilia, jucunda*. Quæ vox orta ex ἐρῶ, *amo*, videlicet concupiſco. Eſt enim extra omnem controverſiam, id verbi tenuari, pariter atque τὸ ἦρα, *grata, amabilia, deſiderabilia*. quod quidem, ſecundùm veteres, mutilatum eſt, atque imminutum ex ἐπιήρανα. Atque hæc quidem hujuſmodi. Ceterùm, quod alibi dictum eſt, compertum eſt in hiſtoriâ, regnaſſe alicubi apud Moloſſos Plutonem, ejuſque nobilem canem Cerberum fuiſſe, quem Hercules ex mandato abſtulit, atque ad Euryſtheum abduxit. Immo & noſtræ ætatis hominibus in documentum venit Pluto, homo ſanè quàm opulentus, & locuples in Macedonia.

CXII. Eſt autem hoc loci Homerica phraſis, atque oratio, hujuſcemodi: Perfer, filia mea, & tolera, quamvis doleas. Multi enim jam dii ab hominibus pertulimus: quum ipſi nobis invicem graves dolores intulerimus. Pertulit quidem Mars, quando ipſum Otus fortiſque Ephialtes, Aloëi filii, duris vinculis ligaverunt. Æreo porrò in carcere ligatus fuerat menſes tredecim: & ibi fortaſſe Mars, inſatiabilis ille bello, periiſſet, niſi noverca perpulchra Eeribœa Mercurio indicaſſet, qui Martem jam pene confectum furtim ſubduxit. Dura namque eum vincula afflixerant. Pertulit etiam Juno, quando eam fortis Amphitryonis filius ſagittâ tricuſpide ad dexteram mammam vulneravit. Pertulit & ingens inter hos Pluto velocem ſagittam, quando eum idem ipſe vir Jovis filius, ad portam apud inferos percuſſum, ὀδύνῃσιν ἔδωκε, *doloribus tradidit*. hoc eſt, ὠδύνησε. *doloribus affecit*. Et hic quidem, inquit, ad Jovis domum, & Olympum ivit, corde dolens, doloribus confixus. At enim ſagitta in robuſtum humerum ἠλήλατο, *adacta erat*. videlicet ἐπεπήκτο, *erat infixa*, &c. Ubi etiam narrat de Pæone, ut Plutonem curaverit; & de Hercule, cujuſmodi ille moribus, & quàm improbo ingenio fuerit; & de Diomede, ut eum Minerva ad rem fortiter gerendam concitaverit: quum tamen non bonâ ſemper fortunâ ii utantur, qui cum diis pugnant. Ac rurſus de Diomede, timendum eſſe ait, ne uxor ejus Ægialea, vidua ante tempus fiat, eo quia pugnat ipſe contra deos. De quibus ſanè omnibus quum deinceps ſit dicendum, interim ante alia ſciendum eſt, uti hic per epimonen Homerum eadem ſæpiùs voce, propter ejus opportunitatem. Quum enim dixiſſet: Τέτλαθι, τέκνον ἐμὸν, καὶ ἀνάσχεο, κηδομένη περ. *Perfer, filia mea, & tolera, quamvis doleas*, quæ oratio eſt conſolatoria; per epimonen ſubjungit: Πολλοὶ γὰρ δὴ ἔτλημεν. *Multi enim jam pertulimus*. Ἔτλη μὲν Ἄρης. *Pertulit quidem Mars*. Ἔτλη δὲ Ἥρη. *Pertulit etiam Juno*. Ἔτλη δὲ Ἀΐδης πελώριος ὠκὺν ὀϊστόν. *Pertulit demum Pluto ingens velocem ſagittam*. Et obſerva, ut hic quidem plenè, atque integrè dicit, cum dicit:

1. τὸ ἐντελὲς, ἐπιήρανα) Etymologici Magni Auctor: ἔρω ἔρανος, ὡς ὄχανον· καὶ ἔρανα· ὅθεν συγκοπῇ, ἢ ἀποκοπῇ, ἦρα. Euſtathius ad lib. α. Il. ἐρῶ τὸ ἐπιθυμῶ ἔρανος, καὶ ἐντάσει, ἤρανος, καὶ ἐπιήρανος. ὁ πλεονασμῷ, ἐπιήρανα, καὶ ἀποκοπῇ, ἐπίηρα. Alii ἐπίηρα accuſativo ſingulari, ἦρα τὴν χάριν, ab ἦρ, ἦρος. Herodianus: ἦρ, ἡ ἐπικουρία, ὀξυτόνως. ἡ γενικὴ, ἦρος. αἰτιατικὴ, ἦρα, καὶ ἐν συνθέσει, ἐπίηρα. Aliis in recto ἦρ, παρασημειώσεως Politus.

2. Τέτλαθι, τέκνον ἐμὸν) Homerus alibi: Τέτλαθι δὴ, κραδίη, καὶ κύντερον ἄλλο ποτ᾽ ἔτλης. O anime obdures, alia, gravioraque paſſus. Salvinus.

cit: Ἔτλη ὠκὺν ὀϊστόν. *Pertulit velocem ſagittam*: ſupra verò dixit per ellipſin, imperfectâque locutione: Ἔτλη Ἥρα. *Pertulit Juno*. nimirum ὀϊστόν, *ſagittam*. Ἔτλη δ' Ἄρης. *Pertulit Mars*. nimirum δεσμόν, *vinculum*. Quare videtur etiam ſic conſequenter ſe habere τὸ τέτλαθι, *perfer*, & τὸ τλῆμεν, *pertulimus*. adeo ut ſit τέτλαθι, τέκνον, τὸ τοῦ Διομήδους ἔγχος. *Perfer, filia, haſtam Diomedis*. &, Πολλοὶ γὰρ δὴ τλῆμεν. *Multi enim jam pertulimus*. nimirum ἄλγεα, *dolores*.

CXIII. Vide porro, ne eadem inter ſeſe videantur eſſe τὸ τέτλαθι, *perfer*, & τὸ ἀνάσχεο, *ſuſtine, ſeu tolera*, atque eo ipſo, quòd juxta ſeſe ſunt poſita, conducunt ad etymologiam τοῦ σχέτλιος, *ærumnoſus, calamitoſus, miſer*. ita ut σχέτλιος, *ærumnoſus*, idem ſit interdum, atque ὁ οἰδέα τλάς, καὶ ἀνεχόμενος, *is, qui ærumnas perfert, atque tolerat, is, qui patiens eſt laborum*. Ad hæc ſciendum, in quemcumque aptè quadrat τὸ ἔτλη, *pertulit*, illum vocari τλήμονα, *miſerum, patientemque ærumnarum*, & τάλανα, *ærumnoſum, ſeu calamitoſum*. contraquam ſeſe habet apud Sophoclem ἀτλητεῖν, *non ferens, ægrè ferens, impar malis perferendis*. qui videlicet nequit eſſe patiens, ſeu tolerans mali. Quem verò dixerimus mala ſæpe pertuliſſe, vocari illum poſſe πολυτλήμονα, *multis miſeriis conflictatum, valdeque infelicem*, ſicuti etiam πολύτλαντα, *multa mala perpeſſum*. Porro autem τὸ τέτλαθι, *perfer*, reduplicationem habet, qualem etiam τὸ τέθναθι, *morere*, & τὸ κέκλυθι, *audi*. Τὸ κηδομένη, *læſa, mœrore affecta, dolens*, ſuum quoque habet verbum activum, ut palam facit illud: τόξοις ἔκηδε θεούς. hoc eſt, ἔβλαπτεν. *arcu deos lædebat, ſeu violabat*. Attamen τὸ κήδεσθαι, quod ſignificat curare, ſeu curam gerere, numquam profertur activè. Κρατερός, *validus, robuſtus, violentus*, fuerit quidem Ephialtes, ut & κρατερὸς δεσμός, *validum vinculum*, ideſt, grave, durum, ſævum, moleſtum. Et ſic etiam κρατερὸς παῖς Ἀμφιτρύωνος, *validus filius Amphitryonis*. Nam ne hoc quidem loci eſt vocem iſtam in laudem accipere. Ceterùm ὁ ἐπίαλτος, *epialtos*, is, de quo dictum eſt ſupra, formaturam habere videtur magis aptam, magiſque analogiæ congruentem, quàm ὁ Ἐφιάλτης, *Ephialtes*. Non enim ſatis liquet, unde, & cur facta ſit mutatio τοῦ π' in φ', ſiquidem tenui ſpiritu notatur τὸ ἰάλλω, *mitto*. Τὸ ἀπόλοιτό κεν, *fortaſſe, ſeu facilè periiſſet*, idem eſt, ac ſi diceret: ἀπώλετο ἄν. *facilè perierat*. Eſt autem Atticum, Optativis uti pro Præteritis. ut cum dicunt ἔλθοι, *veniſſet*, pro ἦλθε, *venerat*. & δράμοι, *cucurriſſet*, pro ἔδραμε, *cucurrerat*. & alia id genus, quorum innumera exempla.

CXIV. Ἠερίβοια, *Eeribœa*, ſiquidem derivatur παρὰ τὴν βοήν, *a clamore, ſeu vociferatione*, appellata ſic fuerit, quaſi altiori voce in loquendo uteretur, perinde ut οἱ ἠερόφωνοι, *ii, qui valde clamant, & aërem implent clamore*. Sin autem παρὰ τὴν βοῦν, *a bove*, ſignificare videtur, aut τὴν μελάμβοον, *bovem nigram*, aut τὴν μεγαλόβοον, *magnam bovem*, quaſi ſcilicet ἐρίβοιν, *amplam bovem*, aut τὴν πολύβοιν, *multas boves habentem, opulentam*. adeo ut ſic redundet ac ſuperfluat in principio τὸ η. Porrò autem hoc ipſum nomen Ἠερίβοια,

τῷ, ἔτλη ὠκὺν ὀϊστόν· ἀνωτέρω δέ, ἐλλιπτικῶς ἔλεγεν, ἔτλη Ἥρα. ὀϊστὸν δηλαδή. ἔτλη δ' Ἄρης. δηλονότι δεσμόν. Διὸ εἰκὸς καὶ τὸ τέτλαθι, καὶ τὸ τλῆμεν, τοιοῦτον ἀκολούθως εἶναι· ἵνα ᾖ, τέτλαθι, τέκνον, τὸ τοῦ Διομήδους ἔγχος. καί, πολλοὶ γὰρ δὴ τλῆμεν. ἄλγεα δηλαδή.

ρυ'. Ὅρα δὲ τὸ τέτλαθι, καὶ τὸ ἀνάσχεο, ταυτὰ δοκοῦντα εἶναι, καὶ τῇ παραθέσει [1] συντελοῦντα εἰς ἐτυμολογίαν τοῦ σχέτλιος. ὡς εἶναί ποτε σχέτλιον, καὶ τὸν κήδεα τλάντα, καὶ ἀνεχόμενον. Ἰστέον δὲ καί, ὅτι ἅπας, ᾧ προσαρμόζει τό, ἔτλη, ἐκεῖνος τλήμων, καὶ τάλας λέγεται. ὃ ἀνάπαλιν ἔχει [2] παρὰ τῷ Σοφοκλεῖ ἀτλητεῖν. ἤγουν μὴ ἔχων τλάμων εἶναι. ᾧ δὲ πολλάκις ἐπιλεχθείη, ἐκεῖνος καὶ πολυτλήμων ἂν εἴη, [3] καθὰ καὶ πολύτλας. Τὸ δὲ τέτλαθι, ἀναδιπλασιασμὸν ἔχει, ὁποῖον καὶ τό, τέθναθι, καὶ τό, κέκλυθι. [4] Τὸ δὲ κηδομένη, ἔχει καὶ ἐνεργητικόν, ὡς δηλοῖ τό, τόξοις ἔκηδε θεούς. ὅ ἐστιν, ἔβλαπτε. [5] Τὸ μέντοι κήδεσθαι, ὃ δηλοῖ τὸ φροντίζειν, οὐδέποτε προφέρεται ἐνεργητικῶς. Κρατερὸς δὲ Ἐφιάλτης εἴη ἄν, ὡς καὶ κρατερὸς δεσμὸς ὁ χαλεπός. Οὕτω δὲ καὶ κρατερὸς παῖς Ἀμφιτρύωνος. Οὐ γάρ ἐστι σημαντικὴν οὐδ' ἐνταῦθα ἐπαίνου τὴν τοιαύτην λέξιν εἶναι. Τοῦ δὲ ἐφιάλτης ἀναλογώτερον ἔχειν δοκεῖ ὁ προρρηθεὶς ἐπίαλτος. [6] Οὐ γάρ ἐστι σαφὲς αἴτιον τῆς τοῦ π' εἰς φ' μεταβολῆς, εἴγε ψιλοῦται τὸ ἰάλλω. Τὸ δὲ ἀπόλοιτό κεν, ταυτόν ἐστι τῷ, ἀπώλετο ἄν. Ἔστι δὲ Ἀττικὸν τό, ἀντὶ παρῳχημένων, χρῆσθαι τοῖς εὐκτικοῖς. οἷον, τῷ ἔλθοι, ἀντὶ τοῦ ἦλθε. καὶ τῷ δράμοι, ἀντὶ τοῦ ἔδραμε, καὶ τοῖς ὁμοίοις, ὧν χρῆσις ἀπειροπληθής.

ριδ'. Ἠερίβοια δέ, εἰ μὲν παρὰ τὴν βοὴν γίνεται, καλοῖτο ἂν οὕτως, ὡς οἷον ὑψίλαλος, [7] κατὰ τοὺς ἠεροφώνους· εἰ δὲ παρὰ τὴν βοῦν, δηλοῦν δοκεῖ ἢ τὴν μελάμβοον, [8] ἢ τὴν μεγαλόβοον, ὡς οἷον ἐρίβοιν, ἢ τὴν πολύβοιν. ὡς πλεονάζειν οὕτω τὸ κατ' ἀρχὴν η. Σχηματισμὸς δὲ τῆς Ἠεριβοίας, κατὰ τὴν Εὐβοι-

1. συντελοῦντα εἰς ἐτυμολογίαν τοῦ σχέτλιος) σχέτλιος ὁ ἀνεχόμενος, καὶ τλάς. Polit.

2. παρὰ τῷ Σοφοκλεῖ ἀτλητεῖν) Sophocles Oedipo Tyranno: Πόρευσ' ἀτλητεῖν. Eſt ἀτλητεῖν ὁ μὴ καρτερεῖν, μὴ φέρειν, δυσανασχετεῖν. Politus.

3. καθὰ καὶ πολύτλας) Hom. in Odyſſ. πολύτλας δῖος Ὀδυσσεύς. Salvinus.

4. Τὸ δὲ κηδομένη) κῆδος, curatio funeris, funus. unde epicedion, carmen funebre. Salvin.

5. Τὸ μέντοι κήδεσθαι, ὃ δηλοῖ τὸ φροντίζειν) Τὸ κήδεσθαι eſt curare: ex quo derivatur κηδεμών, tutor, curator. Salvin.

6. Οὐ γάρ ἐστι σαφὲς αἴτιον τῆς τοῦ π' εἰς φ' μεταβολῆς) Ephialtes, puto, mutat π' in φ', propter aſpiratam denſè vocem ἅλλομαι, ſalio. Ephialtes, Incubus dæmon dicitur, ob inſiliendo. Sic additamentum ſyllabicum in ἐφίεμαι denſatus propter denſeſcum ἀρύω. Salvinus.

Michaël Pſellus: τοὺς παῖδας, Ἐφιάλτην παιδὶ ἐνομάζουσι ἰατροί, ἀπὸ τοῦ ἐφάλλεσθαι κάτωθεν συνήθως τὸ ὄνομα. At enim jam diximus, ob ἅλλομαι, ſeu potius ἐφάλλομαι, eſſe τὸ ἐφιάλτης, non ἐφιάλτης. Politus.

7. κατὰ τοὺς ἠεροφώνους) Moſchopulus: ἠερόφωνοι ὑψόφωνοι, ὧν ἡ φωνὴ μέχρι τοῦ οὐρανοῦ ἐκτείνεται. Polit.

8. ἢ τὴν μεγαλόβοον) De bove Virg. in Georgicis: omnia magna. Salvin.

αν, καὶ Ἀλφεσίβοιαν. Ὁ δὲ Ἑρμέας, ὡς πρωτότυπον, ἐπενθέσει μὲν τοῦ ι, Ἑρμείας γίνεται· κράσει δὲ τοῦ ε, καὶ α, εἰς η, Ἑρμῆς. Τὸ δὲ δαμιᾷν, πλεονασμὸν ἔχει τοῦ ν Δώριον, ὁποῖος γίνεται, καθ' Ἡρωδιανὸν, καὶ ἐν τῷ ἐλαύω ἐλαύνω, δύω δύνω, καὶ τοῖς ὁμοίοις. Ὅρα δὲ καὶ, ὅτι τὸν Ἡρακλῆν, κρατερὸν παῖδα Ἀμφιτρύωνος εἰπὼν, εἶτα καὶ Διὸς υἱὸν αὐτὸν λέγει, οὐ μόνον [1] διὰ τὸ βασιλικὸν, ἀλλ' ἵνα καὶ πιθανοὺς καταστήσῃ τοὺς περὶ αὐτοῦ μύθους, ἤγουν τὴν βολὴν τῆς Ἥρας, καὶ τοῦ Ἅδου. Οὐ γὰρ ὁ τοῦ Ἀμφιτρύωνος, ἀλλ' ὁ τοῦ Διὸς,
Rom. p.563. δύναιτο ἂν τοιαῦτα ποιεῖν. Καὶ σημείωσαι, ὅτι ἐνταῦθα καὶ τόπους ὁρίζει ταῖς πληγαῖς διὰ πιθανότητα, εἰπὼν, τὴν μὲν Ἥραν, δεξιτερὸν κατὰ μαζὸν βληθῆναι οἰστῷ τριγλώχινι· τὸν δὲ Ἅδην, ὤμῳ ἐνὶ στιβαρῷ.

ριε´. Ἰστέον δὲ καὶ, ὅτι κατὰ μαζὸν ἀλληγορικῶς ἡ Ἥρα βάλλεται, ἤγουν ὁ ἀὴρ, διότι εὐστόχως, εἰπεῖν δὲ καιριώτερον, εὐθυβόλως, καὶ ἐπιτυχῶς, καὶ εὐσκοπώτατα, ὑπὸ τοῦ φιλοσόφου λόγου νενόηται, ὅτι ζωογόνος ἐστὶν ὁ ἀήρ. Τούτου γάρ ἐστι δηλωτικὸν ὁ μαζὸς, τρέφων τὰ νεογνά. ὅθεν καὶ [2] οὖθαρ ἀρούρης τὸ πῖον λέγεται, καὶ θρεπτικόν. ὁ δὲ Ἅδης παρὰ τὸν ὦμον βέβληται, ὑψηλὸν ὄντα τόπον ἐν σώματι, διότι εὐσκόπως πάλιν ὁ αὐτὸς Ἡρακλῆς, τουτέστιν, ὁ φιλόσοφος λόγος, κοῦφον εἶναι αὐτὸν, καὶ ἀνωφερόμενον κατενόησεν· ὅσπερ καὶ αὐτὸς ὁ ὑπόγαιος ἀὴρ, τοιοῦτός ἐστι φύσει. ἢ μάλιστα διότι ἡ καιριωτάτη βολὴ τοῦ λόγου κατὰ τοῦ ἀέρος ἄνω που γίνεται, ὅτε τὰ μετέωρα σκέπτεται. [3] Καὶ γὰρ θεωρεῖ μὲν αὐτὸς καὶ τὰ κάτω τοῦ ᾅδου, ἤτοι τοῦ σκοτεινοῦ, καὶ μέλανος ἀέρος, καταβαίνων εἰς αὐτὸν, καὶ οἷον ἐρεβοδιφῶν· ἐπιμᾶλλον δὲ τῆς αὐτοῦ κεφαλῆς ἐφίεται, καὶ κατὰ τὴν ἄνω τείνας ἑαυτὸν, ἐπιβάλλει ταῖς ἐκεῖ σκοπιμώτατα. [4] Τριγλώχιν δὲ οἰστὸς, ὁ τῆς φιλοσοφίας τριπλοῦς τρόπος, ὁ ἠθικὸς, ὁ φυσικὸς, καὶ ὁ μαθηματικός, οἷς χρώμενος ὁ Ἡρακλῆς λόγος, ἐπιτυχῶς βάλλει κατά τε ἀνδρῶν, καὶ θεῶν. ἤτοι ἐπιτυγχάνει, φιλοσοφίας λόγῳ, τῆς τῶν θείων τε καὶ ἀνθρωπίνων καταλήψεως. Γλωχὶν δὲ ξίφους ἡ γωνία. [5] ὅθεν καὶ γίνεται, κατὰ τοὺς παλαιοὺς, ὡς οἷον γωνιοχὶν τις οὖσα, καὶ ἐν συγκοπῇ, καὶ τροπῇ, γλωχὶν ἡ γωνίαν ἔχουσα. ἢ καὶ ἄλλως, παρὰ τὸ κλῶ, αἱονεὶ κλω-

Eeribæa, ſimili eſt figuratione, atque ἡ Εὔβοια, *Eubæa*, & Ἀλφεσίβοια, *Alpheſibœa*. Verùm ὁ Ἑρμέας, *Hermeas*, *Mercurius*, tamquam nomen primitivum, per epentheſin quidem τοῦ ι, fit Ἑρμείας, *Hermear*; at verò coaleſcentibus, ſeu per craſin commixtis τοῖς, ε, & α, in η, Ἑρμῆς, *Hermes*. Τὸ δαμιᾷν, *domare*, *perdomare*, *vincere*, *ſubigere*, habet pleonaſmum Doricum τοῦ ν· qualis etiam pleonaſmus, ſecundùm Herodianum, fit in τῷ ἐλαύω, ἐλαύνω, *ageto*; δύω, δύνω, *ſubeo*, aliiſque ſimilibus. Vide præterea, ut, quum Herculem, fortem Amphitryonis filium vocaſſet, eum poſtea Jovis filium appellat, non modò propter dignitatem, atque amplitudinem regiam; ſed etiam ad fidem iis ſabulis, quas de eo narrat, conciliandam, ut probabile ſit ſcilicet, eum vulnera Junoni, ac Plutoni intuliſſe. Non enim certè Amphitryonis, ſed Jovis filius iſta facere potuiſſet. Et obſerva, ut, ad faciendam hic fidem, loca quoque vulnerum determinat: quum Junonem dicat tricuſpide ſagittâ ad papillam dexteram; Plutonem verò in robuſto humero vulneratum fuiſſe.

CXV. Ubi ſciendum, allegoricè Junonem in papillâ vulnerari, aërem videlicet, eo quòd per rationem Philoſophia εὐστόχως, *mentis acie feliciter conjectâ*, ſive, ut magis appoſitè atque accommodatè loquar, εὐθυβόλως, *rectâ conjecturâ*, proſperoque ſucceſſu, oculiſque veluti ad ſcopum perfectiſſimè collineatis, intellexerit, vim in aëre vitalem ineſſe. Id enim clarè denotat papilla, quippe quæ pueris recens in lucem editis alimentum præbeat. Unde & pinguedo ipſa ſoli, quæque alendi vim habet, dicitur οὖθαρ ἀρούρης, *uber terræ*, *ſeu arvi*. Plutonem verò vulnus in humero accepiſſe, ut in loco corporis præcelſo, atque edito, eo quòd idem rurſus Hercules, hoc eſt, philoſophantis hominis ratio, rectè veluti ad ſcopum collineando, eum ipſum Plutonem levem eſſe, & ſurſum verſum tendere cognoverit: quandoquidem vel ipſe aër ſubterraneus tali eſt naturâ. Aut maximè eo quia aërem ratio in ſuperiori parte commodiſſimè ferit, atque vulnerat, cum ea, quæ in ſummo aëre, & in cœlo fiunt, ſpeculatur, atque conſiderat. Etſi enim partes quoque inferas orci, tenebroſi videlicet atrique aëris, ipſa ratio contemplatur, cum in eum deſcendit, & ſubterranea loca veluti perſcrutatur; tamen multò magis ſummitatem ejus petit, ipſaque ſemet omni conatu, magnâque contentione ad ſuperna erigens, in illa, tamquam in ſcopum, certiſſimè aciem figit cogitationis ſuæ. Sagitta autem tricuſpis, triplex eſt genus Philoſophiæ, Ethice, Phyſice, Mathematice. quibus ſi Hercules, hoc eſt, mens, atque ratio utitur, ſuas veluti ſagittas, certo, nec fallaci ictu, tum in homines immittit, tum in deos. videlicet per Philoſophiam, divinarum humanarumque rerum comprehenſionem, atque intelligentiam conſequitur. Ceterùm γλωχὶν ξίφους, *cuſpis enſis*, eadem eſt atque ἡ γωνία, *angulus*, *ſive acies*. unde etiam fit, ſecundùm veteres, perinde quaſi ſit γωνιοχὶν, & per ſyncopen, mutationemque litterarum, γλωχὶν, *cuſpis*, ideſt, γωνίαν ἔχουσα, *habens angulum*. Niſi ſecus fiat a verbo κλῶ, *frango*, quaſi ſcilicet

1. διὰ τὸ βασιλικὸν) διογενεῖς, & διοτρεφεῖς βασιλῆας Homerus Reges appellat, utpote nobiliſſimos. Namque ea erat primaria apud veteres nobilitas, quæ genus ſuum ad Jovem referebat. *Salvinus*.

2. οὖθαρ ἀρούρης τὸ πῖον) Virg. 1. Æn. *Terra antiqua, potens armis, atque ubere glebæ*. Salvin.

3. Καὶ γὰρ θεωρεῖ μὲν αὐτὸς καὶ τὰ κάτω τοῦ ᾅδου) Heraclitus: ἀίδης γὰρ ἄβατος φιλοσοφίῃ χῶρος· ἀλλὰ μετ' ἐμοῦ, [illegible] ἵνα μηδὲ τῶν νεκρῶν ἀμύητος ᾖ. [illegible] καὶ πάντας ἀνθρώπους [illegible], [illegible] σοφίας [illegible]. Politus.

4. Τριγλώχιν δὲ οἰστὸς, ὁ τῆς φιλοσοφίας τριπλοῦς τρόπος) Τριγλώχιν οἰστὸς ἡ τριμερὴς φιλοσοφία. Politus.

5. ὅθεν καὶ γίνεται) παρὰ τὸ γωνίας ἔχειν. Polit.

cet κλωχὶν, ideſt, κεκλασμένη, *fracta*. quod idem eſt, ac ſi diceres, κλάσμα ἔχουσα, *habens fragmentum*. At verò ἡ γωνία, *angulus*, deducitur ex γόνυ, *genu*, productâ per ectaſin ſyllabâ, ut id etiam ex veteribus conſtat. Illud autem, Ἀΐδης πελώριος, *Pluto ingens, atque immanis*, urbanè aliquando dictum fuerit de homine edaci, & comedone, eoque admodum corpulento.

CXVI. Deinde hoc loci: ὠυτὸς ἀνὴρ, videlicet ὁ αὐτὸς, *idem vir*; ſciendum, diphthongum ωὐ in unâ quidem eademque voce plenè, atque explicatè efferri per dialyſin, ſeu litterarum diſſolutionem. ut θωϋμάσιος, ideſt, θαυμάσιος, *admirandus, admirabilis*, & ἑωυτοῦ pro ἑαυτοῦ, *ſui ipſius*: verùm in duabus vocibus ex litterarum craſi coaluiſſe, ratione contractionis, ſeu ſynæreſis. Ad hæc, ſicuti eſt φθογγὴ, φθόγγος, *ſonus*, χολὴ, χόλος, *ira, ſeu indignatio*, τιμὴ, τῖμος apud Comicum, ideſt, τίμημα. *pretium, ſive æſtimatio*, ποθὴ, πόθος, *deſiderium*, ὠνὴ, ὦνος, *emptio*, βολὴ, βόλος, *ictus, ſive jactus*, aliaque id genus; ita ſciendum, eſſe τὸ πύλη, *porta*, πύλος, genere maſculino. ut, ἐν πύλῳ βαλών. *in portâ vulnerans*. Non enim ἐν τῇ Πύλῳ τῇ πόλει, *in urbe Pylo*, Plutonem Hercules vulneravit; ſed apud inferos in ipsâ portâ Mortuorum. Ideoque, explicationis cauſsâ, addit: ἐν νεκύεσσι βαλών. *apud Mortuos, ſive apud inferos, vulnerans*. Porro autem βόλον, *jactum*, eum ſupra notavimus, qui ambiguo quodam ſenſu tum de teſſerarum jactu dicitur, tum etiam de jactu retis. Unde etiam in uſu verbum magnæ induſtriæ, ac diligentiæ τὸ βολίζειν, *bolidem demittere*. videlicet, demiſſo per funem ad perpendiculum plumbo, aut aliquo alio hujuſcemodi pondere, maris altitudinem metiri. Ab eo genere loquendi, quod eſt ὀδύναις δεδόσθαι, *traditum eſſe doloribus*, minimè abludit ὀδύναις πεπάρθαι, *transfixum eſſe doloribus*. Ideo, paullò poſt quàm dixerat, ὀδύνῃσιν ἔδωκε, *doloribus tradidit*; ſubjungit τὸ ὀδύνῃσι πεπαρμένος, *doloribus transfixus*, aptâ ſanè congruentique metaphorâ. Sicuti enim quis telo, ſic etiam dici poteſt acutis doloribus configi. Utrumque autem loquendi genus eſt per metaphoram fabulæ convenientem, & conſentaneam. Nam veluti quid corporatum, ſeu formâ corporis præditum, dolores ipſi ponuntur, quibus Pluto traditus fuit, immo verò & transfixus. Quod perinde fuerit, ac ſi diceretur vexatus, atque exagitatus. Porro autem, ut manus στιβαρὴ, *craſſa, atque ſolida*, humerus quoque στιβαρὸς, *craſſus*, ideſt, πυκνὸς, *denſus*, atque adeo ſolidus. a verbo ἔστιβον, *calcavi, denſavi, ſtipavi*: ex quo etiam verbo ὁ στίβος, *ſemita, via trita, veſtigium*, itemque ἡ στιβὰς, *culcitra, ſeu torus*. Τὸ ἠλήλατο, *adacta erat*, nunc quidem uſurpatur de ſagittâ; alibi verò de haſtâ. Quin & gladio quis poteſt διελαθῆναι, *transfigi, ſeu transverberari*.

At eum Pæon, medicamentis ad dolorem tollendam adſperſis,
Curavit. Neque enim mortalis erat.
Audax, facinoroſus, qui in rebus nefariis nihil penſi habebat,
Qui arcu, & ſagittis lædebat cœlicolas deos.
In te autem hunc concitavit dea cæſiis oculis Minerva.

CXVII. Ho-

κλωχίν τις, ἡ κεκλασμένη. ταυτὸν δ' εἰπεῖν, κλάσμα ἔχουσα. [1] Ἡ δὲ γωνία ὅτι ἀπὸ τοῦ γόνυ κατ' ἔκτασιν γίνεται, δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί. [2] Τὸ δὲ, Ἀΐδης πελώριος, ἐπιλεχθείη ἂν ποτε ἀστείως καὶ ἀνδρὶ φάγῳ μεγαλοσωμάτῳ.

ρις'. Ἐν δὲ τῷ, ὠυτὸς ἀνὴρ, ἤγουν ὁ αὐτὸς, ἰστέον, ὅτι ἡ ωὐ δίφθογγος, ἐν μιᾷ μὲν λέξει, κατὰ διάλυσιν προάγεται διεξοδικῶς. οἷον, θωϋμάσιος ὁ θαυμάσιος, καὶ ἑωυτοῦ ἀντὶ τοῦ ἑαυτοῦ· ἐν δὲ δυσὶ λέξεσι, [3] κέκραται τῷ λόγῳ τῆς συναιρέσεως. Ἔτι ἰστέον, ὅτι, ὥσπερ φθογγὴ φθόγγος· χολὴ χόλος· τιμὴ τῖμος παρὰ τῇ Κωμῳδίᾳ τὸ τίμημα· ποθὴ πόθος· ὠνὴ ὦνος· βολὴ βόλος· καὶ ἕτερα· οὕτω πύλη πύλος ἀρσενικῶς. οἷον, ἐν πύλῳ βαλών. Οὐ γὰρ ἐν τῇ Πύλῳ τῇ πόλει τὸν Ἅιδην ὁ Ἡρακλῆς ἔβαλεν, ἀλλὰ κάτω ἐν τῇ τῶν νεκρῶν πύλῃ. Διὸ καὶ ἑρμηνεύων, ἐπάγει· ἐν νεκύεσσι βαλών. Βόλον δὲ ἀνωτέρω ἔφαμεν, τὸν ὁμωνύμως λεγόμενον ἐπί τε τοῦ παιστικοῦ, καὶ ἐπὶ τοῦ κατὰ τὸ δίκτυον δέ. ὅθεν καὶ ῥῆμα σπουδαῖον ἐν χρήσει· [4] τὸ βολίζειν. ἤγουν βάθος θαλάσσης μετρεῖν, μολιβδίνῃ καθέτῳ, ἢ τοιῷδέ τινι. [5] Τῷ δὲ ὀδύναις δεδόσθαι, οὐκ ἀπέοικε, ὀδύναις πεπάρθαι. Διὸ εἰπὼν, ὀδύνῃσιν ἔδωκεν· ἐπάγει μετ' ὀλίγα τὸ, ὀδύνῃσι πεπαρμένος, προσφυῶς τρέψας. Ὡς γάρ τις βέλει, οὕτω καὶ ὀξείαις ὀδύναις πείρεσθαι λέγοιτ' ἄν. Τροπῆς δὲ οὔσι καὶ ἄμφω μύθῳ πρεπούσης. Ὡς οἷον γάρ τι σωματοειδὲς αἱ ὀδύναι ὑπόκεινται, αἷς ὁ Ἅιδης δέδοται, καὶ μὴν καὶ πέπαρται. Εἴη δ' ἂν ταυτὸν εἰπεῖν καὶ, ἐλήλαται. Στιβαρὸς δὲ ὦμος, καθὰ καὶ χεὶρ στιβαρὰ, ὁ πυκνὸς, καὶ *Baſ. p. 428.* οὕτω στερρὸς, [6] παρὰ τὸ ἔστιβον· ἐξ οὗ καὶ ὁ στίβος, καὶ ἡ στιβάς. Τὸ δὲ ἐλήλατο, νῦν μὲν ἐπὶ οἰστοῦ κεῖται· ἀλλαχοῦ δὲ καὶ ἐπὶ ἔγχους. καὶ ξίφει δέ τις διελαθῆναι δύναται.

Τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων,
Ἠκέσατ'. οὐ μὲν γάρ τι καταθνητός γ' ἐτέτυκτο.
Σχέτλιος, ὀβριμοεργὸς, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων,
Ὃς τόξοισιν ἔκηδε θεοὺς, οἳ Ὄλυμπον ἔχουσιν.
Σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε θεὰ γλαυκῶπις Ἀθήνη.

ριζ'. Ἀν-

1. Ἡ δὲ γωνία ὅτι ἀπὸ τοῦ γόνυ κατ' ἔκτασιν γίνεται) Etymologici Magni Auctor: ἐκ τοῦ γόνυ, τὸ κτητικὸν γωνία, κατ' ἔκτασιν τοῦ ι εἰς ω· ὅπερ ἐκτεταμένον, ἐν κεκλασμένῳ σχήματι φύσει προσοίσεται. Politus.
2. Τὸ δὲ, Ἀΐδης πελώριος, ἐπιλεχθείη ἂν ποτε ἀστείως καὶ ἀνδρὶ φάγῳ) Catull.
At vobis male ſit, malæ tenebræ
Orci, quæ omnia bella devoratis.
Salvinus.
3. κέκραται τῷ λόγῳ τῆς συναιρέσεως) Etymologici Magni Auctor: Ὠυτὸς ἀνὴρ, ἔστιν ὁ αὐτός. κατὰ κρᾶσιν τοῦ ο καὶ α εἰς ω μέγα, γίνεται ὠυτός. Id autem eſt Ionicè cum ſpiritu tenui. *Politus*.
4. τὸ βολίζειν) Italicè *ſcandagliare*, Gallicè *ſonder*. Salvinus.
5. Τῷ δὲ ὀδύναις) l. Τὸ δὲ ὀδύναις. Polit.
6. παρὰ τὸ ἔστιβον) Etymologici Magni Auctor. *Polit.*

ρζʹ. Ἀνθρωποπαθεῖς τοὺς θεοὺς Ὅμηρος ποιῶν, δίδωσιν αὐτοῖς ἀνθρωπίνως καὶ ἰατρὸν ἰώμενον τὰς, ὡς εἰκὸς, συμπιπτούσας πληγάς· ὃν καὶ ἀπὸ τοῦ παίω τὸ θεραπεύω ὀνοματοποιεῖ, καὶ Παιήονα καλεῖ, ὡς καὶ ἐν τῇ α´ ῥαψῳδίᾳ εἴρηται. ὅς ποτε καὶ τὸν Ἅδην, φη- Rom. p. 564. σὶν, ὀδυνήφατα φάρμακα πάσσων, ἠκέσατο βληθέντα ὑπὸ τοῦ Ἡρακλέους. τοῦτο δὲ, διὰ τὸ πιθανὸν τοῦ μύθου λέγει, ἵνα καὶ τὸν Ἄρην ἐνταῦθα ἰάσηται ὁ αὐτός. Τὴν γὰρ Ἀφροδίτην, οὐδενὸς τοιούτου ἀξιοῖ ὁ Ποιητὴς, ἀλλὰ τῇ τῆς Διώνης μόνῃ ἐπαφῇ θεραπεύει, διότι τε οὐκ ἀξιόλογον τὸ τραῦμα, καὶ ὅτι οὐδὲ θέλει πολυλογεῖν, καὶ εἰς οὐδὲν δέον ταυτολογεῖν. Ὅτι δὲ [1] Παιήων λέγεται καὶ ὕμνος εἰς Ἀπόλλωνα, ἐν τῇ α´ καὶ αὐτὸ εἴρηται. Λέγεται δὲ παιήων καί τι μέλος ἐπινίκιον, ὁποῖον Ἀχιλλεὺς ᾄδει, ἀνελὼν τὸν Ἕκτορα, ὡς ἐν τοῖς ἑξῆς φαίνεται. [2] Ὀδυνήφατα δὲ, τὰ, ὡς εἰπεῖν, ἀκεσώδυνα. Ταὐτὸν γὰρ, οὕτως, ἢ οὕτως εἰπεῖν· ὡς τὸ ἀκέσασθαι ὀδύνην, καὶ τὸ ὀδύνην φάσαι, ἤτοι φονεῦσαι, ὡς οἷά τινα πολεμίαν, ταυτὰ δηλοῦντος. Ἐνέργειαν δὲ σημαίνει τὸ ὀδυνήφατον. ἀνάπαλιν δὲ τούτου πάθος, τὸ μυλήφατον, καὶ τὸ πρόσφατον [3] ἐν τῷ, πρόσφατος νεκρὸς, ὁ ἐγγὺς καὶ πρὸ ὀλίγου φονευθείς. Ἔστι δέ πως καὶ διασαφητικὸν τῶν ἐνταῦθα φαρμάκων τὸ, ὀδυνήφατα. Εἰ γὰρ ὀδυνήφατά εἰσι, φέρουσιν ἄρα ἄκος, ὡς δηλοῖ καὶ τὸ, ἠκέσατο, [4] οὐ μὴν ἄχος, ὃ ταῖς φαύλαις φαρμάκοις ἐτυμολογικῶς ἔγκειται. Τὸ δὲ πάσσων, ῥιζοτόμον ἐμφαίνει καὶ τὸν Παιήονα, καὶ ἄλλως δὲ, βοτανῶν ἐπιλέκτην. ἃς τρίβων, ἐπέπασσε τοῖς χρήζουσι, ῥᾷον ἰώμενος, ὡς δῆλον ἐκ τοῦ, οὐ μὲν γάρ τι καταθνητός γ᾽ ἐτέτυκτο, ἢ μάλιστα, καταθνητός γ᾽ ἐτέτυκτο, ἐν ἑνὶ μέρει λόγου, κατὰ τὸ, θεοῦ ἐπιμήνις, καὶ βοῶν ἐπιβουκόλος, καὶ καταθνητῶν ἀνθρώπων, καὶ ὅσα τοιαῦτα. Ἔπαινος δὲ ἀγαθοῦ ἰατροῦ τὸ ῥηθέν.

ρηʹ. Βα-

CXVII. Homerus ut humanis morbis obnoxios deos ſacit, ita iis humano more medicum aſſignat, qui incidentibus, ut ſolet, vulneribus medeatur: cui etiam nomen attribuit, ductum a verbo *παίω*, quod eſt *cura*. Quippe vocat eum Παιήονα, *Pæonem*, ut dictum eſt in libro α´· qui quondam etiam Plutonem (ſic enim narrat) ab Hercule vulneratum, adſperſis ad mitigandos dolores medicamentis, curavit. Quod certè ad probabilitatem fabulæ commemorat, ut ſcilicet etiam Marti idem ipſe hoc loci medeatur. Nam Veneri quidem nullam ejuſcemodi curationem adhibendam cenſet Poëta; ſed uno ſoloque Diones attactu eam ſanat, tum quia non valde memorabile, nec magni admodum momenti eſt illud vulnus, tum quia neque ipſe vult multa verba conſumere, & ubi minimè omnium oportet, res eaſdem recoquere. Ceterùm & hymno in Apollinem nomen eſſe Pæoni, id ipſum notatum eſt in libro α´. Immo & Pæon, carmen quoddam dictum, quod, partâ victoriâ, canebatur. quale Achilles carmen canit, Hectore interfecto, ut clarè infra apparet. Ὀδυνήφατα, *dolorem pellentia*, *ſeu de medio tollentia*, eadem, ut ita dicam, atque ἀκεσώδυνα, *quæ dolori medentur*, *ſeu remedio ſunt doloribus*. Perinde enim eſt, hoc modo dicere, atque illo: quippe quum idem prorſus ſignificent τὸ ἀκέσασθαι ὀδύνην, *mederi dolori*, atque τὸ ὀδύνην φάσαι, *dolorem de medio tollere*, videlicet φονεῦσαι, *perimere*, *ſeu occidere*, quaſi quemdam videlicet hoſtem. Activo autem ſenſu dicitur τὸ ὀδυνήφατον, *dolorem de medio tollens*: quum e contrario paſſivam ſignificationem habeat τὸ μυλήφατον, *mola fractam*, *ſeu accisum*, itemque τὸ πρόσφατον, *recens interfectum*, ubi is, qui demortuus jacebat, dicitur πρόσφατος, ideſt, nuper, ſeu paullò ante, occiſus. Quin & id ipſum, quod dicit, ὀδυνήφατα, *dolorem de media tollentia*, valet quodammodo ad explicandum, quænam hic dicantur φάρμακα, *pharmaca*, *ſeu medicamenta*. Si enim ſunt ὀδυνήφατα, *apta ad dolorem pellendum*; φέρουσι igitur ἄκος, *ferunt medelam*, ut apertè etiam docet verbum ἠκέσατο, *adhibitâ medelâ*, *ſanavit*; non verò ἄχος, *dolorem*. quam quidem vocem ineſſe vult etymologia in malis φαρμάκοις, *pharmacis*, *ſeu medicamentis*, *ideſt*, *venenis*. Τὸ πάσσων, *adſpergens*, *ſive inſpergens*, non obſcurè ſignificat, extitiſſe Pæonem ῥιζοτόμον, *radicum ſectorem*, *ſeu herbarium*, ſive etiam, ut id aliter dicam, βοτανῶν ἐπιλέκτην, *herbarum legendarum peritum*. quas herbas tritas iis deorum, quibus opus erat, inſpergebat. Itaque faciliùs medebatur, ut palam facit illud: οὐ μὲν γάρ τι καταθνητός γ᾽ ἐτέτυκτο. *Nequaquam enim erat*, *ut mortales*. aut maximè, καταθνητός γ᾽ ἐτέτυκτο. *mortalis erat*. parte unâ orationis, ſimiliter atque illud: θεοῦ ἐπιμήνις. *dei ira permanens*, *atque durans*. & βοῶν ἐπιβουκόλος, *boum bubulcus*. & καταθνητῶν ἀνθρώπων. *mortalium hominum*. & quæcumque alia id genus. Laus autem boni medici ea eſt, quem diximus.

CXVIII. Dio-

1. Παιήων λέγεται καὶ ὕμνος εἰς Ἀπόλλωνα) Pæan, ipſe Apollo dicitur a ſaucio Pythone, & hymnus etiam in ejus laudem, ex cantilenâ illâ: ἰὴ παιάν. ἰὴ παιάν, Iliad. α´. Οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο, Καλὸν ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν Μέλποντες ἑκάεργον. Salvinius.

2. Ὀδυνήφατα δὲ, τὰ, ὡς εἰπεῖν, ἀκεσώδυνα) Hesychius: ὀδυνήφατα, τὰ τὴν ὀδύνην παύοντα, ἀφανίζοντα τὰς ὀδύνας, ἢ παυσίπονα. Etymologici Magni Auctor: ὀδυνήφατα φάρμακα, τὰ τὰς ὀδύνας παύοντα, καὶ φθείροντα. Politus.

Medici, hujuſmodi medicamenta dolorem pellentia, vel lenientia, vocant ἀνώδυνα. ut ἄλιμα, quæ famem pellunt, vel mitigant. Salvinius.

3. ἐν τῷ πρόσφατος νεκρὸς) lib. ω´ Il. Νῦν δέ μοι ἑρσήεις, καὶ πρόσφατος ἐν μεγάροισι κεῖται. Eſt πρόσφατος ὁ νεωστὶ πεφονευμένος. Etymologici Magni Auctor: πρόσφατον, κυρίως ἐπὶ τοῦ νεωστὶ πεφονευμένου εἴρηται. οἷον, Νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος. ἐκ τοῦ φῶ τὸ φονεύω. καὶ πρόσφατον ὄψον, τὸ νεοσφαγές. Generatim Heſychio πρόσφατον, τὸ ἀρτίως γινόμενον, νέον, νεαρόν. Sed quid inter τὸ νεαρὸν, & τὸ πρόσφατον ſit differentiæ, aperit Ammonius. Politus.

4. οὐ μὴν ἄχος, ὃ ταῖς φαύλαις φαρμάκοις ἐτυμολογικῶς ἔγκειται) Etymologici Magni Auctor v. φάρμακον· παρὰ τὸ φέρειν τὸ ἄκος, φέρακόν τι ὄν· ἐπὶ δὲ τῶν κακῶν, παρὰ τὸ φέρειν τὸ ἄχος. τὸ σημαῖνον τὴν βλάβην. Politus.

Φάρμακα λυγρὰ, καὶ ἐσθλά. Hom. in Odyſſ. V. Digeſtorum titulum, de ſignificatione verborum, in Voce Venenum. Salvinius.

CXVIII. Dione graviter contra Herculem commota, compoſitu ad vehementiam dicendi genere, his eum maledictis per commata, & inciſa proſcindit: Σχέτλιος, ὀβριμοεργὸς, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων. *Audax, facinoroſus, qui in rebus nefariis perpetrandis nihil penſi habebat.* videlicet nullo prorſus cujuſquam reſpectu, nullâque curâ movebatur, quin injuriâ eum afficeret. Tum commiſsæ injuriæ, & maleficii genus exponit his verbis: Ὃς τόξοισιν ἔκηδε θεούς. *Qui arcu, atque ſagittis contriſtabat deos.* hoc eſt, ἔβλαπτε, *lædebat, atque offendebat.* Et obſerva, ut neque hoc loci vox aſperæ admodum contumeliæ illa eſt, σχέτλιος, *audax, ſeu temerarius*, ut neque illa, ὀβριμοεργὸς, *facinoroſus*; ſed acrem ſignificat, & temerarium, ingenioque præditum vehementi, atque præcipiti ad facienda facinora non bona: quem ſanè oportebat non ita ſtatim eſſe comparatum, ſed σχέσθαι, καὶ τλῆναι, *abſtinere, atque perpeti*. Uſui autem poteſt eſſe τὸ σχέτλιος, *audax*, totuſque deinceps verſus, ad hominem ferocem, atque aſperum, & injurium vituperandum. Præterea, quum ex eisdem verbis compoſita ſint hæc nomina, ſcilicet ἡ ἐχέτλη, *ſtiva*, quæ ad agriculturam pertinet, & ὁ σχέτλιος, *audax*; tamen obſerva, magnam eſſe utriuſque in ſignificando differentiam. Nam σχέτλιος quidem, *i. e. audax*, ille eſt, quem modò diximus; ἐχέτλη verò, *ſtiva*, illa, ἣς ἔχεταί τις τλημόνως, *quam quis patienter tenet*. Quid porrò ſit τὸ ἄσυλον, *injuſtum, iniquum, nefarium*, & unde fiat, alibi oſtendendum eſt. Quod autem hic ſcire oportet, ὁ αἴσυλα ῥέζων, *is, qui mala, & nefaria facinora facit*, dicitur etiam αἰσυλοεργὸς, *maleficus*, ratione, & analogiâ eadem, atque ὁ ὀμβριμοεργὸς, *facinoroſus*. Vida denique τὸ ὅς, *qui*, ſemel atque iterum continenter poſitum, per repetitionis figuram, in his verbis: ὃς οὐκ ὄθετο. *qui non curabat, nec penſi quidquam habebat.* & , ὃς ἔκηδε. *qui lædebat.*

Demens. Neque illud in animo cogitat Tydei filius,
Non valdè longævum eum eſſe, qui cum immortalibus pugnat,
Neque eum filios in genibus pappam eſſe compellaturos,
Poſteaquam ex bello, & gravi pugnâ redierit.

CXIX. Quemadmodum ſupra ſcriptum eſt, Poëtica plerumque Muſa ſolet verſûs initio per modum inclamationis adhibere τὸ νήπιος, *ſtultus, demens, imprudens*, in eos, qui grave aliquod & memorabile erratum admiſerunt. Ut & hoc loci νήπιος, *ſtultus*. Diomedes nimirum. *Neque illud in mente, neque in animo cogitat, non valde longævum eum eſſe, qui cum immortalibus pugnat.* Quod quidem cum ſequentibus verbis, ſi per parœdiam imitando accommodatur, recta evadere poteſt gnome, atque ſententia. Ut ſiquis, exempli cauſsâ, dixerit, non valde longævum eum futurum, quicumque cum deo pugnaverit; neque eum filios ad genua blando pappæ nomine eſſe compellaturos, reducem ex bello, & gravi pugnâ. i. e. δηϊοτῆτος. qua de voce, quid cauſſæ ſit, quamobrem in recto acuatur (eſt enim ἡ δηϊοτὴς, *pugna*, ut ἡ βραδυτὴς, *tarditas*) alibi explicabimus. Verùm hîc obſerva novam, atque elegantem ſtructuram orationis. Poſtea enim, quàm dixerat: Σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκεν ἡ Ἀθηνᾶ. *In te autem hunc incitavit Minerva*; ſtatim ſubjicit

ριη'. Βαρυνομένη κατὰ Ἡρακλέους ἡ Διώνη, φησὶ κομματικῶς, ὑβρίζουσα, κατὰ σχῆμα σφοδρότητος, οὕτω· Σχέτλιος, ὀβριμοεργὸς, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων. ἤγουν οὐκ ἐπεστρέφετό τινος ἀδικῶν. Εἶτα καὶ τὸ εἶδος τῆς ἀδικίας ἐκτιθοῦσα, φησίν· Ὃς τόξοισιν ἔκηδε θεούς. ὅ ἐστιν, ἔβλαπτε. Καὶ σημείωσαι, ὅτι τὸ, σχέτλιος, οὐδ' ἐνταῦθα πάνυ τραχεῖα ὕβρις ἐστὶν, ὡς οὐδὲ τὸ ὀβριμοεργός· ἀλλὰ τὸν ὀξὺν δηλοῖ, καὶ ἰταμὸν, καὶ σφοδρὸν εἰς τὸ ποιῆσαί τι οὐκ ἀγαθόν· ὃν ἔδει μὴ τοιοῦτον εὐθὺς εἶναι, ἀλλὰ σχέσθαι, καὶ τλῆναι. Χρήσιμον δὲ τὸ σχέτλιος, καὶ ἑξῆς ὅλον τὸ ἔπος, εἰς ψόγον ἐμβριθοῦς ἀδίκου ἀνδρός. Σημείωσαι δὲ, ὡς τῶν αὐτῶν ῥημάτων συντιθέντων τήν τε γεωργικὴν ἐχέτλην, καὶ τὸν σχέτλιον, ὅμως ἐν ἀμφοῖν πολλή ἡ κατὰ νοῦν διαφορά. σχέτλιος μὲν γὰρ, ὁ προσεχῶς δηλωθείς· ἐχέτλη δὲ, ἧς ἔχεταί τις τλημόνως. Τί δὲ ἐστι τὸ ἄσυλον, καὶ ὅθεν γίνεται, φανεῖται ἀλλαχοῦ. Ἐνταῦθα δὲ ἰστέον καὶ, ὅτι ὁ αἴσυλα ῥέζων, καὶ αἰσυλοεργὸς λέγεται ἀναλόγως τῷ ὀμβριμοεργός. Ὅρα δὲ καὶ τὸ ὅς, δὶς κείμενον συνεχῶς, κατὰ σχῆμα ἐπαναφορᾶς, ἐν τῷ, ὃς οὐκ ὄθετο. καὶ, ὃς ἔκηδεν.

Νήπιος. οὐδὲ τὸ οἶδε κατὰ φρένα Τυδέος υἱὸς,
Ὅττι μάλ' οὐ δηναιὸς, ὃς ἀθανάτοισι μάχοιτο,
Οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν
Ἐλθόντ' ἐκ πολέμοιο, καὶ αἰνῆς δηϊοτῆτος.

ριθ'. Ὡς καὶ προγέγραπται, τὸ νήπιος, ἐπιφωνεῖν εἴωθεν ἐν ἀρχῇ στίχου πολλαχοῦ ἡ ποιητικὴ Μοῦσα τοῖς ἀξιόν τι λόγου πλημμελήσασιν. ὡς καὶ ἐνταῦθα νήπιος. ὁ Διομήδης δηλαδή. οὐδὲ τὸ οἶδε κατὰ φρένα, καὶ κατὰ θυμὸν, ὅτι μάλα οὐ δηναιὸς, ὃς ἀθανάτοισι μάχεται. Τοῦτο δὲ παρῳδηθὲν, δύναται γνωμικὸν ὀρθὸν σὺν τοῖς ἑξῆς γενέσθαι. οἷον ἵνα εἴπῃ τις, ὅτι μάλα οὐ δηναιὸς, ὃς ἄν γε θεῷ μάχηται, οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν ἐλθόντ' ἐκ πολέμου, καὶ αἰνῆς δηϊοτῆτος. περὶ ἧς διατί ὀξύνεται ἐν τῇ εὐθείᾳ (ἡ δηϊοτὴς γάρ ἐστιν, ὡς ἡ βραδυτής) ῥηθήσεται ἀλλαχοῦ. Σημείωσαι δὲ ἐνταῦθα τὸ καινοπρεπὲς τῆς συντάξεως. Εἰπὼν γὰρ, Σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκεν ἡ Ἀθηνᾶ, ἐπάγει εὐθὺς τὸ, Νήπιος, οὐδὲ τὸ οἶδε κατὰ φρένα Τυδέος υἱὸς

2. τὸ νήπιος, ἐπιφωνεῖν εἴωθεν ἐν ἀρχῇ στίχου) Sic Virg. de Salmoneo l. VI.

Demens, qui nimbos & non imitabile fulmen
Ære, & cornipedum curſu ſimularat equorum.

& aliis in locis. *Salvinus.*

Non tam ad ἐπιφώνημα, quàm προεφώνημα, ſeu ἐπιπροφώνημα. Politus.

2. μάλα οὐ δηναιὸς, ὃς ἄν γε θεῷ μάχηται) In ſacris literis, qui parentes ſuos non honorat, dicitur, eum non fore longævum ſuper terram. *Salvinus.*

3. ἡ δηϊοτὴς γάρ ἐστιν, ὡς ἡ βραδυτής) Etymologici Magni Auctor: τὰ εἰς τὴς θηλυκὰ ὀξύνεται, βαρύνεται, πλὴν τῶν ταχυτὴς, βραδυτὴς, ἀνδροτὴς, δηϊοτὴς. Polit.

εἰς τὸ Ἀθηνᾶ. Καὶ οὐδὲν μὲν ἐκώλυεν εἰπεῖν, Σοὶ δὲ τοῦτον ἀνῆκεν ἡ Ἀθηνᾶ νήπιον, κατὰ πτῶσιν αἰτιατικήν· [1] προέκρινε δὲ τὸ καινότερον. Ἰστέον δὲ, ὡς, εἰ καὶ ἀφελὴς ἔννοια τὸ, Οὐδέ τι μιν παῖδες ποτὶ γούνασι παππάζουσι· ἀλλ' ἔχει ἄλλως ὕψος ὁ λόγος, διὰ τὸ γνώμης ἔνδοξον. Διδάσκει γὰρ, ὅτι τῶν θεομάχων οἱ παῖδες ταχὺ ὀρφανίζονται. Ὀνοματοπεποίηται δὲ τὸ παππάζειν, ὡς καὶ τὸ
Rom. p. 567. ποππύζειν. [2] καὶ δηλοῖ τὸ βρεφικῶς προσφθέγγεσθαι τὸν πατέρα.

ρκ'. Ἐκ δὲ τῆς λέξεως ταύτης καὶ ὁ πάππος, [3] καὶ πάππας αὐτὸς ὁ πατὴρ, πᾶς λεγόμενος μονοσυλλάβως, [4] κατὰ βρέφους προσφώνησιν, καθά φασιν οἱ παλαιοί· ὥσπερ καὶ μᾶ ἡ μήτηρ. [5] καὶ, κατὰ ἀναδιπλασιασμὸν,
Bas. p. 429. πάπας, καὶ παπίας. ὡς μαμμία ἡ ῥηθεῖσα μᾶ. Ἐνταῦθα δὲ χρήσιμον καὶ τὸ τοῦ Ἀρριανοῦ εἰπόντος ἐν Βιθυνιακοῖς, ὅτι ἀνιόντες εἰς τὰ ἄκρα τῶν ὀρῶν Βιθυνοὶ, ἐκάλουν πάπαν τὸν Δία, καὶ Ἄττιν τὸν αὐτόν. ὁμοίως καὶ Ἡροδότου τὸ, καλεῖσθαι Ζεὺς ὑπὸ Σκυθῶν [6] ὀρθότατα Παπαῖος. ἐξ ὧν συνάγεται, θείαν εἶναί τινα λέξιν τὸ πάπας, καὶ πάππος, καὶ τὰ τοιαῦτα. Ἰστέον δὲ καὶ, ὅτι ὁμώνυμος ὢν ὁ πάππος, δηλοῖ, ὡς ἐξ ὁμοιότητος ἴσως [7] τοῦ παρ' ἡμῖν προγόνου γέροντος πάππου, [8] καὶ τὸ ἀκάνθινον ἐν ξηρότητι πολίωμα. [9] ὅπερ Ἄρατος λευκῆς γήρειον ἀκάνθης λέγει. καὶ ὅτι παππάζειν μὲν ἐπὶ μόνων ἀνθρώπων· ποππύζειν δὲ, καὶ ἐπὶ ἀλόγων. [10] Οὐ γὰρ μόνον τροφέες βρέφη, [11] ἀλλὰ καὶ ἵππους, καὶ βόας οἱ ἐπιμεληταὶ ποππύζουσι. καὶ ὅτι τὸ ποππύζειν, καὶ [12] ποππυλιάζειν λέγεται Δωρικῶς. Θεόκριτος· [13] καὶ ἁδύ τι ποππυλιάσδει. Τινὲς δὲ αὐτὸ παππυλιάσδει γράφουσι. Παρὰ δὲ τοῖς παλαιοτέ-

cit τὸ Νήπιος, *Demens*. poſito puncto, tamquam in fine perfectæ ſententiæ, ad τὸ Ἀθηνᾶ, *Minerva*. Quumque nihil vetaret dicere: Σοὶ δὲ τοῦτον ἀνῆκεν ἡ Ἀθηνᾶ νήπιον. *In te autem hunc incitavit Minerva dementem*, accuſandi caſu; tamen novam loquendi formam prætulit. Etſi verò ſimplex eſt ſenſus horum verborum: Οὐδέ τι μιν παῖδες ποτὶ γούνασι παππάζουσι. *Neque eum filii ad genua pappæ nomine compellant*; tamen ſciendum, ſuam alioquin orationi huic ſublimitatem ineſſe, a gnomes, ſeu ſententiæ illius ſplendore, atque celebritate. Docet enim, eorum filios, qui adverſus deum pugnant, orbos cito parentibus fieri. Fictum eſt autem per onomatopœjam verbum παππάζειν, *pappaſſare, dicere pappa, pappæ nomine patrem compellare*: ſicuti etiam τὸ ποππύζειν, *poppyſſare, poppyſmis proſequi, ſibilare*. Et vocem parvulorum ſignificat, cum patrem ipſi compellant, aut alloquuntur.

CXX. Ex hac porro voce appellari cœptus ὁ πάππος, *avus*, & πάππας, *pappas*, ipſe pater: quippe quum πᾶς, *pas*, unâ ſyllabâ, ut veteres ajunt, vocetur a puero patrem ſuum compellante: ſicuti etiam μᾶ, *ma*, ipſa mater. & per reduplicationem, πάπας, *papas*; itemque παπίας, *parvus papas, ſeu pater*. ut μαμμία, *matercula*, ipſa μᾶ, *ma*, quam diximus. Cum his autem facit id, quod in Bithyniacis tradit Arrianus, ſolitos fuiſſe Bithynos, montium ſummitatibus conſcenſis, πάπαν, *papam*, Jovem vocare, eumdemque Attin. Ac ſimiliter id, quod ſcribit Herodotus, Jovem a Scythis rectiſſimè appellatum Παπαῖον, *Papæum*. Ex quibus colligitur, divinam vocem eſſe τὸ πάπας, *papas*, & πάππος, *pappus*, aliaque huius generis. Quum autem ὁ πάππος, *pappus*, vox ſit ambigua, atque anceps, ſciendum, tamquam fortaſſe ductâ ſimilitudine a πάππῳ, *pappo*, qui apud nos dicitur avus ſenex, eâ etiam voce ſignificari albam, & veluti caneſcentem languinem ſpinarum, ſive carduorum, poſteaquam aruerunt. quam quidem languinem Aratus vocat λευκῆς γήρειον ἀκάνθης. *albæ pappum, ſeu florem ſpinæ iam ſeneſcentis*. Sciendum etiam, παππάζειν, *pappaſſare, ſeu dicere pappa*, locum tantummodò habere in hominibus; at verò ποππύζειν, *poppyſſare, poppyſmos, & ſibilos edere, poppyſmis proſequi, & demulcere*, in brutis etiam animantibus. Non enim tantùm parvulos nutricii; verùm etiam equos, & boves ii, qui eorum curam gerunt, ποππύζουσι, *poppyſmis, & ſibilis demulcent*. Ad hæc, τὸ ποππύζειν, *poppyſſare, ſeu poppyſmos facere*, Doricè quoque dicitur ποππυλιάζειν, *poppyliaſſare, ſeu poppyliaſmos facere*. Theocritus: καὶ ἁδύ τι ποππυλιάσδει. *& ſuaves facit poppyliaſmos, ſeu ſuaves ſibilos edis*. Quod tamen nonnulli

1. προέκρινε δὲ τὸ καινότερον) novum grammaticis, qui omnia in ſuos canones ſolunt includere. *Salvinus*.

2. καὶ δηλοῖ τὸ βρεφικῶς προσφθέγγεσθαι τὸν πατέρα) Heſychius: παππάζουσι, πατέρα προσαγορεύουσι. παπίας δὲ ἡ λέξις ἀπὸ τῶν παιδίων, ἃ τοῖς πατράσι λέγει πάππα. Scholiaſta Homericus: παππάζουσι, πάππα φωνοῦσι, πατέρα καλοῦσι. Ἐτυμολογεῖ τὰς τῶν παίδων φωνάς. Polous.

3. καὶ πάππας αὐτὸς ὁ πατὴρ) Heſychios: πάππας, πατρὸς ὑποκόρισμα. Polit.

4. κατὰ βρέφους προσφώνησιν) Heſychius: πάππα, προσφώνησις παιδὸς πρὸς πατέρα. Hæc προσφώνησις, παππασμός. Suidas: παππασμὸς, προσφώνησις παρὰ παιδὸς εἰς πατέρα γενομένη. Polit.

5. καὶ, κατὰ ἀναδιπλασιασμὸν, πάπας) Etymologici Magni Auctor: πᾶς, δύο σημαίνει· καὶ τὸν πατέρα, ὃ κατὰ ἀναδιπλασιασμὸν, παπᾶς. τοῦτο δὲ οἱ μὲν Ῥωμαῖοι βαρύνουσι, πάπας λέγοντες· ἡμεῖς δὲ περισπῶμεν. Polit.

6. ὀρθότατα) Addit Herodotus l. 4. n. 59. κατὰ γνώμην γε τὴν ἐμήν. Polit.

7. τοῦ παρ' ἡμῖν προγόνου γέροντος πάππου) τοῦ τε πρὸς πατρὸς, καὶ τοῦ πρὸς μητρός. Polit.

8. καὶ τὸ ἀκάνθινον ἐν ξηρότητι πολίωμα) Heſychius: πάππος, ἀκάνθης ἄνθημα (Sic enim lego. nam vulgò locus eſt contaminatus) ὅταν γηράσῃ, καὶ ἀποξηρανθῇ, καὶ πρὸ ἀνέμων ἐκφυσᾶται). καὶ τοῦτο ἐκ τοῦ πεπαλαιῶσθαι. Euſtathius paullò antea καὶ ἀκάνθης ὡς λευκὸν ἐξανθοῦσαν. Polo.

9. ὅπερ Ἄρατος λευκῆς γήρειον ἀκάνθης λέγει) Aratus Dioſemeiais:

Ἤδη καὶ πάπποι, λευκῆς γήρειον ἀκάνθης.

Scholiaſta: ἡ ἄκανθα ὁ καλούμενος κνῆκος, ἐπειδὰν ἐξανθήσῃ, ἀνθεῖ) γήρειον δὲ αὐτός ἐστιν, ὁ καλούμενος πάππος. ἐν δὲ τοῖς παραθαλαττίοις χωρίοις, ἐπειδὰν πολὺς ἄνεμος, οἱ πάπποι αὖροι ὄντες, καὶ ἄρρητοι, ἢ θρυπτοί, καὶ ὑπὸ ὀλίγου ἀνέμου ἀναξηρανθέντες, ἐμπίπτουσι τῷ ὕδατι, καὶ ἐπιπλέουσι, δῆλόν ἐστιν, ὅτι ἄνεμος κατιόντος σημεῖόν ἐστιν. Politus.

Lucr. l. 3. nec plumas avium, papposque volantes. Salvinus.

10. Οὐ γὰρ μόνον τροφέες βρέφη) Poppyſmos non valdè in hominibus laudat Clemens Alexandrinus in Pædagogo. *Politus*.

11. ἀλλὰ καὶ ἵππους) Inde Etymologo ποππύσματα, κολακεῖαι ἵππους ἀλαμαζόνας. Suidæ idem ποππυσμὸν, κολακεῖαι εἰς τοὺς ἀδαμάστους ἵππους. Polit.

12. ποππυλιάζειν) Malim ποππυλιάσδειν. Id enim eſt Doricum. *Politus*.

13. καὶ ἁδύ τι ποππυλιάσδει) καὶ ἡδύ τινα συριγμὸν συρίζει. Scholiaſta. *Polit*.

nulli ſcribunt παππυλιάσδω, pappyliaſſit, ſeu facit pappyliaſmos. Afferuntur etiam apud vetuſtiores hæc, quæ ſequuntur: Πάπας, Papa, Romanâ linguâ, patrem ſignificat. Atque id quidem Romani proferunt accentu gravi; nos autem circumflexo. Verùm, ſecundùm alios, apud Syracuſanos πάπας, papa, pater ipſe dicitur: quod, geminatâ litterâ, fit πάππας, pappa. & vox eſt honoris, qua filii patrem compellant. Rurſus τὸ ποππύζειν, poppyſmos facere, genus eſt blandiendi: & πόππυσμα, poppyſma, blandimentum eſt, quod fit equis needum domitis.

CXXI. Præterea in Dictionario Oratorio, eo quidem loci, quo affertur expoſitio vocum ad cognationem pertinentium, hæc etiam ſcribuntur: Παππίζειν, pappiſſare, idem eſt, atque πάππαν, pappam, ſeu patrem, vocare etiam παππίαν, pappiam, ideſt, parvum papam, ſeu paterculum. Sic autem patrem appellant Attici per nomen diminutivum. Nutricium verò nemo quiſquam Græcorum (hæc enim ibi verba) πάππαν, pappam, vocat. Nominum item, quibus cognatio, generiſque propinquitas declaratur, alia quidem ſunt omnibus communia, puta, pater, mater, frater, & alia hujuſcemodi. Sic autem intelligo, neminem prorſus eſſe, qui unum aliquem alterius cujuſquam patrem, & filium, & fratrem vocare non poſſit. Verùm eorum nominum alia propriè, ac peculiariter ratione perſonæ dicuntur. quomodo ſororem non niſi ſoror ἄππαν, appham, Atticè appellaverit; & patrem non niſi filius πάππαν, pappam; ſicuti etiam matrem μαμμίαν, mammiam, ſeu materculam: præter alia id genus, quibus etiam quis accenſebit τὸ ἠθεῖος, frater natu maior, ideoque venerandus Sciendum autem eſt, ex ἄπφα, appha, ſeu ſoror, ut diximus, fieri etiam τὸ ἄπφιον, parvam appham, ſororculam, quæ eſt per nomen diminutivum blanda amicæ appellatio. Quamquam nonnulli τὸ ἄπφα, appha, ſororcula, dicunt nomen diminutivum Atticum. Attamen ὁ ἀπφὺς, paterculus,

Tom. III.

τέροις φέρεται, καὶ ὅτι [1] πάπας, τῇ Ῥωμαίων φωνῇ, πατέρα σημαίνει. καὶ ὅτι Ῥωμαῖοι μὲν, αὐτὸ βαρυτόνως προφέρουσιν· [2] ἡμεῖς δὲ περισπωμένως. Ἄλλοι δὲ, ὅτι παρὰ Συρακουσίοις πάπας ὁ πατήρ· [3] ὃ, κατὰ ἀναδιπλασιασμὸν, πάππας γίνεται, [4] προσφώνησις ὂν τιμητικὴ υἱῶν πρὸς πατέρα. καὶ ὅτι [5] κολακεύειν τί ἐστι τὸ ποππύζειν, καὶ πόππυσμα, κολακεία ἵππων ἀδαμάστων.

ρκα΄. Ἐν δὲ ἐκθέσει συγγενικῶν λέξεων φερομένων ἐν ῥητορικῷ Λεξικῷ, γράφεται καὶ ταῦτα· [6] Παππίζειν, τὸ πάππαν καλεῖν [7] καὶ παππίαν. [8] Οὕτω δὲ τὸν πατέρα οἱ Ἀττικοὶ ὑποκορίζονται. [9] Τὸν δὲ τροφέα, πάππαν, οὐδείς, φησιν, Ἑλλήνων καλεῖ. καὶ ὅτι τῶν συγγενικῶν ὀνομάτων τὰ μέν ἐστι κοινὰ πάντων, οἷον πατήρ, μήτηρ, ἀδελφὸς, καὶ τὰ ὅμοια. Λέγω δὲ, ὅτι πᾶς ἂν εἴποι πατέρα τὸν δεῖνα τοῦ δεῖνος, καὶ υἱὸν, καὶ ἀδελφόν. τὰ δ' ἐκ προσώπου λέγεται ἰδίως. οἷον, [10] ἄπφαν τὴν ἀδελφὴν Ἀττικῶς μόνη ἡ ἀδελφὴ εἴποι ἄν, καὶ πάππαν τὸν πατέρα μόνος ὁ παῖς· [11] ὥσπερ καὶ μαμμίαν τὴν μητέρα· καὶ τὰ ὅμοια, ἐν οἷς θήσει τις καὶ τὸ, [12] ἠθεῖος. Ἰστέον δὲ, ὅτι ἐκ τοῦ, ὡς ἐῤῥέθη, ἄπφα, γίνεται [13] καὶ τὸ ἄπφιον, ὑποκόρισμα ὂν ἐρωμένης. Τινὲς δὲ καὶ τὸ ἄπφα, [14] ὑποκόρισμά φασιν Ἀττικόν. [15] ὁ μέντοι ἀπφὺς παρὰ Θεοκρίτῳ, πατρὸς

1. πάπας, τῇ Ῥωμαίων φωνῇ, πατέρα σημαίνει) Etymologici Magni Auctor: Παππίας, παρὰ τὸ πάπα, ὃ σημαίνει τῇ τῶν Ῥωμαίων φωνῇ τὸν πατέρα. Papam Romani κατ' ἐξοχὴν vocamus Romanum, eumque Catholicum Pontificem, πατέρων πατέρα. Politus.

2. ἡμεῖς δὲ περισπωμένως) Notavimus paullò ante ex Etymologo. Polit.

Παπᾶς. Sacerdos. παπαδόπουλος, parvus Sacerdos, apud hodiernos Græcos. Salvinus.

3. ὃ, κατὰ ἀναδιπλασιασμὸν) ideſt, κατ' ἀναδιπλασιασμὸν τοῦ π', ut eſt apud Suidam. Quod ſi animadvertiſſet Henricus Stephanus, non ei planè mendoſum viſum fuiſſet prius illud Πάππας. quaſi ea eo cum ullâ reduplicatione fieri non potuerit Παππας. Quare, ut locum daret reduplicationi, pro πάππας reponendum ſuſpicabatur πάς. At cum Euſtathio diſertè hoc loci facit Suidas: ἄπα δὲ λέγεται παρὰ Συρακουσίοις ὁ πατὴρ πάπας. καὶ, κατ' ἀναδιπλασιασμὸν τοῦ π', πάππας. Hæc ego primùm ſcripſeram. Poſtea animadverti, conjecturæ Henrici Stephani favere Etymologum, cujus hæc verba: ἄπα λέγεται παρὰ Συρακουσίοις ὁ πατὴρ, πάς· καὶ, κατὰ ἀναδιπλασιασμὸν τοῦ π', πάππα. Unde facile ſit ſuſpicari, tam hic apud Euſtathium, quàm apud Suidam, pro πάπας, reſcribendum πάς. Politus.

4. προσφώνησις ὂν τιμητικὴ υἱῶν πρὸς πατέρα) Etymologus: πάππα, προσφώνησις τιμητικὴ υἱῶν πρὸς πατέρα. Suidas: τὸ πάππα, καὶ τὸ ἄππα ὁ φίλος ὁ πατὴρ, ἀλλὰ πρὸς πατέρα σεπτικὴ φωνή. Polit.

5. κολακεύειν τί ἐστι τὸ ποππύζειν) Heſychius: ποππύσματα, κολακεύματα. Polit.

6. Παππίζειν) Παππίζω Suidas ex Ariſtophane, tamquam videlicet a παππίας. Verum loco illo Ariſtophanis in Veſpis: Καὶ παππίζοντ' ἅμα τῇ γλώττῃ τὸ τριώβολον ἑλκυσόμενοι· pro παππίζοντα, alii legunt παππάζοντα. Polit.

7. καὶ παππίαν) καὶ παππίδιον. Polit.

8. Οὕτω δὲ τὸν πατέρα οἱ Ἀττικοὶ ὑποκορίζονται) Ariſtophanes Veſpis: ὦ παππία. & Pace: ὦ παππία. Polit.

9. Τὸν δὲ τροφέα, πάππαν οὐδείς, φησι, Ἑλλήνων καλεῖ) Nutricium ſanè nemo quiſquam Græcorum πάππαν vocat. Sed tamen πάππα, vox eſt, qua puerulus non patrem modò, ſed & nutricium compellat. Suidas: ὅτι πάππα, καὶ τέττα, καὶ ἄττα, οὐχ ὁ τροφὸς, ὡς ἀνθ' ἑνὸς ἔχει, ἀλλὰ προσφώνησις πρὸς τροφέα. Quippe nutricius eſt loco patris. Politus.

10. ἄπφαν τὴν ἀδελφὴν Ἀττικῶς μόνη ἡ ἀδελφὴ εἴποι ἄν) Alii ἄπφαν παροξυτόνως. Polit.

11. ὥσπερ καὶ μαμμίαν τὴν μητέρα) Suidas: μαμμίαν Ἀττικοὶ τὴν μητέρα, ἀπὸ τοῦ τὰ παιδία μαμμᾶν τὸ φαγεῖν λέγειν. Eamdem etiam μάμμην, & μάμμιον. Μαμμα apud Heſychium, ὑποκόρισμα μητρὸς ἐν παιδίῳ Ἀττικοί. Phrynichus in Eclogis: μάμμαν μὲν οὖν, καὶ μάμμιον τὴν μητέρα (οἱ ἀρχαῖοι.) Thomas Magiſter: μάμμη μὲν οὐ τὴν μητέρα τινος αὐτοῦ, μάμμαν, καὶ μάμμιον ἐκάλουν (οἱ ἀρχαῖοι). οὐ δὲ μητέρα λέγε. Euſtathius: ἔν (τοῦτο) ὡς ἐκεῖνοι Αἴλιος Διονύσιος, ἐκάλουν οἱ Ἀττικοὶ μάμμαν ἁπλῶς· ὡς τῶν πολλῶν ἄπο τὴν μητέρα λεγόντων. & ſuiſſe: μάμμαν οἱ Ἀττικοί, καὶ μαμμάριον τὴν μητέρα καλοῦσι. Inepeiæ a Græcis Magiſtris reprehenſi, qui μάμμην aviam vocarent. Politus.

12. ἠθεῖος) Pollux: ὁ δὲ πρεσβύτερος ἀδελφὸς, ὑπὸ τοῦ νεωτέρου ἠθεῖος καλεῖται. Et ἠθεῖε, vox eſt honoris, & obſervantiæ ſimul in minoris erga majorem ortu. Heſychius: ἠθεῖε, προσφώνησις νεωτέρου ἀδελφοῦ πρὸς πρεσβύτερον· οἱ δὲ, ὦ ἀδελφὲ ἥδιστε, φίλτατε. Etymologus: ἔστι δὲ προσφώνησις τιμητικὴ νεωτέρου ἀδελφοῦ πρὸς πρεσβύτερον, καὶ παλαιοτέρου κατὰ τιμήν. Suidas: ἠθεῖε. τοῦτο οὐ ψιλῶς ἐπὶ ἀδελφοῦ οἴεται, οὐδ' ἐπὶ πρεσβύτου· ἀλλ' ἐπὶ σεπτικῇ προσηγορίᾳ, καθ' ἃ νέος πρεσβυτέρῳ ἀδελφῷ προσφωνεῖ. Politus.

13. καὶ τὸ ἄπφιον, ὑποκόρισμα ὂν ἐρωμένης) ut & ἄπφιον, & ἀπφάριον. Pollux: φιλητικὰ δὲ καὶ ἃ παρὰ τοῖς νέοις Κωμῳδοῖς ἄπφιον, καὶ ἀπφάριον, νέας δεσποίνης ὑποκορίσματα. Sed & ὑποκόρισμα eſt τὸ ἀπφάριον fraterculorum, & ſororculorum. Uſæ hoc ὑποκορίσματι Athenis inter ceteras nequitiæ blanditias meretriculæ ad amaſiunculos ſuos, Xenarchus apud Athenæum:

Αὐτοὶ βιάζοντ' αὐτοί, εἰσέλκουσί τε.
Τοὺς μὲν γέροντας ὄντας ἐπικαλούμεναι
Παππίδια, τοὺς δ' ἀπφάρια τοὺς νεωτέρους.

Ἀπφάρια dicit τὰ ἀδέλφια. Politus.

14. ὑποκόρισμά φασιν Ἀττικόν) ἀδελφῆς, καὶ ἀδελφοῦ ὑποκόρισμα dicit Suidas. Unde, quod ἐλλειπτικῶς habet Heſychius: ἄπφα, ἀδελφῆς, ἢ ἀδελφοῦ, bene ſupplet Henricus Stephanus, addendo τὸ, ὑποκόρισμα. Polit.

15. ὁ μέντοι ἀπφὺς παρὰ Θεοκρίτῳ, πατρὸς κλῆσις) apud Theocritum Idyll. 15. ubi ait Scholiaſta: ἔστι τὸν πατέρα καλεῖν, ὡς ὁ τῆς παιδός. λέγεται δὲ ὑποκοριστικῶς. Suidas item ἀπφὺς

τρὸς κλῆσις, ἣν βρέφος ἂν προσείποι πατέρα[1] τὸν, ἀφ' οὗ ἔφυ. Ταύτην γάρ τι ἡ λέξις ὑποβάλλει νοεῖν. Ἰστέον δὲ, ὅτι, κατὰ λόγον συγγενικὸν, πάππος ὁ τοῦ πατρὸς πατὴρ, καὶ ἐπίπαππος, πατὴρ πάππου, ὁ καὶ πρόπαππος, οὕτω καὶ τήθη βαρυτόνως, ἢ τηθὴ ὀξυτόνως, ἡ τοῦ πατρὸς μήτηρ, καὶ ἡ τῆς μητρός δέ. ἡ μέντοι τηθὶς, ἄλλο τι ἐστὶν, ἀναλογοῦσα τῷ θείῳ, περὶ οὗ ἀλλαχόθι δηλοῦται. Ἔτι ἰστέον καὶ, ὅτι [2] Κωμῳδίας ἴδιον, παππίζειν λέγειν διὰ τοῦ ι, τὸ καθ' Ὅμηρον παππάζειν διὰ τοῦ α. [3] Ὡς δὲ πάππος καί τι γενεὸν δηλοῖ, [4] καὶ ἀκάνθης δὲ λευκὸν ἐξάνθημα, ὅθεν καὶ τὸ γήρειον παρῆκται, ἀλλαχοῦ δεδήλωται. Τὸ δὲ ποτὶ γούνασιν, ἐλλιπῶς μὲν ἔχει τῆς φράσεως, διὰ τὴν τοῦ καλοῦντος προσώπου ἀγωνίαν. [5] Τὸ γὰρ ὅλον ἦν, ἧσαν, ποτὶ γούνασιν ἑζόμεναι. ἔθος δὲ δηλοῖ βρεφοκομούντων, οἳ γούνασιν ἐφέζουσι τὰ βρεφύλλια, ὡς καὶ ἐν τοῖς ἑξῆς που δηλοῖ ὁ Ποιητής.

culus, apud Theocritum, nomen eſt patris, quo parvulus patrem appellet, eum, ἀφ' οὗ ἔφυ, *ex qua natus eſt*. Id enim ſere intelligendum vox ipſa ſuggerit. Quemadmodum porrò, ratione cognationis, πάππος, *avus*, pater eſt patris, & ἐπίπαππος, *ſecundus avus*, pater avi, qui & πρόπαππος, *proavus*; ſic etiam ſciendum, τήθην, *aviam*, voce barytonâ, aut τηθὴν, oxytonâ, matrem eſſe patris, nec non ipſius matris: quum tamen ἡ τηθὶς, *amita*, *ſeu matertera*, ſit alia, quippe quæ reſpondeat τῷ θείῳ, *patruo*, *aut avunculo*. quæ vox alibi explicatur. Ad hæc, ſciendum, proprium eſſe Comœdiæ, dicere παππίζειν, *pappiſſare*, per ι, quod eſt Homero παππάζειν, *pappaſſare*, per α. Ceterùm ut πάππος, *pappus*, ſignificet etiam lanuginem barbæ, inferiori labro adnaſcentem, nec non album florem, ſeu lanuginem ſpinæ, unde deductum eſt τὸ γήρειον, *ſeneum*, *i. e. lanugo ſeneſcentis ſpinæ*, eſt alibi declaratum. Τὸ, ποτὶ γούνασι, *in genibus*, *ſive ad genua*, dictum eſt per ellipſin, atque imperfectè, propter anxietatem, nimiumque æſtum loquentis. Integra namque, & perfecta oratio eſt: ποτὶ γούνασιν ἑζόμεναι. *in genibus ſedentes*. Idque conſuetudinem demonſtrat nutrientium, atque educantium pueros, qui puerulos in genibus ſuis collocant, ac ſedere faciunt, ut & alicubi poſtea oſtendit Poëta.

Τῷ νῦν Τυδείδης, εἰ καὶ μάλα καρτερός ἐστι,
Φραζέσθω, μή τίς οἱ ἀμείνων σεῖο μάχηται·
Μὴ δὴν Αἰγιάλεια περίφρων Ἀδρηστίνη
Ἐξ ὕπνου γοόωσα, φίλους οἰκῆας ἐγείρει,[6]
Κουρίδιον ποθέουσα πόσιν, τὸν ἄριστον Ἀχαιῶν
Ἰφθίμη ἄλοχος Διομήδεος ἱπποδάμοιο.
Ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἀπ' ἰχῶ[7] χειρὸς ὀμόργνυ,
Ἄλθετο χείρ, ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι.

Itaque nunc Tydides, etſi valde fortis eſt,
Caveat, neque ſecum fortior te pugnet;
Ne diu Ægialea cordata Adraſti filia
Ex ſomno gemens, domeſticos ſuos excitet,
Maritum, cui juvenis nupſerat, deſiderans, fortiſſimum Achivorum,
Generoſa uxor Diomedis domitoris equorum.
Dixit ſanè, & ambabus cruorem a manu abſterſit.
Sanata eſt manus, doloreſque graves ſunt mitigati.

ρκβ'. Περὶ τινὸς ἀκαίρως ἀλαζονευομένου, ἐφ' οἷς ἐνίκησεν οὐ μέγαν τινὰ, εἴποι τίς ἄν, ὡς,
Rom. p. 566 εἰ καὶ μάλα καρτερός ἐστι, φραζέσθω, μήτις οἱ ἀμείνων ἄλλος μάχηται. Διώνη δὲ τοῦτο περὶ Διομήδους φησίν. Τριῶν θυγατέρων Ἀδράστου, Αἰγιάλεια μὲν ἡ νεωτάτη, γυνὴ Διομήδους ἦν· Ἀργεία δὲ Πολυνείκους, Δηϊπύλη δὲ Τυδέως. Οἱ μὲν οὖν μεθ' Ὅμηρον, ἐκμαίνεσθαί τε τὴν Αἰγιάλειαν περὶ πορνείαν ἱστοροῦσιν, Ἀφροδίτης χόλῳ, διότι ὑπὸ Διομήδους ἐτρώθη, καὶ Σθενέλῳ τῷ τοῦ Κομήτου, ὃν φύλακα τοῦ Ἄργους εἴασεν ὁ Διομήδης, φασὶν αὐτὴν ἐμφυέσθαι, κατὰ ἔρωτα μαχικόν· [8] καὶ τἄλλα λέγουσιν, ὅσα

CXXII. De uno aliquo, qui intempeſtivè, atque immodicè ſeſe efferat ob victoriam, quam imbecilliori ex hoſte retulerit, uſurpare quis poterit hæc verba: *etſi valde fortis eſt, caveat, neque alius ſecum fortior pugnet*. Quæ quidem verba ſunt Diones de Diomede. De filiabus tribus Adraſti, Ægialea, quæ natu minima erat, uxor fuit Diomedis; Argea Polynicis, Deipyle Tydei. Et qui fabulas quidem poſt Homerum confinxeruot, narrant, Ægialeam perditâ libidine in viros ad furorem uſque exarſiſſe, Veneris irâ, ob vulnus, quod ipſe a Diomede acceperat; eamque Ægialeam, adulterino amori implicitam, conſueviſſe ajunt cum Sthenelo, Cometæ filio, quem Diomedes Argis, ut cuſtodiæ, ac præſidio urbi eſſet, reliquerat: aliaque præterea afferunt, quæ Lycophron etiam com-

ἄπφυς ὑποκοριστικῶς, ὁ πατήρ. Verùm id ὑποκορίσματος, certè quidem apud Atticos, barbarum, ut teſtatur apud Euſtathium ὁ τὰ συγγενικὰ ἀναγραψάμενος. Ab hoc ὑποκορίσματι τοῦ πατρὸς putabat Euſtathius, ἀπφάρια, quæ Athenienſes meretriculæ per blanditias vocabant, maximè intelligenda eſſe τὰ πατέρια. Sic enim ipſa appellat, quaſi videlicet *patercules*. τὰ μέντοι, inquit, παρὰ τοῖς ὕστερον πατρίδιον, φανερῶς ὑποκορίζει Κωμικώτερον. αἳ, αὗται, ἄγουσι αἱ ἑταιρίδες, βιαζόμεναι ἀγαλλιῶσαι, τοὺς μὲν γέροντας ὄντας, ζῳοκολλήματα πατρίδια, ὅπερ ἐστὶ πατέρας ὑποκοριστικῶς. τοὺς δ' ἀπφάρια, τοὺς νεανίσκους. Λέγει δὲ ἀπφάρια, κατὰ μέν τινας, τὰ ἀδέλφια· μάλιστα δὲ τὰ, ὡς εἰπεῖν, πατέρια. ἄπφυς γὰρ Δωρικῶς ὁ πατὴρ, ἀφ' οὗ δηλαδὴ τις ἔφυ. Ita quidem Euſtathius. Sed melius eſt, ἀπφάρια accipere, ut diximus, τὰ ἀδέλφια. quod jam docti viri monuerunt. *Politus*.

1. Τὸν, ἀφ' οὗ ἔφυ) Hæc & alibi placet Euſtathio etymologia τοῦ ἄπφυς. Alius ὁ πατὴρ, ὑποκοριστικῶς quaſi πατύς. unde ἄπφυς. Mihi hujus vocis aliunde non videtur petenda etymologia, niſi a prima pueri voce, cum patrem compellat. *Politus*.

Cur non ab eadem origine, qua *Avus* apud Latinos, eſt ἄπφυς Græcè, ideſt, ab Hebraico *Ab*, ideſt, *pater*, Syriacè *Abba*? Sed nimirum Græci, ſuis rebus nimis addicti, origines vocum inter ſeſe quærunt: quum Plato in Cratylo diſertè dixerit, origines nominum Deorum apud barbaros quæri debere, qui principes religionem coluerunt. *Salvinus*.

Cur in aliena lingua quæras originem vocum, quibus pueruli Græci parentes ſuos blandè, & balbutiendo appellant? A πά, voce paſtorum, factum πάπα, & πάππα. Inde ἄππα, qua voce Diana adhuc puellula apud Callimachum uſa ad patrem Jovem:

Δός μοι παρθενίην αἰώνιον, ἄππα, φυλάσσειν.

Τὸ ἄππα vitio balbutientis linguæ facilè tranſit in ἄπφα. Inde ἄπφυς, blanda patris appellatio. *Politus*.

2. Κωμῳδίας ἴδιον, παππίζειν λέγειν διὰ τοῦ ι) Suidas: Παππίζω. Ἀριστοφάνης· Παππίζουσ' ἡ θυγάτηρ με τριώβολον ἐκκαλαμᾶται. Vide paullò ante. *Polit.*

3. Ὡς δὲ πάππος καί τι γενεὸν δηλοῖ) Suidas: πάππος, αἱ ὑπὸ τὸ κάτω χεῖλος τρίχες· μύσταξ δὲ ὑπὸ τὸ ἄνω. Politus.

4. Καὶ ἀκάνθης δὲ λευκὸν ἐξάνθημα) Paullus ex Feſto: *Pappi, carduorum flores*. *Lucretius*: *Veſtem, nec plumas avium, papposque volantes*. Polit.

5. Τὸ γὰρ ὅλον ἦν, ἧσαν, ποτὶ γούνασιν ἑζόμεναι) ut dixit Callimachus Hymno in Dianam: πατρὸς ἐφεζομένη γονάτεσσι Παῖς ἔτι κουρίζουσα. Polit.

6. ἐγείρει) Al. ἐγείρῃ. Polit.

7. ἰχῶρ) Veteribus placet, ἰχῶ, ſine τοῦ ρ. Polit.

8. Καὶ τἄλλα λέγουσιν, ὅσα καὶ Λυκόφρων) Lycophron:

Τροιζηνίας δὲ τρύμα φοιτάδος πλάνης
Ἔσται, κακόν τι σημάτων πορπάματα.

Ὅταν

commemorat. Verumtamen Homerus prudentem admodum, & generoſam eam vocat, virique amantem fuiſſe dicit, & præ Diomedis abſentiâ in luctu, ac mœrore jacuiſſe eam tradit. Sic enim ait: *Ne diu Ægiales prudens, filia illa Adraſti, ex ſomno gemens, domeſticos ſuos excitet, dum maritum ſuum deſiderat, cui juveni virgo nupſerat, fortiſſimum illum Achivorum, generoſa uxor Diomedis*. Hic verò οἰκῆας, *domeſticos*, ut veteribus videtur, non certè quidem ſervos intelligit Poëta; ſed generatim eos, qui domi ſunt, atque in domeſtico miniſterio verſantur, ſive familiares. Ideoque φίλους οἰκῆας, *charos domeſticos*, *familiares ſuos*, appellat. Sed & legimus apud Ariſtophanem Grammaticum, ubi is agit περὶ οἰκετῶν, *de domeſticis*, non modò ſic eos appellatos, qui ruri operam ſuam præſtant, ſeu ſervos ruſticanos; verùm etiam homines liberos, qui in domibus famulantur, ut quis dixerit, οἰκήτας, *domeſticos*, aſſumptâ literâ η. Adducitque etiam ipſe adagium hoc ex Euripide:

Sit feminarum ſermo ad οἰκέτας *domi*.

Inter domeſticos videlicet, & familiares, mulieribus loquendum eſt; non iis extra prodeundum, neque in alienorum hominum præſentiâ ſolvenda eſt loquenda. Τό, ἄριστον Ἀχαιῶν, *fortiſſimum Achivorum*, a matre dictum eſt ad Veneris ſolatium, ut ne a milite quopiam gregario vulnerata fuiſſe videatur. Neque enim alioquin Græcorum omnium fortiſſimus Diomedes. Aut etiam aliter ὁ ἄριστος, *fortiſſimus*, *& præſtantiſſimus*, eum ſignificat, qui qualitercumque eſt ἀριστεύς, *fortis*, *ac præſtans*. Fidem autem meretur ea, quæ ab hoſtibus eſt, laudatio.

CXXIII. Vide verò, ut τῷ ἀρίστῳ, *viro fortiſſimo*, *atque optimo*, attributa quoque eſt uxor ἰφθίμη, *fortis*, *ac generoſa*, pariter atque Penelope Ulyſſi. Eſt autem τὸ ἰφθίμη, idem prorſus, atque τὸ ἀνδρεία, *fortis*, *virilis*, *generoſa*. quod quidem alibi dicit δαΐφρων, *bellicoſa*. Idque dictum eſt ad diſtinctionem aliarum mulierum, quæ ἀναλκίδες, *imbecillæ*, *atque invalidæ*, ſunt naturâ, & delicatiores, ſive magis factæ ad mollitiem muliebrem. ut Poëta ipſe vocat, ubi ait: γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις. *mulieres imbecillas decipis*. Et fortaſſe, quaſcumque Venus decipit, hæ imbecillæ: quæ verò minimè tales, hæ ſunt ἴφθιμαι, *fortes*, *planèque viriles*. Ad hæc ſciendum, verba illa: Ἐξ ὕπνου γοόωσα. *Ex ſomno gemens*. & ſequentia, uſque ad illud: ἄριστον Ἀχαιῶν, *fortiſſimum Achivorum*, aptè quadrare poſſe, & convenire in mulierem, quæ orbata viro, illum vehementer lugeat. quali ſcilicet luctu afficiatur,

ὅσα καὶ Λυκόφρων ἱστορεῖ. Ὅμηρος μέντοι περίφρονα, καὶ ἰφθίμην αὐτὴν φησι, καὶ φίλανδρον εἶναι λέγει, καὶ πενθεῖν ἐπὶ τῇ τοῦ Διομήδους ἀποδημίᾳ ἱστορεῖ. Φησὶ γοῦν· Μὴ δὴν Αἰγιάλεια περίφρων Ἀδρηστίνη, ἐξ ὕπνου γοόωσα, φίλους οἰκῆας ἐγείρῃ, κουρίδιον ποθέουσα πόσιν, τὸν ἄριστον Ἀχαιῶν, ἰφθίμη ἄλοχος Διομήδεος. Ἐνταῦθα δὲ οἰκῆας, ὡς δοκεῖ τοῖς παλαιοῖς, οὐ τοὺς δούλους ὁ Ποιητὴς λέγει, [1] ἀλλὰ ἁπλῶς τοὺς ἐν τῷ οἴκῳ, [2] ἢ τοὺς οἰκείους. Διὸ καὶ φίλους οἰκῆας φησι. Φέρεται δ' ἐν τοῖς τοῦ Γραμματικοῦ Ἀριστοφάνους καὶ περὶ οἰκετῶν λόγος, ὅτι οὐ μόνον [3] οἱ κατ' ἀγροὺς ὑπουργοὶ οὕτως ἐλέγοντο, [4] ἀλλὰ καὶ οἱ ἐν οἰκίαις ἐλεύθεροι, ὡς ἂν εἴποι τις, οἰκῆται, μεταλήψει τοῦ η. Παράγει δὲ αὐτὸς καὶ παροιμίαν ἐξ Εὐριπίδου λέγουσαν·

Ἔνδον γυναικῶν ὁ παρ' οἰκέτας λόγος.

ἤγουν ἐν τοῖς καθ' οἰκίαν λαλητέον ἂν εἴη ταῖς γυναῖκας· ἔξω δὲ οὐκ ἐξιτέον, οὐδὲ, ἀλλοτρίων παρόντων, λυτέον τὴν λαλιάν. Τὸ δὲ ἄριστον Ἀχαιῶν, πρὸς παρηγορίαν Ἀφροδίτης εἴρηται ὑπὸ τῆς μητρός, ἵνα μὴ δοκῇ ὑπὸ τοῦ τυχόντος τετρῶσθαι. Ἄλλως γὰρ οὐ πάντων Ἀχαιῶν ἄριστος ὁ Διομήδης ἦν. ἢ καὶ ἄλλως ὁ ἄριστος τὸν ἁπλῶς ἀριστέα δηλοῖ. Πιστὸς δὲ ὁ ἐκ τῶν ἐχθρῶν ἔπαινος. *Baſ. p. 430.*

ρκγʹ. Ὅρα δὲ καὶ, ὅτι τῷ ἀρίστῳ καὶ ἡ ἄλοχος ἰφθίμη προσμεμαρτύρηται, ὡς καὶ ἡ Πηνελόπη τῷ Ὀδυσσεῖ. Ἔστι δὲ πάντως τὸ ἰφθίμη, [5] ταυτὸν τῷ, ἀνδρεία. ὅπερ ἀλλαχοῦ δαΐφρων φησί. Τοῦτο δὲ πρὸς διαστολὴν ἄλλων εἴρηται γυναικῶν, αἳ φύσει ἀνάλκιδές εἰσι, καὶ θηλύτεραι, ὡς καὶ ὁ Ποιητὴς ἔφη ἐν τῷ, [6] γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις. Καὶ τάχα, ὅσας μὲν ἡ Ἀφροδίτη ἠπεροπεύει, αὗται ἀνάλκιδες· αἱ δὲ μὴ τοιαῦται, ἴφθιμαί εἰσιν. Ἰστέον δὲ καὶ, ὅτι τὸ ἐξ ὕπνου γοόωσα, καὶ ἑξῆς, ἕως τοῦ, ἄριστον Ἀχαιῶν, καὶ γυναικὶ ἂν ἁρμόσῃ, χηρωθείσῃ μὲν ἀνδρὸς, πενθούσῃ δὲ πολλὰ ἐπ' ἐκείνῳ. ὁποῖον δή τι πάθος ὂν, καθ' Ὅμη-

Ὅταν θρηνῇ, θυραῖς οἰγνύσῃ κόνιν
Πρὸς λέσχαι, τύμβος δ' αὐτὸν ἐκτείνῃ μόρῳ
Ὀπλομίας, ὑφαγαῖσι ...

Quorum verborum ordo, atque ſententia ex Scholiaſtâ eſt hujuſcemodi: Τί βαίνει δὲ ἡ Ἀφροδίτης, ὁ ὑβρισθεὶς παρὰ τοῦ Διομήδους, ὀρίσει αὐτὸ παραίτιον τῆς ... πλάνης, ... ὅταν ἡ θρηνῇ, θυραῖς, καὶ ... κόνιν, ... γυνὴ Διομήδους Αἰγιάλεια, ... καὶ ... πρὸς τὰ λύτρα, καὶ τὰς μίξεις· ... αὐτὸν ... μόρῳ ὁ τύμβος, καὶ ὁ παῖς τῆς Ὀπλομίας, ἤτοι τῆς Ἥρας. ... καὶ ... Hiſtoriam, ſeu potius fabulam, planiùs exponit idem Scholiaſtes: Διομήδης μετὰ τὴν Ἰλίου πόρθησιν κατακλεύσας εἰς Ἄργος, τὴν ἑαυτοῦ ... καὶ ... τὴν ἑαυτοῦ γαμετὴν Αἰγιάλειαν ... Κομήτῃ. ... Σθενέλου, διὰ τὸ αὐτὸν ἐν τῇ Τροίᾳ τρῶσαι τὴν Ἀφροδίτην. καὶ μέλλων ὑπὸ τῆς αὐτῆς Αἰγιαλείας ἀναιρεθῆναι, τότε μὲν εἰς τὸν τῆς Ἀργείας Ἥρας βωμὸν καταφυγὼν σώζεται· ὕστερον δὲ εἰς Ἰταλίαν ... Politus.

Baſ. p. 434. ρλδ'. Ἐν τῷ, Τρῶας δὲ στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών· διττὴ φέρεται γραφὴ τοῦ πρώτου ποδός. Ἢ γὰρ κτητικῶς Τρωὰς ὀξυτόνως λέγει τὰς Τρωϊκὰς, ἢ μᾶλλον προπερισπωμένως, Τρῶας στίχας, ἀντιπτωτικῶς τὰς τῶν Τρώων.

CXXXIV. In hoc verſu: Τρῶας δὲ στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών. *Trojanos verò ordines pernicioſus Mars obeundo concitavit*: bifariam variat primi pedis ſcriptura. Aut enim per modum nominis poſſeſſivi dicit, voce oxytonâ, Τρωὰς, *Troas*, ideſt, Τρωϊκὰς, *Troicas*, phalangas; aut potiùs, voce properiſpomenâ, poſito per antiptoſin uno caſu pro alio, Τρῶας στίχας, *Troas ordines*, ideſt, τῶν Τρώων, *Troum*, *ſeu Trojanorum*.

Υἱάσι δὲ Πριάμοιο διοτρεφέεσσι κέλευεν·
Ὦ υἱεῖς Πριάμοιο διοτρεφέος βασιλῆος,
Ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαὸν Ἀχαιοῖς;
Ἦ εἰσόκεν ἀμφὶ πύλῃς εὖ ποιητῇσι μάχωνται;

Et Priami filios, Jovis alumnos, adhortatus eſt:
O Priami filii, nutriti ab Jove regis,
Quouſque tandem interfici ab Achivis populum ſinetis?
An uſque dum ad portas ſuas factas pugnent?

ρλε'. Τὸ, υἱάσι Πριάμοιο, ἤγουν υἱοῖς, ὤφειλε μὲν ἀπὸ τοῦ υἱεὺς υἱέος εἶναι, ἢ υἱεῦσιν, ἢ υἱέσιν. ἐξηκολούθησε δὲ ὅμως Ἰωνικῶς τῇ συγγενείᾳ τοῦ πατράσι, μητράσι, θυγατράσιν. Ἐντρεπτικὸν ἀχρείων στρατηγῶν τὸ, Ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαόν; ἢ εἰσόκεν ἀμφὶ πύλαις μάχωνται; Χρονικῶς δὲ κεῖται [3] τὸ ἐς τί, ἀντὶ τοῦ μέχρι τίνος. οὕτω δὲ καὶ τὸ εἰσόκεν, ἀντὶ τοῦ ἕως οὗ.

CXXXV. Τὸ, υἱάσι Πριάμοιο, videlicet υἱοῖς, *filiis Priami*, ab υἱεὺς, υἱέος, *filius*, *filii*, debebat eſſe, aut υἱεῦσιν, aut υἱέσι, *filiis*. Verumtamen Poëta ſecutus eſt Jonicè rationem nominum cognatorum, πατράσι, *patribus*, μητράσι, *matribus*, θυγατράσι, *filiabus*. Ad ignavos, inerteſque duces pudore ſuffundendos valet illud: Ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαόν; ἢ εἰσόκεν ἀμφὶ πύλαις μάχωνται; *Quouſque adhuc interfici populum ſinetis? an uſque dum circa portas decertent?* Ubi ad tempus declarandum poſitum eſt τὸ, ἐς τί, pro μέχρι τίνος. *quo uſque*. Et ſic etiam τὸ εἰσόκεν, pro ἕως οὗ. *uſque dum*. *donec*.

Κεῖται ἀνὴρ, ὃν τ' ἶσον ἐτίομεν Ἕκτορι δίῳ,
Αἰνείας, υἱὸς μεγαλήτορος Ἀγχίσαο.
Ἀλλ' ἄγετ', ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.

Jacet vir, quem ex æquo, atque Hectorem divum, honorabamus,
Æneas, magnanimi Anchiſæ filius.
Quare agite, ex tumultu bonum ſodalem ſervemus.
Sic locutus, excitavit robur, atque animum uniuſcuiuſque.

ρλς'. Τὸν Αἰνείαν οἱ Τρῶες ἐπίσης ἐτίμων Ἕκτορι, καθὰ φησὶν Ἄρης ἐν τῷ, Κεῖται ἀνὴρ, ὃν τ' ἶσον ἐτίομεν Ἕκτορι δίῳ. Κεῖται καὶ ὧδε [4] φλοῖσβος ἐπὶ πολέμου. Φησὶ γάρ· Ἀλλ' ἄγετ', ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον. Τοῦτο

CXXXVI. Æneam Trojani pari honoris loco, atque Hectorem, habebant, ut teſtatur Mars his verbis: *Jacet vir, quem ex æquo, atque Hectorem divum, honorabamus*. Hoc etiam loci uſurpatur φλοῖσβος, *tumultus*, de pugnâ. Quippe dicit: Ἀλλ' ἄγετ', ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον. *Quare agite, ex tumultu bonum ſodalem eripia-*

1. κἂν ἐξέπραξεν) Sophocles in Ajace: Κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ. Politus.
2. Τρώων) Hanc lectionem minimè agnoſcit Euſtathius, ut patet ex ejus Commentario. Polit.
3. τὸ ἐς τί, ἀντὶ τοῦ μέχρι τίνος) Cic. *Quouſque tandem abutere, Catilina, patientiâ noſtrâ?* ἐς τί ἔτι. Salvinus.
4. φλοῖσβος ἐπὶ πολέμου) φλοῖσβος, ut βοή, *bellum*, a ſtrepitu, tumultu. Tumultus Gallicus apud Latinos dicitur *bellum Gallicum*. Vide Servium ad illud Virg. *Simul omne tumultu Conjurat trepido Latium*. Salvin.

piamus, atque incolumem ſervemus. Quæ ſanè verba adhibuerit, quicumque amico periclitanti auxilietur. Porro aotem ἑταῖρον, *ſodalem*, non eſt hic neceſſe pro more amicum intelligere; ſed adjutorem, ac ſocium io hac ipsâ pugnâ. qua etiam ſigoificatione ventus, qui vela implet, ἐσθλὸς ἑταῖρος, *bonus ſodalis*, appellatur. Atque hic ferè ſeoſus eſt, cum uoum aliquem dicimus ἑταιρίσαι, *ſodalem fieri, ſeu ſocium ſe aperes, & adjutarem alteri adjungere*. quod dicit de Mercurio Homerus.

Τοῦτο δὲ πᾶς ἂν εἴποι, βοηθῶν φίλῳ κινδυνεύοντι. Ἑταῖρον δ' ἐνταῦθα, [1] οὐκ ἐξ ἀνάγκης νοητέον συνήθως τὸν φίλον, ἀλλὰ καὶ τὸν συνεργὸν ἐν τῇ νῦν μάχῃ. καθὸ σημαινόμενον καὶ [2] ἄνεμος πλησίστιος, ἐσθλὸς ἑταῖρος λέγεται. Ταιαύτης δὲ ἐννοίας καὶ τὸ ἑταιρίσαι εἶναι. [3] ὃ ἐπὶ Ἑρμοῦ φησὶν Ὅμηρος.

Tunc verò Sarpedon divum Hectorem graviter objurgavit:
Hector, quò jam tibi robur abiit, quod priùs habebas?
Gloriabaris ſcilicet, urbem te defenſurum ſine copiis, & auxiliis,
Solum cum affinibus, fratribuſque tuis:
Quorum nunc neminem ego videre poſſum, neque animadvertere:
Sed trepidant, veluti canes circa leonem.
Nos autem pugnamus, qui auxiliares hic ſumus.
Etenim ego, utpote auxiliaris, e longinquo admodum venio.
Procul enim Lycia, Xanthum ad vorticoſum.
Ubi uxoremque charam reliqui, & parvulum filium,
Et opes multas, quas cupiat quicumque pauper.
Attamen etiam ſic Lycios adhortor, ſumque ipſe paratus
Ad pugnandum cum viro: tametſi nihil hic mihi,
Quod vel auferant Achivi, vel abducant.
Tu autem ſtas, & ne aliis quidem jubes
Copias conſiſtere, & opem ferre uxoribus.

Ἔνθ' αὖ Σαρπηδὼν μάλα νείκεσεν Ἕκτορα δῖον·
Ἕκτορ, πῆ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες;
Φῆς που, ἄτερ λαῶν πόλιν ἑξέμεν, ἠδ' ἐπικούρων,
Οἶος σὺν γαμβροῖσι, κασιγνήτοισί τε σοῖσι·
Τῶν νῦν οὔ τιν' ἐγὼ ἰδέειν δύναμ', οὐδὲ νοῆσαι·
Ἀλλὰ καταπτώσσουσι, κύνες ὣς ἀμφὶ λέοντα.
Ἡμεῖς δ' αὖ μαχόμεσθ', οἵπερ τ' ἐπίκουροι ἔνειμεν.
Καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐών, μάλα τηλόθεν ἥκω.
Τηλοῦ γὰρ Λυκίη, Ξάνθῳ ἔπι δινήεντι,
Ἔνθ' ἄλοχόν τε φίλην ἔλιπον, καὶ νήπιον υἱόν, Rom. p.566.
Κὰδ δὲ κτήματα πολλά, τά τ' ἔλδεται ὅς κ' ἐπιδευής.
Ἀλλὰ καὶ ὧς, Λυκίους ὀτρύνω, καὶ μέμον' αὐτὸς
Ἀνδρὶ μαχέσσασθαι· ἀτὰρ οὔτι μοι ἐνθάδε τοῖον,
Οἷόν κ' ἠὲ φέροιεν Ἀχαιοί, ἤ κεν ἄγοιεν.
Τύνη δ' ἕστηκας, ἀτὰρ οὐδ' ἄλλοισι κελεύεις
Λαοῖσιν μενέμεν, καὶ ἀμυνέμεναι ὤρεσσι.

CXXXVII. Plurimum hic iovectionis, & ioſectatinois verborum habet Sarpedooia ad Hectorem concionaria oratio. Ideoque Poëta dicit, divum Hectorem graviter ab eo increpitum fuiſſe. Hujus autem ipſius orationis argumentum eſt ejuſmodi. Increpat Hectorem, ut ioertiæ indulgentem, ac deſidioſum, ac proinde veluti imbecillum, his verbis: πῆ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες, videlicet εἶχες; *quò jam tibi robur abiit, quod priùs habebas?* Ac vide, quàm lepidum, & urbaoum illud οἴχεται, *abiit*. Quaſi ſcilicet robur, quum ooo ita pridem in Hectore iohabitaret, aliò nunc commigraverit. Deinde ipſum Hectorem accuſando reprehendit, veluti arrogaotem oſteotatorem ſui, quique vaoâ ſemet ſpe paſceret, dum his io eum verbis utitur: φῆς που, videlicet ἴσως ἂν ἔλεγες πρὸ τοῦ πολέμου. *Fartaſſe dicebas, & gloriabaris aote pugnam*, te ſioe copiis atque auxiliis ἑξέμεν, videlicet συνέξειν, *conſervaturum eſſe*, urbem; te, inquam, οἶον, hoc eſt, μόνον, *ſolum*, cum affinibus, ac fratribus tuis: quorum nunc neminem quemqoam ego videre poſſum, neque animadvertere: ſed trepidant, tamquam canes circa leonem. Nos verò pugnamus, qui auxiliares ſumus. Ubi λαοὺς, *populos*, populares dicit, atque ipſius Hectoris conterraneos; ἐπικούρους verò, *i. e. auxiliares, atque ſocios*, exteros, qui auxiliareotur: de quibus & ipſe erat Sarpedon. Hoc autem loci obiter ſignificat multitudinem filiorum Priami. Filii enim erant Priamo quinquaginta: ex quibus mares ipſi per ſeſe militabaot: quum, filiarum loco, generi operam ſuam ad res bellicas conferrent. Cooci- ſa porro, & loco, ac tempori convenieos, comparatio illa: κύνες ὣς ἀμφὶ λέοντα. *ut canes circa leonem*. Ubi leooem facilè intellexerit ipſum Diomedem. Repreheoſo ita, atque objurgato Hectore, Sarpedon ſua ipſius in Trojanns merita,

ρλζʹ. Πάνυ καλαφορικὸς ἐνταῦθα ὁ πρὸς Ἕκτορα τοῦ Σαρπηδόνος δημηγορικὸς λόγος. Διὸ καὶ ὁ Ποιητὴς λέγει, ὅτι μάλα νείκεσεν Ἕκτορα δῖον. Νοήματα δὲ τοῦ λόγου τούτου, τοιάδε. Ὀνειδίζει, ὡς ῥᾴθυμον, καὶ διὰ τοῦτο εἶναι ἀμενηνόν, εἰπών· [5] πῆ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες, ἤγουν εἶχες; Καὶ ὅρα τὸ ἀστεῖον τοῦ, οἴχεται. οἱονεὶ γὰρ πρώην ἐνοικοῦν σοι, νῦν ἀπεδήμησεν. Εἶτα αἰτιᾶται καὶ ὡς ἀλαζόνα τὸν Ἕκτορα, καὶ κεναῖς ἐλπίσι τρεφόμενον, λέγων· Φῆς που, ἤγουν ἴσως ἂν ἔλεγες πρὸ τοῦ πολέμου, ἄτερ λαῶν, καὶ ἐπικούρων, [6] ἑξέμεν, ἤγουν συνέξειν τὴν πόλιν, οἶος, τουτέστι, μόνος, σὺν γαμβροῖσι, κασιγνήτοισί τε σοῖσι· τῶν νῦν οὔτιν' ἐγὼ ἰδέειν δύναμαι, οὐδὲ νοῆσαι· ἀλλὰ καταπλώσσουσι, κύνες ὣς ἀμφὶ λέοντα. Ἡμεῖς δὲ μαχόμεθα οἱ ἐπίκουροι. Λέγει δὲ λαοὺς μὲν τοὺς ἐγχωρίους· ἐπικούρους δὲ τοὺς ἐξ ἀλλοτρίας βοηθούς· ὧν ἦν καὶ αὐτὸς ὁ Σαρπηδών. Ἐνταῦθα δὲ τὸ πολὺ τοῦ γένους τῶν Πριαμιδῶν παραδηλοῖ. Πεντήκοντα γὰρ ἦσαν τέκνα τῷ Πριάμῳ· ὧν οἱ μὲν υἱοὶ αὐτόθεν στρατιῶται· ἀντὶ δὲ τῶν θυγατέρων συνετέλουν εἰς μάχην οἱ γαμβροί. Τὸ δέ, κύνες ὣς ἀμφὶ λέοντα, παραβολὴ μέν ἐστι σύντομος, πρέπουσα τῷ καιρῷ. Λέοντα δὲ ἴσως ἂν λέγοι τὸν Διομήδην. Οὕτω δὲ τὸν Ἕκτορα αἰτιασάμενος ὁ Σαρπηδών, αὐξάνει τὴν ἑαυτοῦ χάριν τὴν εἰς τοὺς

1. οὐκ ἐξ ἀνάγκης νοητέον συνήθως τὸν φίλον) In Evangelio: ἑταῖρε, ἐφ' ᾧ πάρει; *Amice ad quid veniſti?* Salvinus.
2. ἄνεμος πλησίστιος, ἐσθλὸς ἑταῖρος λέγεται) lib. λʹ Odyſſ. Ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον. Polit.
3. ὃ ἐπὶ Ἑρμοῦ φησὶν Ὅμηρος) Hom. Ἀνδρὶ ἑταιρίσσαι. idest, ἑταίρῳ βοηθῆσαι, ut explicat Scholiaſta. Polit.
4. ἐγώ) Euſtathius ἐγών. Etymologus: ὁ Ποιητὴς ἐκκλίνων τὴν χασμῳδίαν τῶν φωνηέντων, φησὶ τὸ ἐγὼν μετὰ τοῦ ν' ὡς τό, καὶ ἐγὼν ἐπίκουρος ἐών. Polit.

5. πῆ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες;) Cyclopis verba apud Theocritum, ſe ipſum ob nimium Galateæ amorem objurgantis: Ὦ Κύκλωψ, Κύκλωψ, πᾶ τὰς φρένας ἐκπεπότασαι; Salvinus.
Theocritus πᾶ. Polit.
6. ἑξέμεν) Scitè alludere videtur ad nomen Hectoris. Ἕκτωρ enim ſonat *Defenſor*. ἀπὸ τοῦ ἕξειν ἕκτωρ. *quaſi defenſurus*. Salvinus.

Baſ. p. 435. τοὺς Τρῶας, ἐνθυμηματικῶς, καὶ λέγει, ὅτι τε μάλα τηλόθεν ἥκει τοῖς Τρωσὶν ἐπίκουρος (τηλοῦ γὰρ Λυκίη Ξάνθῳ ἔπι δινήεντι) καὶ ὅτι ἄλοχόν τε φίλην ἔλιπε, καὶ νήπιον υἱὸν, καὶ κτήματα πολλὰ, καὶ αὐτὰ, οὐ τὰ τυχόντα, ἀλλὰ ἀναγκαῖα· Φησὶ γάρ· τά τ᾽ ἔλδεται ὅς κ᾽ ἐπιδευής. ἤγουν ὧν πολλὴν ἂν ὁ ἐπιδεὴς ἔχοι ἔφεσιν. καὶ ὅτι οὔτι ἔχων ἐνθάδε τοῖον, οἷόν κ᾽ ἠὲ φέροιεν Ἀχαιοὶ, ἤ κεν ἄγοιεν, ὅμως καὶ τοὺς ἄλλους Λυκίους ὀτρύνει, καὶ αὐτὸς δὲ μέμονε μάχεσθαι. [1] Τύνη δέ, φησιν, ἕστηκας, ἤτοι ἀργεῖς. ἀτὰρ οὐδ᾽ ἄλλοισι κελεύεις λαοῖσι μενέμεν, ἤγουν μένειν, καὶ ἀμύνειν ὤρεσσιν. ὅ ἐστι, ταῖς οἰκείαις γυναιξί.

ρλέ. Καὶ σημείωσαι, ὅτι γενναιότατόν ἐστι νόημα, καὶ ἐπιστρεπτικώτατον, τὸ λέγειν, ὡς ἐγὼ μὲν καὶ πατρίδα, καὶ γυναῖκα, καὶ τέκνα ἀφεὶς, καὶ μηδὲν ἐνταῦθα ἔχων ἀλλ᾽ ἢ ἐμαυτὸν, καὶ τοὺς σὺν ἐμοὶ Λυκίους, κινδυνεύω σὺν τοῖς ἐμοῖς ὑπὲρ Τρωϊκῶν γυναικῶν· οἱ δὲ, νωθρεύονται. εἶτα προστίθησιν ὁ Σαρπηδὼν καὶ, ὅτι ἡ τοῦ δέοντος τάξις ἀντέστραπται, εἰπών· Σοὶ δὲ χρὴ πάντα μέλειν νύκτας τε, καὶ ἦμαρ, ἀρχοὺς λισσομένῳ ἐπικούρων, νωλεμέως ἐχέμεν, ἤγουν πολεμεῖν, καὶ ἀντέχειν. Νῦν δὲ δηλονότι τὸ ἀνάπαλιν γίνεται, καὶ ἡμῖν μάλιστα μέλει τῶν Τρωϊκῶν, καὶ παρακαλοῦμεν εἰς μάχην ὑμᾶς. Οὕτω σφοδρὸς ὁ τοῦ Σαρπηδόνος λόγος. διὸ καὶ ὁ Ἕκτωρ, ἀκούσας τοιαῦτα, δηχθήσεται τὰς φρένας, ὅπερ αὐτὸς εἰς τὸν ἀδελφὸν Πάριν ἐποίησε· καὶ ἀριστεύσει πολλὰ, φεύγοντας τοὺς Τρῶας ἐπιστρέψας, καὶ συστήσας μέγαν πόλεμον. Πᾶς γὰρ παραινετικὸς λόγος, ὡς προερρέθη, δραστικός ἐστι παρὰ τῷ Ποιητῇ. Ἐνταῦθα δὲ σημείωσαι τὸ, λισσομένῳ. οἱονεὶ γὰρ προαναφωνητικῶς ἐκτρέπει τὸν Ἕκτορα τοῦ ἀντιφιλονεικῆσαι τὸν Σαρπηδόνα. Οὐ γὰρ ἀπὸ ἴσου δικαίου ὥρμηται. Διὸ καὶ ἐπάγει· κρατερὴν δ᾽ ἀποθέσθαι ἐνιπήν. Τραχύνεσθαι γὰρ οὐ δεῖ κατὰ τῶν ἐπικούρων. Ἀλλὰ τοῦτο μὲν χρὴ κατὰ τῶν οἰκείων ποιεῖν· τοὺς δ᾽ ἐπικούρους λίσσεσθαι. Στρατηγικὰ οὖν τὰ τοιαῦτα τοῦ Ὁμήρου παραγγέλματα. Ἰστέον δὲ, ὅτι [2] γαμβροὶ νῦν μὲν, οἱ κοινῶς οὕτω καλούμενοι· [3] ἡ δὲ Τραγῳδία ἐν τῷ, κηδεύσας καλοῖς γαμβροῖς, τοὺς πενθεροὺς δηλοῖ, [4] ὡς καὶ αὐτοὺς καλεῖ γα-

μικὸν

ra, oratoriâ argumentatione, enumerando amplificat, tum quia e longinquo diſſitoque admodum loco in auxilium Trojanorum venerat (procul enim inde Lycia ad Xanthum vorticoſum) tum quia uxorem ſibi imprimis charam, filiumque parvulum, & bona multa reliquerat; eaque bona non qualiacumque, ſed neceſſaria. Hæc enim ejus verba: τά τ᾽ ἔλδεται ὅς κ᾽ ἐπιδευής. *quæ cupiat quicumque pauper.* quorum videlicet bonorum permagno deſiderio inops homo, & pauper teneatur. Accedit, quòd, etſi nihil hic habeat Sarpedon, quod vel auferant Achivi, vel abducant; tamen tum ceteros alios Lycios concitat, atque adhortatur, tum ipſe quoque eſt paratus ad pugnam committendam. Tu verò, inquit, ἕστηκας, *ſtas*, videlicet ceſſas, atque otiaris. Sed ne alias quidem copias jubes μενέμεν, videlicet μένειν, *manere, ſeu conſiſtere*, & opem ferre ὤρεσσιν. hoc eſt, ταῖς οἰκείαις γυναιξὶ, *uxoribus ſuis*.

CXXXVIII. Et obſerva, generoſam maximè eſſe, atque pulcherrimam ſententiam horum verborum: Ego quidem, quum patriam, uxoremque, & liberos reliquerim, nihilque hic aliud habeam, niſi ipſe me, & Lycios commilitones meos, in diſcrimen cum meis adducor pro mulieribus Trojanis. Hi autem deſides ſunt, & quodam veluti torpore detinentur. ad quæ verba illud etiam addit Sarpedon, ut dicat, officiorum partes immutatas eſſe, atque inverſas. Tibi enim, inquit, opus eſt noctesque dieſque curare omnia, & ſociorum duces precari, νωλεμέως ἐχέμεν, *aſſiduè ut perſiſtant*, videlicet ut pugnent, ac reſiſtant. Quaſi ſcilicet dicat, ſecùs nunc fieri, ſibique curæ maximè eſſe res Trojanas, quippe quum ipſi Trojanos ad pugnam hortentur. Adeo vehemens, atque acerba hæc Sarpedonis oratio. Ideoque Hector ad hæc verba animo poſtea mordetur, ac pungitur, quemadmodum ipſe Paridem fratrem ſuum affecerat; multaque fortia, & præclara facinora facit, revocatis a fugâ Trojanis, magnoque prælio conſerto. Omnis enim hortativa oratio, ut ſupra dictum eſt, efficax eſt, nec ſine ſucceſſu, apud Poëtam. Hic verò obſerva τὸ λισσομένῳ, *precanti, atque ſupplicanti*. Nam veluti præmonendo Hectorem avertit, ac deterret, ne ex adverſo cum Sarpedone contendat. Non enim pari jure innititur. Ideoque ſubdit Sarpedon: κρατερὴν δ᾽ ἀποθέσθαι ἐνιπήν. *duramque deponere objurgationem*. Non enim aſperitate, ac ferociâ utendum in ſocios, ſeu auxiliares. Sed id quidem facere oportet in familiares, atque domeſticos. Verumtamen cum auxiliaribus obſecratione, ac precibus agendum. Sunt igitur artis, & diſciplinæ militaris, præcepta iſta Homeri. Sciendum autem eſt, nunc quidem γαμβροὺς, *generos*, dictos eos, qui ſic communiter vocantur. Verùm Tragicus in his verbis: κηδεύσας καλοῖς γαμβροῖς, *affinitate conjunctus cum bonis ſoceris*, hoc nomine ſoceros ſignificat, quippe quum & ipſi

ipſi

1. Τύνη δὲ, φησιν, ἕστηκας, ἤτοι ἀργεῖς) in Aſcenſione Domini: *Viri Galilæi, cur ſtatis tota die otioſi aſpicientes in cælum.* Salvin.

2. γαμβροὶ νῦν μὲν, οἱ κοινῶς οὕτω καλούμενοι) generi, filiarum mariti. Heſychius: γαμβρὸς, ὁ ἀνὴρ τῆς θυγατρός. Polit.

3. ἡ δὲ Τραγῳδία ἐν τῷ, κηδεύσας καλοῖς γαμβροῖς, τοὺς πενθεροὺς δηλοῖ) Euripides in Hippolyto:

Ἔχει δ᾽ ἀνάγκη, ὥστε κηδεύσας καλοῖς
Γαμβροῖσι, χαίρων σῴζεται πικρὸν λέχος·
Ἢ χρηστὰ λαβὼν, πενθεροὺς δ᾽ ἀνωφελεῖς
Λαβὼν, πιέζει τἀγαθῷ τὸ δυστυχές.

Γαμβροὺς eoſdem dicit, quos πενθεροὺς. Scholiaſta: Γαμβροὺς τοὺς πενθεροὺς λέγει, συγχέων τὴν ὀνομασίαν τὸ ἀκριβὲς. ἐν μέντοι, πενθεροὺς δ᾽ ἀνωφελεῖς, ὑγιῶς κέχρηται. Politus.

4. ὡς καὶ αὐτοὺς κατὰ γαμικὸν κηδεύοντας συνάλλαγμα) Γαμβροὶ ἀπὸ τοῦ γάμου, quaſi γαμικοὶ, *nuptiales*, tam generi poſſunt dici, quàm ſoceri. Sic Cimbri, quaſi Commeri: μεσημβρία, quaſi μεσημερία. Salvinus.

Etymologici Magni Auctor: γαμβρὸς παρὰ τὸ γαμῶ, γαμερὸς· καὶ κατὰ συγκοπὴν, καὶ πλεονασμῷ τοῦ β· ἢ παρὰ τὸ γάμος. Politus.

ipſi per contractum γαμικὸν, *nuptialem*, acquirantur. Quin & apud Sophoclem Oedipus Creontem, Jocaſtæ fratrem, γαμβρὸν ſuum appellat, tamquam ἐξ ἐπιγαμβρίας, *ex connubiali jure, ſeu ex juncto matrimonio*, affinem. Quamquam alibi, ubi propriè, ac diſtinctè loquitur, κηδεστὴν, *affinem, ſeu uxoris fratrem*, eum nominet in his verbis: ἄναξ, ἐμὸν κήδευμα. *rex, mi affinis*. Ceterùm cum τοῖς κασιγνήτοις, *fratribus germanis*, veriſimile eſt alios quoque ſimul intelligi conſanguineos: quemadmodum etiam nomen hoc ὅμαιμος, *ejusdem ſanguinis conſors*, itemque αὐθόμαιμος, *ex eodem ſimul ſanguine ortus*, conſanguinitatem univerſam, ſeu cunctos propinquos, & conſanguineos ſexcentis in locis ſignificat.

CXXXIX. Τὸ νοῆσαι, *noſcere, intelligere, percipere, animadvertere*, diſtinguit hic Poëta ab ἰδεῖν, *videre*, non quidem generatim, nec ſimpliciter, ſiquidem videt mens, ſicuti etiam audit; ſed quia noſci quidpiam, atque intelligi aliquando contigit, & non videri, ut cum aliquid intelligimus, quod auditu percepimus. Τὸ, Τηλοῦ γὰρ Λυκίη, *procul enim Lycia*, ut alibi etiam ſupra declaratum eſt, poſitum eſt ad diſtinctionem parvæ Lyciæ, cui, ut ſupra diximus, imperabat Pandarus. Ea enim non procul eſt; ſed prope a Trojâ. Τὸ, Ξάνθῳ δινήεντι, *Xantho verticoſo*, dicitur, ſecundùm veteres, ad differentiam Xanthi, quæ urbs eſt Lyciæ. Illa enim quidem Xanthus; ſed non δινήεις, *verticoſus*. Quippe fluvii epitheton, ὁ δινήεις, *verticoſus, verticibus plenus, undoſus*. Τὸ ἔλδω, *deſidero, cupio, concupiſco*, ex quo τὸ ἔλδεται, *deſiderat*, ſibi etiam aliquando, veluti quamdam ſarcinam, imponit alterum ε, facitque τὸ ἐέλδωρ, *deſiderium*: atque, ut omnia paucis complectar, tum ἔλδω dicitur duabus ſyllabis, tum ἐέλδω ſyllabis tribus, ut innumeris in locis manifeſtè apparet. Τὸ φέροιεν, ἢ ἄγοιεν, *ferant, ſeu ducant*, clarè perſpicuèque oſtendit differentiam τοῦ ἄγειν, *ducendi, ſeu agendi*, & φέρειν, *ferendi*. Dicuntur autem ut plurimùm ἄγεσθαι, *duci*, animata, quæque idonea ſunt ambulationi; φέρεσθαι verò, *i. e. ferri*, ea, quæ portantur. Unde & τὸ φοράδην adverbium, *i. e. portando, geſtando, inter manus ferendo*, ut ſupra ſcriptum eſt, & φέρτρον, *pheretrum*, ideſt, lectulus, ſeu capulus, quo effertur, ac geſtatur cadaver; itemque ἐκφορὰ, *elatio funeris*, ideſt, exequiæ, & φορεῖον, *geſtatorium, ſeu ſella geſtatoria*, & ἀναφέρειν, *ſe recipere, ac recolligere*, ideſt, ex ebrietate ad ſe redire, ſeu poſt diſſolutam ſomno crapulam evigilare. contraquam ſeſe habet τὸ καταφέρεσθαι, *in ſomnum collabi*. Quin & differentiam duorum horum verborum novit Comicus, ubi dicit: Ἄγομαι, φέρομαι, τὰ χρήματα ἐνεχυράζομαι. *Agor, feror, bona mea oppignero*. Et ſic etiam loquitur alicubi Herodotus: ἔφερον, καὶ ἦγον τοὺς ἐν τῇ νήσῳ. *ferebant, age-*

μικὸν κληθέντας συνάλλαγμα. καὶ ὁ παρὰ Σοφοκλεῖ δὲ Οἰδίπους, [1] γαμβρὸν ἑαυτοῦ, τὸν τῆς Ἰοκάστης ἀδελφὸν, Κρέοντα λέγει, ὡς ἐξ ἐπιγαμβρίας συγγενῆ. [2] Ἀλλαχοῦ μέντοι, κη- *Rom.p.573.*
δεστὴν κυριολεκτῶν αὐτὸν λέγει ἐν τῷ, ἄναξ, ἐμὸν κήδευμα. Τοῖς κασιγνήτοις δὲ εἰκὸς καὶ τοὺς ἄλλους καθ᾽ αἷμα συνεπινοῆσαι· καθὰ καὶ [3] τὸ τοῦ ὁμαίμων, καὶ αὐθομαίμων ὄνομα ἐν μυρίαις χρήσεσι τὴν ὅλην δηλοῖ συγγένειαν.

ρλθ΄. Τοῦ δὲ ἰδεῖν τὸ νοῆσαι διέστησεν ἐνταῦθα ὁ Ποιητὴς, οὐχ ἁπλῶς, εἴγε νοῦς ὁρᾷ, ὥσπερ καὶ ἀκούει· ἀλλὰ διότι [4] ἐστὶ νοῆσαί ποτε καὶ δίχα τοῦ ἰδεῖν, ὁποῖόν τι καὶ τὸ ἐξ ἀκοῆς μαθεῖν. [5] Τὸ δὲ, Τηλοῦ γὰρ Λυκία, ὡς καὶ ἀλλαχοῦ προδεδήλωται, πρὸς διαστολὴν κεῖται τῆς μικρᾶς Λυκίας, ἧς, ὡς προῄρηται, ἦρχεν ὁ Πάνδαρος. Αὕτη γὰρ, οὐ τηλοῦ, ἀλλὰ ἐγγὺς τῆς Τροίας ἐστί. Τὸ δὲ, Ξάνθῳ δινήεντι, πρὸς ἀντιδιαστολὴν λέγεται, κατὰ τοὺς παλαιοὺς, Λυκιακῆς πόλεως Ξάνθου. Ἐκείνη γὰρ, Ξάνθος μέν· οὐ δινήεις δέ. ποταμοῦ γὰρ ἐπίθετον, ὁ δινήεις. Τὸ δὲ ἔλδω, ἐξ οὗ τὸ ἔλδεται, φορτίζεταί ποτε καὶ ἕτερον ε, καὶ ποιεῖ τὸ ἐέλδωρ· καὶ ὅλως εἰπεῖν, καὶ ἔλδω δισυλλάβως λέγεται, καὶ ἐέλδω ἐν τρισὶ συλλαβαῖς, ὡς μυριαχοῦ φαίνεται. Τὸ δὲ, [6] φέροιεν, ἢ ἄγοιεν, φανερὰν διαφορὰν δηλοῖ τοῦ ἄγειν, καὶ φέρειν. Λέγεται δὲ ὡς ἐπὶ πολὺ ἄγεσθαι μὲν τὰ ἔμψυχα, καὶ βαδιστικά· φέρεσθαι δὲ τὰ βασταζόμενα. ὅθεν καὶ τὸ φοράδην ἐπίρρημα, ὡς προγέγραπται, καὶ φέρτρον τὸ νεκροφόρον κλινίδιον, καὶ ἐκφορὰ ἡ ταφὴ, καὶ φορεῖον, καὶ ἀναφέρειν τὸ ἀνανήφειν. οὗ τὸ ἐναντίον καταφέρεσθαι. Οἶδε δὲ καὶ ὁ Κωμικὸς διαφορὰν τῶν δύο τούτων ῥημάτων ἐν τῷ, [7] Ἄγομαι, φέρομαι, τὰ χρήματα ἐνεχυράζομαι. Λέγει δέ που καὶ Ἡρόδοτος· [8] ἔφερον, καὶ ἦγον τοὺς ἐν τῇ

1. γαμβρὸν ἑαυτοῦ, τὸν τῆς Ἰοκάστης ἀδελφὸν, Κρέοντα λέγει, ὡς ἐξ ἐπιγαμβρίας συγγενῆ) Oedipus apud Sophoclem in Oedipo Tyranno:

Κρέοντ᾽, ἐμαυτοῦ γαμβρὸν ἐς τὰ Πυθικὰ
Ἔπεμψα Φοίβου δώμαθ᾽, ὡς, &c.

Ubi Demetrius Triclinius: ἀπορήσειέ τις, πῶς ὁ Κρέων, τῷ μὲν ἀληθεῖ θεῖος ὢν Οἰδίποδος, τῷ δὲ φαινομένῳ γυναικάδελφος, γαμβρὸς νῦν παρὰ τούτῳ καλεῖται. καὶ φαμὲν, ὅτι ἀντὶ τοῦ συγγενὴς ἐνταῦθα τὸ γαμβρὸς κεῖται· ἐνταῦθα ἐκεῖ ἐξ ὧν οὐ μόνον ὁ πενθερὸς, ἀλλὰ καὶ ὁ γαμβρὸς, καὶ ὁ γυναικάδελφος εὕρηται. Politus.

2. Ἀλλαχοῦ μέντοι, κηδεστὴν κυριολεκτῶν αὐτὸν λέγει) Immo verò μετ᾽ ὀλίγα Oedipus in Oedipo Tyranno:

Ἄναξ, ἐμὸν κήδευμα, παῖ Μενοικέως. Politus.

3. τὸ τοῦ ὁμαίμων, καὶ αὐθομαίμων ὄνομα ἐν μυρίαις χρήσεσι τὴν ὅλην δηλοῖ συγγένειαν) Lycophron:

Τέμνων τῆς Ἄτλαντος ἀθλίας σπόρον,
Τῶν αὐθομαίμων συγκατασκάψαντα Πρόλιν.

Intellige, αὐθομαίμων, τῶν συγγενῶν Τρώων. & rurſus:

Πρινὸ δ᾽ ὁμαίμων πάντα κοινώσας δόμον.

Politus.

4. ἐστὶ νοῆσαί ποτε καὶ δίχα τοῦ ἰδεῖν) Ceterùm νοῆσαι, *intelligere* pro *cernere*, ac *videre* uſurpatur. Cum intelligentiâ enim acutiſſimus ſenſuum viſus comparatur. Sic contemplari, θεωρεῖν, tam de intellectu, quam de viſu uſurpatur. *Salvinus.*

5. Τὸ δὲ, τηλοῦ ἐν Λυκίῃ) l. Τηλοῦ γὰρ Λυκίη. Λυκία Euſtathius pro Homerico Λυκίη. Polit.

6. φέροιεν, ἢ ἄγοιεν) Hinc ἄγειν καὶ φέρειν ſus deque ferre. Salvinus.

7. Ἄγομαι, φέρομαι) Comicus Nubibus:

Ἄγομαι, φέρομαι, τὰ χρήματ᾽ ἐνεχυράζομαι.

Polit.

8. ἔφερον, καὶ ἦγον τοὺς ἐν τῇ νήσῳ) Firmat Euſtathius antiquam ſcripturam Herodoti, quam ex MS. codice Mediceo adſtruebat Jacobus Gronovius. Ubi enim libri vulgò impreſſi Herodoti legunt ἄγον, tamquam magis Jonicum, codex Mediceus cum augmenti notâ, ἦγον. ut lib. 1. de Phocæenſibus, qui in Cyrnum inſulam navigaverant: καὶ ἦγον τε δὴ, καὶ ἔφερον τοὺς περιοίκους ἅπαντας. Politus.

τῇ νήσῳ. καὶ πάλιν· ἔφερε, καὶ ἦγε πάντας, διακρίνων οὐδένα. καὶ Ὅμηρος δὲ ἀλλαχοῦ· ἦγον μὲν μῆλα, φέρον δ' εὔηνορα οἶνον. Τὸ δὲ τύνη, [1] Δωρικὴ καὶ νῦν ἀντωνυμία, πεζογράφοις ἄχρηστος, [2] κειμένη καὶ παρ' Ἡσιόδῳ.

ρμ'. Τὸ δὲ [3] ὤρεσσι, δηλοῖ μὲν τὸ γυναιξὶν, ἀνδράσι συνεζευγμέναις· τοιαύτην δὲ τὴν ἔχει διάθεσιν παραγωγῆς. Ἔστι ῥῆμα ἀείρω τὸ ὁμοῦ εἴρω, καὶ συζευγνύω. ὡς τὸ, [4] Σὺν δ' ἤειρεν. ἤγουν συνέζευξε, συνέδησεν. Ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα, ἄορ ἡ συνεζευγμένη, καὶ ὁμοῦ οὖσα τῷ ἀνδρὶ γυνή. Διὰ δὲ τὴν πρὸς τὸ ξίφος συνέμπτωσιν, [5] μετατεθὲν τὸ ἄορ, γέγονεν ὄαρ. [6] ἐξ οὗ καὶ ἁπλῶς ὀαρίζω τὸ σύνειμι, καὶ οἷον συνέζευγμαι, καὶ ὁμιλῶ· καὶ ὀαρισμὸς ἡ ὁμιλία· καὶ ὀαριστὴς ὁ ὁμιλητής· [7] καὶ ξυνάορος, κατὰ τὴν Τραγῳδίαν, ἡ γυνή, [8] καὶ μήν ποτε καὶ ὁ ἀνήρ· [9] καὶ ξυνωρὶς ἡ συζυγία τῶν ἵππων. καὶ τετράορον φάσμα ταύρου· καὶ τέτρωρον τὸ τετράζευκτον· καὶ τετράορες ἵπποι ἐν Ὀδυσσείᾳ. [10] Τὸ δὲ ὄαρ συναιρεθὲν, γέγονεν

agebantque inſulares, diripiebant, depopulabantur. & rurſus: ἔφερε, καὶ ἦγε πάντας, διακρίνων οὐδένα. *ferebat, agebatque omnes, populabatur, diripiebat, nullo facto cujuſquam diſcrimine.* Nec non Homerus alibi: ἦγον μὲν μῆλα, φέρον δ' εὔηνορα οἶνον. *adducebant oves, afferebantque generoſum vinum.* Τὸ τύνη, *tu*, Doricum etiam nunc pronomen, proſæ orationis ſcriptoribus inuſitatum; ſed quod legas etiam apud Heſiodum.

CXL. Τὸ ὤρεσσι, *conjugibus*, quoad ſignificationem quidem, idem eſt, atque mulieribus junctis matrimonio, ſeu uxoribus: ſed quoad derivationem vocis, ea ſanè derivatio eſt hujuſcemodi. Eſt verbum ἀείρω, ideſt, ὁμοῦ εἴρω, *ſimul necto, connecto*, & copulo, ſive conjungo. ut: Σὺν δ' ἤειρε. *Simulque junxit.* videlicet conjunxit, copulavit, colligavit. Ex eo nomen verbale, ἄορ, *conjux*, mulier juncta matrimonio, & conſortium vitæ, atque conſuetudinem habens cum viro. Sed ne conveniret, ſeu concurreret cum eo ipſo nomine, quod enſem ſignificat, trajectis per metatheſin litteris, τὸ ἄορ factum eſt ὄαρ, *conjux, uxor*. Unde etiam generatim ὀαρίζω, ideſt, verſor cum aliquo, & cum eo ſum veluti conjunctus, & copulatus, colloquor, confabulor; itemque ὀαρισμὸς, ideſt, colloquium, collocutio, conſuetudo; & ὀαριστὴς, ideſt, contubernalis, ſive is, cui frequens eſt cum aliquo conſuetudo; itemque in Tragœdiâ ξυνάορος, ideſt, uxor; immo etiam interdum maritus; & ξυνωρὶς, ideſt, par equorum, ſive bijuges equi, par equorum trahentium currum: & τετράορον φάσμα ταύρου. *quadrijugum ſpectrum Tauri.* & τέτρωρον, *quadriga*, ideſt, quadrijugus currus; & τετράορες ἵπποι, *quadrijuges equi*, in Odyſſeâ. Porro autem τὸ ὄαρ, *conjux*, per ſynæreſin fit ὦρ, cum accen-

1. Δωρικὴ καὶ νῦν ἀντωνυμία) παρήγαγες. Quippe Dorienſes τὸν σὺ ἀντωνυμίαν λέγουσι μετὰ τοῦ ν, τύν· ὅπερ προσθέσει τοῦ η, γίνεται τύνη. Politus.

2. κειμένη καὶ παρ' Ἡσιόδῳ) Etymologici Magni Auctor: τὸ δὲ τύνη, ὅπερ ἐστὶ τὸ σὺ ἴσον, ἀντωνυμία. ὡς τό, Τύνη δ' ὤρμας. καὶ Ἡσίοδος· ἴδμεν θέμιστας τύνη. Polit.

3. ὤρεσσι, δηλοῖ μὲν τὸ γυναιξὶν, ἀνδράσι συνεζευγμέναις) Heſychius: ὤρεσι, γυναιξὶν, ἀπὸ τοῦ συνεζεῦχθαι ἀνδράσιν. Polit.

4. Σὺν δ' ἤειρεν) Il. ά Σὺν δ' ἤειρεν ὁμοῦ, ideſt, συνέδησεν, ut exponit Scholiaſta. Polit.

5. μετατεθὲν τὸ ἄορ, γέγονεν ὄαρ) Secundùm alios, qui aliam etymologiam ſequuntur, μετατεθὲν τὸ ὄαρ, γέγονεν ἄορ. Eſt enim iis ὄαρ ἀπὸ τοῦ ὁμοῦ ἀείρεσθαι, καὶ συνηρμόσθαι ἀνδρί. Inde ab ὄαρ, per metatheſin ἄορ. Ita certè Orus, Etymologici Magni Auctor: ὁ δὲ Ὧρος λέγει, ὅτι παρὰ τὸ ὁμοῦ ἀείρεσθαι γίνεται ὄαρ· καὶ ὑπερθέσει, ἄορ. Sed & in textu eſt ὄαρες. Unde ὄαρες apud Etymologum, αἱ γυναῖκες. αἱ γαμεταί, τουτέστιν ὁμόζυγοι οὖσαι, παρὰ τὸ ὁμοῦ ἀείρεσθαι γάμῳ, καὶ συνηρμόσθαι. Heſychius: ὄαρες, αἱ γυναῖκες, ἀπὸ τοῦ συνηρμόσθαι. Politus.

6. Ἐξ οὗ καὶ ἁπλῶς ὀαρίζω τὸ σύνειμι) Etymologus v. ὄαρες. Ἐξ αὐτοῦ δὲ καὶ ὀαρίζειν λέγεται, τὸ τὰς ἄνδρας γυναιξὶν ὁμιλεῖν. Heſychius: ὀαρίζων, ἄνδρας, καὶ γυναῖκας ὁμιλῶν. Apud eundem etiam Heſychium ὀαρισμοί, διάλογοι, ἢ ᾠδαὶ, καὶ γυναικὸς ὁμιλίαι. ὄαρες γὰρ αἱ γυναῖκες. Politus.

7. καὶ ξυνάορος, κατὰ τὴν Τραγῳδίαν, ἡ γυνή) Etymologus: Συνάορος σημαίνει τὴν γαμετήν, παρὰ τὸ συνηρμόσθαι. ἢ συνάορος τις ἐστὶ, καὶ συνόμιλος, μετατεθέντος τοῦ α. Fortaſſe ut ὄαρ, & ὄαρες in textu. unde ὄαροι, ἀλλ' ὤν πληθυντικόν· ſic etiam in textu ξυνάορος. & ξυνάον, & per ectaſin, ξυνήων. Heſychius: Ξυνάων, ..., δάμαρ, γυνή, ἄλοχος. Quidam pro Ξυνάων reſcribendum ſuſpicabantur ξυνήων. Sed ut Haſychianam illam ſcripturam temerè mutem, facit τὸ ἄορες, πληθυντικόν· quod quidem dictum eſt per ectaſin pro ὄαρες. Etymologici Magni Auctor: ὄαρες, αἱ γυναῖκες· παρὰ τὸ ὁμοῦ ἀείρεσθαι, καὶ συνηρμόσθαι τῷ ἀνδρί, γίνεται ὄαρες. ..., ἄορες· κατὰ μεταπλασμόν, ἄορες· καὶ καθ' ὑπέρθεσιν, καὶ ἐκτάσει, ὤαρες. Politus.

8. καὶ μήν ποτε καὶ ὁ ἀνήρ) Heſychius: ξυνάορον, ἀνδρῶν. Etymologus: παρὰ τὸ ἄρω τὸ ἁρμόζω, ξυνωρὶς τις ὤν, ὁ μετὰ τινος. Polit.

9. καὶ ξυνωρὶς ἡ συζυγία τῶν ἵππων) Heſychius: ξυνωρίς, ἅρμα ἵππων ἐζευγμένον. Suidas: ξυνωρίς, συζυγία, ἢ ἅρμα ὑπὸ δύο ἵππων συνεζευγμένον. Item Haſychius: συνωρίς, ἅρμα ὑπὸ δύο ἵππων, ἢ συζυγία. Ab equis bijugibus tranſlata ea vox ad quodvis par ſignificandum: & tunc ξυνωρὶς ἡ δυάς. Etymologici Magni Auctor: ξυνωρὶς σημαίνει τὴν δυάδα. Heſychius: συνωρίδος, δυάδος. Euripides Phœniſſis:

Ζῇ σοι ξυνωρὶς ὡς τόδ' ἡμέρας τέκνα.

& Medeâ:

Πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα.

Politus.

S. Jo. Chryſoſt. oratione in laudem duorum Sanctorum, ὦ ἁγία συνωρίς, inquit. ideſt, *o ſancta biga, o ſanctum par.* Salvinus.

Joh. Chryſoſtomus Serm. 4. de Lazaro: οὐκ ἠκούσατε ὅτε ἐμνημονεύσαμεν τοῦ μακαρίου Βαβύλα, καὶ τῆς ξυνωρίδος τῶν ἁγίων μαρτύρων τῶν μετ' ἐκεῖνον παρελθόντων τὰ κατορθώματα. Et Homil. in Sanctos Martyres Juventinum, & Maximinum: Ὁ μακάριος Βαβύλας πρώην ἡμᾶς ἐνταῦθα μετὰ παίδων τριῶν συνήγαγε, σήμερον στρατιωτῶν ξυνωρὶς ἁγίων τὸ τοῦ Χριστοῦ στρατόπεδον ἐπὶ τὴν παράταξιν ἄγουσα. τότε τριῶν μαρτύρων, νῦν ξυνωρὶς μαρτύρων. Joh. item Damaſcenus Serm. 1. in Nat. Matris Dei, ac Virginis Mariæ: ὦ μακαρία συνωρὶς Ἰωακείμ, καὶ Ἄννα. Plura talia in Græcis Scriptoribus. Sed locus ille prior Chryſoſtomi fraudi a primo fuerat magno viro, Cæſari Baronio. Nam perinde quaſi Chryſoſtomus Xynoridem quamdam Martyrem memoraſſet, eam inde Baronius in Sacras Romani Martyrologii Tabulas ſtatim poſt Babylam, Epiſcopum Antiochenum, a. d. IX. Kal. Febtuar. retulerat his verbis: *Ibidem* (Antiochiæ) *Sanctæ Xynoridis Martyris.* cujus etiam ſacram memoriam in Notationibus, quas ad Martyrologium Romanum adjecit Romæ anno MDLXXXVI. ita illuſtraverat: *Xynoridis, aliàs Synoridis*) *De eâ ſcribit S. Joannes Chryſoſtomus Homil. 4. de Lazaro. De aliâ juniori, nobilitate, & pietate clarâ feminâ Synoride S. Hieronymus epiſt. 8. ad Demetriadem ſcribit in hæc verba: Fertur, & omnium Chriſtianorum laude celebratur, quidquid fuerat nuptiis præparatum, a Sanctâ Chriſti Synoride virgini traditum, ne ſponſo fieret injuria, immo & dotata priſtinis opibus, veniret ad ſponſum, & quod in rebus mundi periturum erat, domeſticorum Dei ſuſtentaret* (Baronius *ſuſtentavit*) *inopiam. Hæc Hieronymus.* Ita quidem Baronius: qui, ſi Hieronymi verba, ac ſententiam melius inveſtigaſſet, non ſibi certè juniorem aliam Synoridem, nobilitate, ut ait, & pietate claram feminam, ſibi temerè confinxiſſet. Συνωρίδα namque Chriſti, Hieronymus par vocat ſanctarum veréque Chriſtianarum mulierum, Probæ, & Julianæ, quarum altera, avia; altera, mater erat Demetriadis. Errorem illum ſuum animadvertiſſe poſtea, & in curis ſecundis correxiſſe Baronium, inde certò conſtat, quòd ea Martyrologio deinde Romano memoriam, quam ipſe antea imprudenter intruſerat, *Sanctæ Xynoridis Martyris*; nomenque etiam alterius junioris Synoridis ex Notationibus ſuis, penitus delevit. Nos alibi plura, quæ ad Martyrologium Romanum illuſtrandum pertinent. *Politus.*

10. Τὸ δὲ ὄαρ συναιρεθὲν, γέγονεν ὦρ) Etymologus ex Oro: ὄαρ, καὶ ὑπερθέσει, ἄορ, καὶ συναλοιφῇ, ὦρ. Polit.

accentu circumflexo, ut ἔαρ, ἦρ, *ver*; κέαρ, κῆρ, *cor*; ἄολξ, ὦλξ, *ulcus*. Unde, numero multitudinis, ὦρες, *conjuges*. eujus dativus, ὤρεσι, *conjugibus*, Jonicè, ut κύνεσι, *canibus*, ἄνδρεσι, *viris*. Exemplum autem, muliebri genere, τῆς ξυνάορυ, *conjugis, ſive uxoris*, tum alibi extat, tum hoc loci: τίω σίω ἀπολάβῃς ξυνάορον. *tuam receperis uxorem*. ut, virili genere, exemplum τῦ ξυνάορυ, *conjugis, ſeu mariti*, eſt in illis verbis: νύμφας ὀρφανὰς ξυναόρων. hoc, eſt, συζύγων. *Sponſas viduas conjugibus. h. e. maritis*. Quod ait, νύκτας τε, ϗ ἦμαρ, *noctesque, diemque*, id ipſum apertè oſtendit, ductorem exercitûs non modò de die ſedulum in munere ſuo, ac diligentem eſſe oportere; verùm etiam de nocte; neque ei per totam noctem indulgendum eſſe ſomno, quemadmodum alicubi dictum eſt. Eſt autem τὸ ἦμαρ, *de die*, loco adverbii. ut τὸ αὐτῆμαρ, *ipſo eodem die*, ἐννῆμαρ, *per novem dies*.

CXLI. Hic volo, obſerves, ut paullò ante Mars, dum cunctos filios Priami ad pugnam adhortaretur, brevem ad eos orationem habuit, quinque verſibus comprehenſam; & tamen hoc loci Sarpedon magnâ admodum verborum aſfluentiâ ad Hectorem utitur. In cauſsâ eſt, quòd filii Priami, nomen eſt interminatum, & indefinitum; terminatum autem, & proprium, Hector. At enim Oratoribus major ſemper copia, atque affluentia eſt in certis determinatiſque perſonis, ut liquidò apparet, cum per ethopœjam quibusdam perſonis verba accommodatè adfinguntur, tum apud alios auctores, tum apud Homerum. Conſtat enim, preſſo nimis arctoque ſermone Homerum uti, cum indefinitarum perſonarum dicta per ethopœjam exponit: qui tamen longè lateque diffunditur in eo ethopœjarum genere, quas nomine perſonarum proprio definit. Atque hæc quidem ita. Quod autem ad loci hujus ſententias attinet, ſciendum, ad eum, qui de priſtino labore aliquid remiſit, pulchrum dictu eſſe illud: πῆ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες; *quò jam tibi robur abiit, quod prius habebas?* Siqui verò minimè reperiantur, dum perquiruntur, appoſitum in eos eſſe illud: Τῶν ὄτινα ἐγὼν ἰδέειν δύναμαι, ὐδὲ νοῆσαι. *Quorum ego neminem quemquam videre poſſum, neque animadvertere*. Sin autem illi ipſi, qui perquiruntur, hoſtem aliquem fugiant, adjiciendum quoque eſſe illud: Ἀλλὰ πτώσσουσι, κύνες ὡς ἀμφὶ λέοντα. *Sed trepidant, veluti canes circa leonem*. Eum item, qui, amicitiæ cauſsâ, peregrè abiit, & chariſſima ſibi pignora reliquit, perbene uſurpaturum eſſe illud: ἄλοχόν τε φίλην ἔλιπον, ϗ νήπιον υἱὸν, Κὰδ δὲ κτήματα πολλά. *uxoremque charam reliqui, & parvulum filium, & poſſeſſiones multas*. Quòd ſiquis procul ſuâ domo, atque in regione alienâ, mendicitate laboret, eum dicturum: ὅτι μοι ἐνθάδε τοῖον, οἷόν κε φέροιεν, ἢ ἄγοιεν. *nihil hîc mihi tale, quale vel auferant, vel abducant*: Vide verò illud, τοῖον, οἷον, *tale, quale*, quippe figuratum genus loquendi, quod pulchritudinem, atque ornatum addat orationi. ſimiliter atque τὸ, Σαμία μία ναῦς. *Samia una navis*. & ταμία μία. *cellaria una*. aliaque id genus. Quam quidem figuram Rhetores vocant Epanaſtropen, ſeu Reverſionem.

γονεν ὦρ περισπωμένως, ὡς ἔαρ ἦρ· κέαρ κῆρ· [1] ἄολξ ὦλξ. ϗ [2] πληθυνθὲν, ἐγένετο ὦρες. [3] ἧς ἡ δοτικὴ ὤρεσιν Ἰωνικῶς, ὡς κύνεσιν, ἄνδρεσιν. Χρῆσις δὲ τῆ μὲν ξυνάορυ, ἔν τε ἄλλοις, ϗ ἐν τῷ, τίω σίω ἀπολάβῃς ξυνάορον· τῦ δὲ ξυνάορυ, ἐν τῷ, νύμφας ὀρφανὰς ξυναόρων. ὅ ἐστι, συζύγων. Τὸ δὲ νύκτας τε, ϗ ἦμαρ, δηλοῖ μὲν ϗ αὐτὸ, τὸ μὴ μόνον ἐν ἡμέρᾳ δεῖν ἐνεργὸν εἶναι τὸν ἀρχηγὸν, ϗ ἐπιμελῆ, ἀλλὰ ϗ ἐν νυκτί· [4] ϗ μὴ παννύχιον εὕδειν, ὥς πυ εἴρηται. Ἔχει δὲ τὸ ἦμαρ ἀντὶ ἐπιῤῥήματος. οἷον ϗ τὸ αὐτῆμαρ, ἐννῆμαρ.

ρμα. Ἐν τύτοις δὲ σημείωσαι ϗ, ὅτι πρὸ ὀλίγυ μὲν ὁ Ἄρης τὺς ὅλυς υἱὺς τῦ Πριάμυ ὀτρύνων εἰς μάχην, ὀλίγα τινὰ ἐν πέντε στίχοις ἐδημηγόρησεν· ἐνταῦθα δὲ ὁ Σαρπηδὼν πάνυ εὐπορεῖ πρὸς τὸν Ἕκτορα. Αἴτιον δὲ, ὅτι οἱ μὲν υἱοὶ τῦ Πριάμυ, ἀόριστον ὄνομα· ὡρισμένον δὲ, ϗ κύριον, ὁ Ἕκτωρ. Πλείων δὲ ἀεὶ τοῖς ῥήτορσιν εὐπορία ἐν τοῖς ὡρισμένοις ἐστὶν, ὡς δῆλον ϗ ἐκ τῶν ἠθοποιϊῶν τῶν τε ἄλλων, ϗ τῶν Ὁμηρικῶν. Δῆλον γὰρ, ὅτι ἀορίστων μὲν προσώπων ἠθοποιΐας ἐκτιθεὶς Ὅμηρος, στενολογεῖ· ἐμπλατύνεται δὲ ταῖς ἀπὸ Baſ. p. 436.
τῶν κυρίων. Καὶ ὕτω μὲν ταῦτα. Ἰστέον δ' ἐν τοῖς ῥηθεῖσι ϗ, ὅτι πρὸς μὲν τὸν ἐνδόντα τῦ πόνυ, καλόν ἐστι ῥηθῆναι τὸ, πῆ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες; πρὸς δὲ τὺς μὴ εὑρισκομένυς ἐν τῷ ψηλαφᾶσθαι, οἰκεῖον τὸ, Τῶν ὄτινα ἐγὼν ἰδέειν δύναμαι, ὐδὲ νοῆσαι. Εἰ δὲ ϗ φεύγυσιν ἀντίπαλόν τινα οἱ ψηλαφώμενοι, προσθετέον ϗ τὸ, Ἀλλὰ πτώσσυσι, κύνες ὡς ἀμφὶ λέοντα. Ὁ δὲ διὰ φιλίαν ἀποδημήσας, ϗ τὰ φίλτατα λιπὼν, καλῶς ἂν εἴποι τὸ, ἄλοχόν τε φίλην ἔλιπον, ϗ νήπιον υἱὸν, Κὰδ δὲ κτήματα πολλά. Πτωχεύων δέ τις ἐν ἀλλοτρίᾳ, ἐρεῖ, Rom. p. 574.
ὅτι ὔτι μοι ἐνθάδε τοῖον, οἷον κε φέροιέν τινες, ἢ ἄγοιεν. Ὅρα δὲ ϗ τὸ, τοῖον, οἷον, σχῆμα ὂν κάλλυς ποιητικόν, ὁμοίως τῷ, Σαμία μία ναῦς. ϗ, ταμία μία. ϗ τοῖς τοιύτοις, ὅπερ ἐπαναστροφὴν καλῦσιν οἱ ῥήτορες.

Ne forte veluti flexuris retis prædam omnem capientis,
Hoſtibus præda, & lucrum efficiamini.
Illi verò cito evertent hanc habitatam urbem veſtram.

Μήπως ὡς ἀψῖσι λίνυ ἁλόντε πανάγρυ,
Ἀνδράσι δυσμενέεσσιν ἕλωρ, ϗ κύρμα γένησθε.
Οἱ δὲ τάχ' ἐκπέρσυσ' εὖ ναιομένην πόλιν ὑμήν.

1. ἄολξ) quod eſt per metatheſin ex ἄλοξ. Polit.
2. πληθυνθὲν, ἐγένετο ὦρες) ὄαρες, ea quæ per ſynæreſin ὦρες, ſecundum alios, dictum eſt per metaplaſmum pro ὄαρες. Etymologici Magni Auctor: ἔστι ἡ εὐθεῖα, ὄαρες. τὸ πληθυντικὸν, ὄαρες· ϗ, κατὰ μεταπλασμὸν, ὄαρες· ϗ, κατὰ συναίρεσιν, ὦρες. Politus.
3. ἧς ἡ δοτικὴ ὤρεσιν) Etymologus: ὤρεσιν, ἀντὶ τῦ, ταῖς γυναιξίν, Ἰλιάδ. ε'. ὑπὸ τῦ ὀαρίζειν, ϗ συνομιλεῖν ἀνδράσι· ἔνθεν ϗ ξυνωρίς· παρὰ τὸ ξυνομιλεῖν. Polit.
4. ϗ μὴ παννύχιον εὕδειν, ὥς πυ εἴρηται) Iliad. β'. Οὐ χρὴ παννύχιον εὕδειν βυληφόρον ἄνδρα. Salvinus.

Σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτας τε, καὶ ἦμαρ,
Ἀρχοὺς λισσομένῳ τηλεκλειτῶν ἐπικούρων
Νωλεμέως ἐχέμεν, κρατερὴν δ' ἀποθέσθαι ἐνιπήν.

Tibi autem oportet hæc omnia curæ eſſe noctesque dieſque;
Ducesque precari vocatorum e longinquo ſociorum,
Aſſiduè ut perſiſtant, & duram increpationem deponere.

ρμβ'. Κἂν [1] ἀπλοϊκῶς διαιτωμένους Ὅμηρος παρεισάγῃ τοὺς ἥρωας, [2] εὐθύς τε χρωμένους κρέασι, καὶ μάλιστα ὀπτοῖς, ἐξ ὧν, διὰ τὸ πολὺ τῆς χρήσεως, καὶ τὸ ὀπτανεῖον παρῆκται· ἀλλ' οἶδεν, ὥσπερ τὴν τῶν οἰωνῶν ἁμύλλαν, φασίν, ἄγραν, καὶ χρῆσιν, οὕτω καὶ [3] τὴν ἰχθυοφαγίαν. Ἐνταῦθα οὖν λέγει διὰ τοῦ Σαρπηδόνος τό, Μήπως ὡς ἀψῖσι λίνου [4] ἁλόντες πανάγρου, ἀνδράσι δυσμενέεσσιν ἕλωρ, καὶ κύρμα γένησθε. [5] Ἀψῖδες δὲ δικτύου, αἱ καμπαί, [6] καὶ ἀγκάλαι. Ἰστέον δέ, ὅτι σπάνιον τοῖς ἥρωσι καὶ ἡ τῶν ἰχθύων ἄγρα, ὥσπερ καὶ ἡ τῶν πτηνῶν· καὶ οὐκ ἦσαν ὑδροθῆραι παρ' αὐτοῖς, [7] εἰ μὴ ἄρα ἐν λιμῷ, ὡς ἐν Ὀδυσσείᾳ παρατετήρηται. Σημείωσαι δὲ καί, ὅτι οἱ πανωλεθρίᾳ περιπίπτοντες, οὐκ ἀφυῶς ἂν λέγοιντο ἀψῖσι λίνου πανάγρου ἁλίσκεσθαι. Τοιαύτης δέ τινος ἐννοίας ἔχεται καὶ τὸ εἰπεῖν, [8] σαγηνευθῆναί τινας ὑπὸ πολεμίων. Ὅρα δὲ τὸ πανάγρου. Οὐ γὰρ ἁπλῶς ἅπαν λίνον, δίκτυόν ἐστιν, ἀλλὰ τὸ τοιῶσδε σκευασθέν, ὁποῖον σὺν ἄλλοις καὶ τὸ πάναγρον, δικτύου εἶδός τι ὄν. Ἄλλως γὰρ πολυσήμαντον τὸ λίνον. [9] Φασὶ δὲ τὰ σχόλια, δέον εἶναι βαρύνεσθαι τὴν εὐθεῖαν τοῦ ἀψῖσιν, ἵνα λέγηται ἄψις, ἢ ὡς Αἰολικόν, καθὰ καὶ Ἡσίοδος [10] τρισπίθαμον ἄψιν φησίν, ἢ καὶ ἀναλόγως, [11] ὡς ἀπὸ μέλλοντος ὄν, καθάπερ τὸ μέμψις, καὶ ὄψις. ὥστε εἶναι τὴν δοτικὴν τῶν πληθυντικῶν, ἄψισι, προπαροξυτόνως. Λέγουσιν δὲ καί, ὅτι [12] ψιλοῦται τὸ α ἐνταῦθα παραδόξως· [13] καίτοι

ἀκ

CXLII. Etſi Homerus heroas ſimplici cibo victitantes introducit, ſtatimque utentes carnibus, & maximè ὀπτοῖς, *aſſis*, ex quibus, ob usûs ipſius frequentiam, derivato nomine, dictum etiam τὸ ὀπτανεῖον, *culina*; tamen, ſicuti, ut ajunt, aucupii illecebras, aveſque in cibum adhibitas novit, ſic etiam piſces eſitatos. Itaque hoc loci per Sarpedonis perſonam dicit: Μήπως ὡς ἀψῖσι λίνου ἁλόντες πανάγρου, Ἀνδράσι δυσμενέεσσιν ἕλωρ, καὶ κύρμα γένησθε. *Ne fortè veluti flexuris retis capti omnem prædam capientis, hoſtibus præda, & inſperatum lucrum efficiamini.* Ubi retis ἀψῖδες, ſunt ejus curvaturæ, ac ſinus. Sciendum autem eſt, raro admodum in uſu fuiſſe heroibus piſcatum, ſicuti etiam aucupium; neque piſcatores apud eos fuiſſe, niſi fortè famis tempore, ut obiter animadverſum eſt in Odyſſeâ. Præterea obſerva de iis, qui in ſummum diſcrimen adducuntur, ut propiùs abſint ab internecione, non ineptè dici poſſe, nexibus eos, ac ſinibus retis captos, & comprehenſos. Cui generi locutionis proximum ſenſu, atque affine eſt, ſiquis quoſdam dixerit, ab hoſtibus σαγηνευθῆναι, *irretitos, ac veluti intra everriculum concluſos, indagine cinctos fuiſſe*. Vide etiam τὸ πανάγρου, *omnem prædam capientis*. Non enim generatim omne linum, ſeu quidquid fit ex lino, rete eſt, ſed quod tali quodam modo eſt concinnatum, & diſpoſitum, atque eſt, præter alia hujuſcemodi, etiam τὸ πάναγρον, *panagron, trabeus, capiens omnia*, genus ſcilicet quoddam retis, ſeu verriculum. Alioquin enim variâ multiplicique ſignificatione eſt τὸ λίνον, *linum*. Notant autem ſcholia, efferendum eſſe cum accentu gravi rectum τοῦ ἀψῖσι, *nexibus, ſeu flexuris*, adeo ut dicatur ἄψις, *nexus, flexura, curvatura*, ſive quia Æolica vox eſt, ſicuti etiam Heſiodus dicit τρισπίθαμον ἄψιν, *curvaturam, ſeu orbem rotæ trium ſpithamarum, ſeu dodrantium*; ſive quia ita poſtulat analogia, tamquam a Futuro, quemadmodum τὸ μέμψις, *reprehenſio*, & ὄψις, *viſus, ſeu adſpectus*. ita ut dandi caſus, numero multitudinis, ſit ἄψισι, *flexuris*, acutâ antepenultimâ. Quin etiam addunt, novâ quadam ratione fieri, ut tenuetur hîc τὸ α· tametſi

1. ἀπλοϊκῶς διαιτωμένους Ὅμηρος παρεισάγῃ τοὺς ἥρωας) Athenæus: ἁπλῆν δὲ ἀποδιδοὺς (ὁ Ὅμηρος) τὴν δίαιταν πᾶσι, καὶ τὴν αὐτὴν ὁμοίως βασιλεῦσιν, ἰδιώταις, νέοις, πρεσβύταις, ὀπτὰ παρατιθεὶς πᾶσι κρέα. Politus.

2. εὐθύς τε χρωμένους κρέασι, καὶ μάλιστα ὀπτοῖς) Plato lib. 3. De Republ. οἶσθα γάρ, ὅτι ἐπὶ στρατιᾶς ἐν ταῖς τῶν ἡρώων ἑστιάσεσιν, οὔτε ἰχθύσιν αὐτοὺς ἑστιᾷ, καὶ ταῦτα ἐπὶ θαλάττῃ ἐν Ἑλλησπόντῳ ὄντας, οὔτε ἑφθοῖς κρέασιν, ἀλλὰ μόνον ὀπτοῖς· ἃ δὴ μάλιστα ἂν εἴη στρατιώταις εὔπορα. πανταχοῦ γάρ, ὡς ἔπος εἰπεῖν, αὐτῷ τῷ πυρὶ χρῆσθαι εὐπορώτερον, ἢ ἀγγεῖα ξυμπεριφέρειν. Plura hujuſcemodi vide apud Athenæum. Politus.

3. τὴν ἰχθυοφαγίαν) quod ex hoc loco Homeri obſervatum Athenæo l. 1. c. 19. *Polit.*

4. ἁλόντες) Poeta, ἁλόντε. Polit.

5. Ἀψῖδες δὲ δικτύου, αἱ καμπαί) Ἀψῖδες λίνου Heſychio, ἅμματα ἀπὸ τῆς συστροφῆς. Politus.

6. καὶ ἀγκάλαι) haud ſcio, an legendum ἀγκύλαι. Polit.

7. εἰ μὴ ἄρα ἐν λιμῷ) fortaſſe legendum, ἐν λίνῳ. adeſt, retibus e lino factis, non faſcinâ, aut tridente. Salvinus.

ἐν λιμῷ, premente fame, κατ' ἀνάγκην. Non eſt iſta ſcriptura, ac ſententia ſollicitanda. Hom. μ'. Odyſſ.

Ἀλλ' ὅτε δὴ νηὸς ἐξέφθιτο ἤια πάντα,
Καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ,
Ἰχθῦς, ὄρνιθάς τε, φίλας ὅ τι χεῖρας ἵκοιτο,
Γναμπτοῖς ἀγκίστροισιν· ἔτειρε δὲ γαστέρα λιμός.

Quem Homeri locum expendit Plutarchus Sympoſiac. lib. 8. Οἱ δὲ Ὀδυσσέως ἑταῖροι τοσαύτην πλέοντες θάλατταν, οὐδαμοῦ καθῆκαν ἄγκιστρον, οὐδὲ κύρτον, οὐδὲ δίκτυον, ἀλφίτων παρόντων· ἀλλ' ὅτε δὴ νηὸς ἐξέφθιτο ἤια πάντα, μικρὸν ἔμπροσθεν, ἢ τὰς τοῦ Ἡλίου βοῦς ἐπιχειρεῖν, ἰχθῦς ἠγρεύοντες. οὐ ὄψον, ἀλλὰ τροφὴν ἀναγκαίαν ἐποιοῦντο, γναμπτοῖς ἀγκίστροισιν· ἔτειρε δὲ γαστέρα λιμός. ὑπὸ τῆς αὐτῆς ἀνάγκης ἰχθῦσί τε χρώμενοι, καὶ τὰς τοῦ Ἡλίου βοῦς καταθύοντες. Euſtathius ad eumdem ipſum locum Homericum: τὸ δέ, ἀνάγκῃ, ἐμφαντικόν ἐστι τοῦ, ὅτι ἔτειρε δὲ γαστέρα λιμός. Δῆλον δέ, ὡς εἰ μὴ ἀνάγκη ἦν τοιαύτη. οὔτε ἰχθυοφάγοι οἱ παλαιοί, οὔτε ὀρνίθων ἐπεχείρουν θήρᾳ. Politus.

8. σαγηνευθῆναί τινας ὑπὸ πολεμίων) Strabo p. 448. de Eretria: τὴν μὲν οὖν ἀρχαίαν πόλιν κατέσκαψαν Πέρσαι, σαγηνεύσαντες, ὥς φησιν Ἡρόδοτος, τοὺς ἀνθρώπους τῷ πλήθει, περιχυθέντων τῶν βαρβάρων τοῖς τείχεσι. Politus.

9. Φασὶ δὲ τὰ σχόλια, δέον εἶναι βαρύνεσθαι τὴν εὐθεῖαν τοῦ ἀψῖσιν, ἵνα λέγηται ἄψις) Id ſibi objecerat Etymologus in ἀψίς· ὤφειλε δὲ βαρύνεσθαι, καὶ συστέλλειν τὸ ι. τὰ γὰρ εἰς ις ὀνόματα ἀπὸ μελλόντων γινόμενα, καὶ βαρύνεται. καὶ συστέλλει τὸ ι, μέμψω, μέμψις· ὄψω, ὄψις· λέξω, λέξις. οὕτω καὶ ἅψω, ἄψις ὤφειλεν εἶναι. ὅθεν Ἡσίοδος ἀναλογώτερον εἶπεν ἄψις βαρυτόνως. Quid ad hæc Etymologus? ἔστιν οὖν, inquit, αἰτίαι, ὅτι, ἐπειδὴ τὸ ἀψίς ἐκτείνει τὸ ι, τούτου χάριν καὶ ὀξύνεται. Τὰ γὰρ εἰς ις ὀξύνεσθαι θέλοντα ὑπὲρ μίαν συλλαβὴν ἁπλᾶ, ἐκτείνουσι τὸ ι, ἐπὶ τέλους ἔχοντα τὸν τόνον. οἷον, κνημίς, κρηπίς, σφραγίς. οὕτως οὖν καὶ ἀψίς. Politus.

10. τρισπίθαμον ἄψιν) Alii apud Heſiodum ἅψιν, cum adſpiratione, in Operib.

Τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἀμάξῃ.

Ἄψιν βαρυτόνως quem legit etiam Joh. Tzetzes, notat dici τὸ ἀψίς κατὰ παρασχηματισμὸν Ἀττικῶς. Politus.

11. ὡς ἀπὸ μέλλοντος ὄν) Verbi ἅπτω, jungo, necto, futurum ἅψω, unde ἀψίς. Lat. *abſis*. Vitruvius. Ovid. Met. *temo aureus, aurea ſumma curvatura rotæ*. Salvinus.

12. ψιλοῦται τὸ α ἐνταῦθα) Editio Homeri Florentina cum adſpiratione. *Polit.*

13. καίτοι ἐκ τοῦ ἅπτω γινόμενον) παρὰ τὸ ἅπτω τὸ σημαῖνον τὸ δεσμῶ. Derivationem hanc probat Etymologus, quatenus ἀψίς σημαίνει τὸν δεσμόν. At verò ſi ſignificat τοῦ τροχοῦ τὸ ἐν κύκλῳ ξύλον, mavult Etymologus eamdem vocem deducere ab ἅπτω, accendo, tamquam ab ἅψω, ἀψίς, ὁ ἀναπτῶν τὰς γῆς. Politus.

Digitized by Google

metſi derivetur ab ἅπτω, *necto, connecto, adnecto*. quemadmodum rurſus e contrario τὸ ἅλυσις, *catena*, etſi habet τὸ α, veluti particulam privationis; tamen, præter regulam communem, profertur cum adſpiratione. Ceterùm & de rotâ manifeſtum eſt dici τὴν ἀψῖδα, *curvaturam, ſeu figuram arcuatam*. Quippe ſcribit Pauſanias, ἀψῖδα, *curvaturam*, ligneum eſſe circulum rotæ; ejuſque circuli munimentum ferreum dictum eſſe ἐπίσσωτρον, *curvum ferramentum, ad lignum rotæ orbiculare cingendum*. Quamquam Homerus totam ipſam rotam, vocat κύκλον, *circulum*; at verò τὴν ἀψῖδα, *lignum illud orbiculare, quod radios continet*, ἴτυν, *ambitum rotæ*.

CXLIII. Λίνον, *linum, ſeu quod factum eſt ex lino*, tum de velis navis, ſeu carbaſis, dicitur, tum de retibus venaticis. Unde illud: διελίπησατο ὁ λαγωός. *per retia linea evaſit lepus*. hoc eſt, ἐξελίπησεν. *e retibus evaſit*. videlicet διεξέφυγε τὰ λίνα. *e retibus lineis effugit*. Servaturque etiam nunc vox hæc Oratoria apud pleroſque populos Aſiaticos, qui retia id genus, facta ex lino, appellant λινάρια, *reticula linea*. Præterea, quemadmodum μίτος, *filum*; ſic etiam eſt aliquando invenire λίνον, *linum*, uſurpatum de chordâ fidium, ſeu citharæ, ex antiquiſſimo uſu, ex quo etiam lyra appellatur χέλυς, *chelys, ſeu teſtudo*. Nam & chordæ erant olim ex lino, & Mercurius dicitur primus ex teſtâ teſtudinis muſicam Apollini oblectationem ingenioſè excogitaſſe, ut illius iram propter boves furto ablatos diſſolveret, ac ſedaret. Ideoque dicta eadem χέλυς, *chelys*, & λύρα, *lyra*. hoc quidem, quaſi λύτρα, *lytra, i.e. appoſita ad animum ſolvendum*; illud verò, tamquam ἀπὸ τῆς χελώνης, *a teſtudine*, a qua verbum χελύω, χελύσσω, *tuſſio, tuſſiam*. unde ἡ χέλυς, *chelys*. Sciendum autem eſt, τὸ λίνυ, *lini, ſeu retis linei*, corripere ancipitem, ut manifeſtum fit in Fabricatione Clypei, qui eſt Liber σ'. ideoque cum ultimâ, & penultimâ τῶν ἀψῖσι, *nexibus, ſeu flexuris*, dactylum facere: tametſi alii aliter metiuntur. Atque id quidem ita. Ceterùm hoc loci poſitum etiam eſt τὸ ὑμὴν pro ὑμετέραν, *veſtram*. Dicit enim εὖ ναιομένην πόλιν ὑμὴν. *bene habitatam urbem veſtram*. ut & in Odyſſeâ dicit ὑμὰ κτήματα, ideſt, ὑμέτερα. *veſtra bona*. Itaque videtur nominativus eſſe ὑμὸς, ideſt, ὑμέτερος, *veſter*: tametſi nulla ejus exempla reperta fuerunt. Sicuti etiam σφὸς, *ideſt, ſuus*, quamvis ipſum per ſeſe nomen in uſum nequa-

ἐκ τῆ ἅπτω γινόμενον. ὥσπερ αὖ πάλιν ἐκ τῆ ἐναντίας τὸ ἅλυσις, καίτοι ςερητικὸν ἔχον τὸ α, ὅμως καινότερον δασύνεται. [1] Ὅτι δὲ καὶ ἐπὶ τροχῦ ἡ ἀψὶς, δῆλον. Φησὶ γῦν καὶ Παυσανίας, ὅτι [2] ἀψὶς, ξύλινος κύκλος τροχῦ· τὸ δ' ἐπ' αὐτῦ σιδηρῦν, [3] ἐπίσωτρον. Ὅμηρος δὲ τὸ μὲν [4] τροχὸν ὅλον, κύκλον ὀνομάζει· τὴν δὲ ἀψῖδα, ἴτυν.

ρμγ'. Λίνον δὲ, καὶ ἐπὶ τῶν τῆς νηὸς ἱςίων λέγεται, καὶ ἐπὶ δικτύων κυνηγετικῶν. ὅθεν καὶ τὸ, διελινήσατο ὁ λαγωός. τυτέςιν, ἐξελίνησεν. ἤτοι διεξέφυγε τὰ λίνα. Καὶ φυλάττεται ἡ ῥητορικὴ αὕτη λέξις ἔτι νῦν [5] παρὰ πολλοῖς τῶν ἐν τῇ Ἀσίᾳ, οἳ καὶ τὰ τοιαῦτα λίνα, [6] λινάρια φασίν. Ἔςι δ' εὑρεῖν ποτε, [7] καθὰ μίτον, ὕτω καὶ λίνον, καὶ ἐπὶ μυσικῆς χορδῆς λεγόμενον, κατὰ παλαιτάτην χρῆσιν, καθ' ἣν καὶ χέλυς ἡ λύρα λέγεται. Αἵ τε γὰρ χορδαὶ ἦν ὅτε λίνεαι ἦσαν, καὶ Ἑρμῆς δὲ, φασι, πρῶτος Ἀπόλλωνι σκευωρίαν μυσικὴν ἐξ ὀςράκυ χελώνης ἐμηχανήσατο, εἰς λύσιν μήνιδος τῆς ἐπὶ κλοπῇ βοῶν ἐκείνυ. Διὸ καὶ χέλυς ἡ αὐτὴ, καὶ λύρα· [8] τῦτο μὲν, ὡς οἷον λύτρα τις· [9] ἐκεῖνο δὲ, ὡς ἀπὸ τῆς χελώνης, ἀφ' ἧς χελύω χελύσσω ῥῆμα· ὅθεν ἡ χέλυς. Ἰςέον δὲ, ὅτι τὸ λίνυ συςέλλει τὸ δίχρονον, ὡς καὶ [10] ἐν τῇ Ἀσπιδοποιΐᾳ δηλῦται. διὸ καὶ μετὰ τῆς ληγύσης, καὶ παραληγύσης τῆ ἀψῖσι δάκτυλον ποιεῖ· εἰ καί τινες ἄλλως ποδίζυσι. Καὶ ὕτω μὲν καὶ τῦτο. Ἐν δὲ τοῖς εἰρημένοις κεῖται καὶ τὸ ὑμὴν ἀντὶ τῆ ὑμετέραν. Φησὶ γὰρ εὖ ναιομένην πόλιν ὑμήν. ἐν δὲ Ὀδυσσείᾳ, ὑμὰ κτήματα λέγει τὰ ὑμέτερα. ὥστε ἔοικεν εὐθεῖα εἶναι ὑμὸς ὁ ὑμέτερος· εἰ καὶ μὴ ἐν χρήσει εὕρηται. ὥσπερ καὶ σφὸς ὁ ἴδιος. αὐτὸ μὲν σεσίγηται· ἔχει δὲ τὰ ἐξ αὐτῦ κινύ-

1. Ὅτι δὲ καὶ ἐπὶ τροχῦ ἡ ἀψίς) ut apud Heſiodum. Etymologici Magni Auctor: σημαίνει δὲ καὶ τοῦ τροχοῦ τὸ περιφερὲς ξύλον, παρὰ τῷ Ἡσιόδῳ, οἷον· Τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἀμάξῃ. Ubi vide τὸ δωδεκαδώρῳ· quod eſt contra rationem quidem metricam; non tamen contra geometricam. Quo pacto Heſiodus dixerit δεκαδώρῳ ἀμάξῃ, quam, ſecundum exactam, ac geometricam rationem, dicere debuiſſe videatur δωδεκαδώρῳ, declarat aliquantò ſubtiliùs Tzetzes: ἐν τοσούτῳ ἀψίδων συντίθεται ὁ τροχὸς τῆς ἁμάξης, ἡ τροχὴ τὴν μέσην εὐθεῖαν τῆς δεκαδώρου ἁμάξης ποιεῖ. Φησὶ δὲ, ἵνα ἑκάστη ἀψὶς τοῦ τροχοῦ ἔχῃ τριῶν σπιθαμῶν, ὡς εἶναι τὴν πᾶσαν περιφέρειαν τοῦ ὅλου τροχοῦ, ἤγουν τὸ κύκλον, δυοκαίδεκα σπιθαμῶν, δωρῶν δὲ λς'. ἡ γὰρ σπιθαμὴ ἔχει δωρὰς, ἤγουν παλαιστὰς, τρεῖς· ὁ δὲ παλαιστὴς ἐστι δακτύλων δ'. Πῶς δὴ λς' δωρῶν οὖσαν τὴν πᾶσαν περιφέρειαν εἶναι τοῦ τροχικοῦ κύκλου, τὴν μέσην διάμετρον εὐθεῖαν τούτου, οὐ δωδεκάδωρον εἶπεν, ἀλλὰ δεκάδωρον, τοῖς ἐπιστημονικοῖς τῶν γεωμετρῶν λόγοις, καὶ τῇ ἀληθείᾳ, ἐναντιούμενος; πᾶσα γὰρ περιφέρεια κύκλου, τριπλασίων ἐστὶ τῆς οἰκείας διαμέτρου εὐθείας, πρὸς τὰς ἐντὸς ἐπιφανείας τοῦ κύκλου. οὐκ ἐλογίσατο τῶν γεωμετρικῶν ὅρον, καὶ τὴν ἀλήθειαν, ἀλλὰ καὶ οὕτως τριπλασίονα λέγει τὴν περιφέρειαν τῆς διαμέτρου, καὶ δωδεκάδωρον. Ἀλλ' αἱ μὲν δέκα δωραὶ τῆς εὐθείας ἐν τῷ τοῦ κύκλου ὄντι ἐπιφανείᾳ φαινόμεναι, περὶ ὧν καὶ διαλαμβάνει. αἱ γὰρ δύο δωραὶ εἰς τὰς συμβολὰς ἀναπληρώσουσι τὰς ἀπὸ τῆς ἐντὸς ἐπιφανείας μέχρι τῆς ἐκτὸς, ἑκατέρωθεν τοῦ τροχοῦ μία δωρά. Hactenus Tzetzes. *Politus*.

2. ἀψίς, ξύλινος κύκλος τροχῦ) Heſychius: ἀψῖδες, τὰ κύκλα τῶν τροχῶν, αἱ περιφέρειαι, ἢ καμάραι. Polit.

3. ἐπίσωτρον) ἀπὸ τῦ ἐπισώζειν. inſtrumentum ad cuſtodiendam ſuperne rotam. quemadmodum ἴτυς ἀπὸ τῦ ἰέναι, ab eundo. Etymologus ἐπίσωτρον deducit ἀπὸ τῦ σῶ, τὸ ὁρμῶ. ab impellendo. Salvinus.

Heſychius: ἐπίσωτρα, τὰ ἐπικείμενα τοῖς τροχοῖς σιδήρια, ἐπὶ τὴν γῆν ὄντα. Pollux: τῶν δὲ περιλαμβανόντων τῷ ἄξονι τροχῶν, τὸ μὲν περὶ ταῖς ἀψῖσι σιδηροῦν, ἐπίσωτρον· ἡ δὲ ἀψὶς καὶ σῶτρα καλεῖται. Politus.

4. τροχὸν ὅλον, κύκλον ὀνομάζει· τὴν δὲ ἀψῖδα, ἴτυν) Juxta hoc ipſo eodem libro:

Ἥβη δ' ἀμφ' ὀχέεσσι θοῶς βάλε καμπύλα κύκλα,
Χάλκεα, ὀκτάκνημα, σιδηρέῳ ἄξονι ἀμφίς·
Τῶν ἤτοι χρυσέη ἴτυς ἄφθιτος, αὐτὰρ ὕπερθεν
Χάλκε' ἐπίσσωτρα.

Politus.

5. παρὰ πολλοῖς τῶν ἐν τῇ Ἀσίᾳ) maximè τοῖς περὶ τὴν Παμφυλίαν. Euſtathius ad Odyſſeam: ὡς (δικτύων) ἡ κλῆσις μέχρι καὶ νῦν φέρεται παρὰ τῷ ὄχλῳ, καὶ τοῖς περὶ τὴν Παμφυλίαν, οἳ λινάρια τὰ ἁλιευτικὰ καλοῦσι δίκτυα, καὶ [illegible] Politus.

6. λινάρια φασίν) Sic Gallis filets dicuntur. *Salvin.*

7. καθὰ μίτον) Ovid. Met. X. *ſonantia fila movere*. *Salvin.*

8. τῦτο μὲν, ὡς οἷον λύτρα τις) Etymologici Magni Auctor: Λύτρον παρὰ τὸ λύω λύσω· ὅθεν καὶ λύρα λύτρα τις οὖσα· ἐδόθη γὰρ τῷ Ἀπόλλωνι παρὰ τοῦ Ἑρμοῦ, ὑπὲρ ὧν ἔκλεψε βοῶν τοῦ Ἀπόλλωνος ὁ Ἑρμῆς. Politus.

9. ἐκεῖνο δὲ, ὡς ἀπὸ τῆς χελώνης) Etymologici Magni Auctor: χέλυς σημαίνει τὴν κιθάραν, διότι ἀπὸ δέρματος χελώνης κατεσκεύασε τῷ Ἑρμῇ. δέδωκε δὲ αὐτὴν τῷ Ἀπόλλωνι. Politus.

10. ἐν τῇ Ἀσπιδοποιΐᾳ) lib. σ'. Il. v. 570. *Polit.*

νόμενα. Ὅτι δὲ καὶ [1] ἀμὸς ἐστιν ὁ ἡμέτερος ἐν πρώτῳ προσώπῳ, δηλοῖ καὶ [2] ὁ γράψας ἀμὸν πατέρα.

Ὣς φάτο Σαρπηδών· δάκε δὲ φρένας Ἕκτορι μῦθος.
Rom. p. 575. Αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε.
Πάλλων δ' ὀξέα δοῦρα, κατὰ στρατὸν ᾤχετο πάντῃ,
Ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
Οἱ δ' ἐλελίχθησαν, καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν.
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες, οὐδ' ἐφόβηθεν.

ρξθʹ. Νείαιραν κἀνταῦθα γαστέρα φησὶν, ἢ τὸ τῆς γαστρὸς νέατον, [1] ἤγουν ἔσχατον, ἢ ἐπιθετικῶς, [2] δι' ἧς νέονται τὰ σιτία, καθὰ προείρηται. [3] καὶ ἔστι τὸ ἀπαθὲς, νέαιρα. ὃ καὶ κύριον ἐστὶ παρὰ τοῖς ὕστερον ὄνομα. παρὰ τὸ νέα μέντοι ἐκεῖνο· ἵνα δηλοῖ τὴν νεαράν. ὅ τις καὶ ἐπὶ τῆς γαστρὸς ἀστεΐσεται, διὰ τὸ ἐνδελεχῶς νεάζειν αὐτὴν εἰς ὄρεξιν. ἔστι δὲ καὶ παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ [4] κύριον ὄνομα, Νέαιρα. Ἐπέδραμε μὲν φαίδιμος Αἴας, τεύχεα συλήσων τὰ τοῦ δηλωθέντος Ἀμφίου. Τρῶες δ' ἐπὶ δούρατα ἔχευαν ὀξέα, παμφανόωντα· σάκος δ' ἀνεδέξατο πολλά. Αὐτὰρ ὁ λὰξ προσβὰς, ἐκ νεκροῦ χάλκεον ἔγχος ἐσπάσατο, οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα καλὰ ὤμοιιν ἀφελέσθαι. ἐπείγετο γὰρ βελέεσσι. Δεῖσε δ' ὅγ' ἀμφίβασιν κρατερὴν Τρώων ἀγερώχων, οἳ πολλοί τε, καὶ ἐσθλοὶ, ἐφέστασαν, ἔγχε' ἔχοντες. οἵ ἑ, ἤγουν αὐτὸν, μέγαν περ ἐόντα, καὶ ἴφθιμον, καὶ ἀγαυὸν, ὦσαν ἀπὸ σφείων. ὁ δὲ, χασσά- Ram. p. 588.
μενος πελεμίχθη. Καὶ ὅρα, ὅπως ὁ Αἴας εἴκει, οὐχ' ἁπλῶς ἀνδρί τινι, ἀλλ' ἀνδράσι, καὶ αὐτοῖς πολλοῖς, καὶ οὐ τοῖς τυχοῦσιν, ἀλλὰ καὶ ἐσθλοῖς. Οὐ γὰρ ἂν εἶξεν ἑτεροίοις τισί. καὶ ὅπως διὰ τοῦ, δούρατα ἔχευαν, τὸ πλῆθος τῶν δοράτων δηλοῖ. Καὶ σημείωσαι, ὅτι ὁ μεθ' Ὅμηρον εἰκάσας τὸ πλῆθος τῶν βελῶν νέφεσιν, ἐξ Ὁμήρου τὸ νόημα ἔλαβεν, ὃς ὄμβρου καταφορᾷ παραβάλλειν ἔοικε τὴν τῶν πολλῶν δοράτων ἐπάφεσιν. Τούτου γάρ πως ἐστὶ δηλωτικὸν τὸ ἔχευαν. Τοιαύτης δὲ ἐννοίας, ὅσα καὶ μητρὸς, ἔκγονον καὶ τὸ χυδαῖον σαγιττόβροχον.

ροʹ. Ὅρα δὲ τὸ καίριον, καὶ τὴν συντομίαν τὸ ἐπιφωνηματικὸν τοῦ, σάκος δ' ἀνεδέξατο πολλά. οὐκ ἂν γάρ τις κάλλιον εἴποι, οὔτε στενώσας, οὔτε πλατύνας τὸ νόημα. Εἴποι

1. ἤγουν ἔσχατον) Heſychius: νειαίρη, ἐσχάτη, κατωτάτη, ..., κατὰ τὸ ἔσχατον μέρος. Lego, dandi caſu, νειαίρῃ, ἐσχάτῃ, κατωτάτῃ. Neque enim dubium, quin Heſychius τὸ νειαίρῃ Homericum reſpiciat. *Politus*.

2. δι' ἧς νέονται τὰ σιτία) ἢ ὡς ἐκεῖ νέονται τὰ σιτία. Etymologici Magni Auctor: νείαιρα, τὸ ἔσχατον τῆς κοιλίας μέρος, παρὰ τὸ νέον τὸ περισσόμενον γίνεται, ὡς αὐτόθι γὰρ περαίνονται τὰ σιτία. Polit.

3. καὶ ἔστι τὸ ἀπαθὲς, νέαιρα) Namque νείαιρα eſt ex pleonaſmo τοῦ ι. Polit.

4. κύριον ὄνομα, Νέαιρα) Heſychius: Νεαιρα, Ὁμηρικὸν ὄνομα. Lege, Νέαιρα. Polit.

δ' ἂν τις αὐτὸ παροιμιωδῶς καὶ ἐπὶ τοῦ πολλὰ δυσχερῆ ὑπομείναντος. Ἀστεϊζόμενος δέ τις Κωμικώτερον, καὶ ἐπὶ πτωχοῦ πολλὰ ἐπισαττομένου διὰ τῆς πήρας, ἐρεῖ, διπλασιάσας τὸ κ', εἰ βούλεται, ὅτι σάκκος δ' ἀνεδέξατο πολλά. Καὶ μὴν οἱ παλαιοὶ καὶ τὸν σάκκον φασὶ καὶ δι' ἑνὸς γράφεσθαι κ', ὃν καὶ σάκταν φασί, καθὰ δηλοῖ καὶ ὁ Κωμικός, ὡς ἀπὸ τοῦ σάττω τὸ φορτίζω. Ἰστέον δὲ καὶ, ὅτι τὸ, ἐπείγετο γὰρ βελέεσσιν, εἰκεῖον εἰπεῖν καὶ ἐπὶ τοῦ πολλὰ ἐνοχλουμένου, ἢ διαβαλλομένου. Ἀφελῶς δὲ, ὡς οἷα ἐμψύχοις, τοῖς βέλεσιν οἰκειοῦται τὸ ἐπείγειν· ἐξ οὗ καὶ οἱ ἐργαπῆκται λέγονται. Ἀμφίβασιν δὲ καὶ ὧδε, ἀπὶ βοηθείας, καὶ σκέπης τέθεικεν. ὡς καὶ ἐν τῷ, ὃς Χρύσην ἀμφιβέβηκας· τῆς λέξεως ἐκ τῶν τετραπόδων ζώων καὶ νῦν, ὡς καὶ ἐν ἄλλοις μυρίοις, ληφθείσης, ἅπερ ἀμφιβαίνουσιν, ἤγουν ἀμφὶ τὰ σκυμνία βαίνουσιν, ὑπερμαχοῦντα ἐκείνων. Κρατερὴ δὲ ἀμφίβασις, ἡ γενναία, ἡ βιαία, ἤ, καθ' Ὅμηρον εἰπεῖν, κρείσσων. Οὕτω δὲ καὶ μετ' ὀλίγα ὑσμίνην ἐρεῖ κρατερήν. ὁμοίως δὲ καὶ μοῖραν κραταιήν. Ὅρα δὲ καὶ, ὅτι τὸν Αἴαντα τοῖς ἐπιθέτοις σεμνύνει. Οὐ γὰρ κατὰ φυσικὴν κάκην, ἀλλ' ἀναγκαίαν περιπέτειαν ἔπαθε τὴν φυγήν. Καὶ ἤρκει μὲν εἰς ἔπαινον καὶ μόνον τὸ, μέγαν· ἐπεὶ καὶ μέγας Αἴας αὐτὸς, καὶ μείζων κατ' ἐξοχὴν ἐλέγετο· πρὸς διαστολὴν δὲ ὅμως τοῦ κατὰ βαυγάϊον μεγάλου προσεπήχθησαν τὸ, ἴφθιμον, καὶ τὸ ἀγαυόν. Περὶ δὲ τοῦ, χασσάμενος πελεμίχθη, προγέγραπται. Περὶ δὲ τοῦ λὰξ, ὃ καὶ ἐν Ὀδυσσείᾳ κεῖται, δηλωθήσεταί που ἐν τοῖς ἑξῆς.

plificandâ hac ſententiâ. Atque id etiam aliquis, proverbii loco, uſurpaverit de homine, qui multas res graves, ac difficiles pertulit. Immo & alius quiſpiam per jocum, atque urbanitatem ſermonis, Comicorum more, geminatâ, ſi velit, litterâ κ', dicet de mendico, qui multis congeſtis in peram ſarcinis ſit onuſtus: σάκκος δ' ἀνεδέξατο πολλά. *ſaccuſque multa excepit*. Quin etiam veteres τὸν σάκκον, *ſaccum*, ſcribi quoque ajunt cum uno, ſimplicique κ'. quem & σάκταν vocant, ut manifeſtum fit ex Comico, tamquam a σάττω, quod ſignificat onero, ſive onus impono. Ad hæc ſciendum, illud, ἐπείγετο γὰρ βελέεσσι, *premebatur enim, atque urgebatur telis*; appoſitum eſſe dictu de homine, cui moleſtiæ multæ exhibentur, aut genera varia criminum per calumniam inferuntur. Ubi telis perinde, atque animata eſſent, ſimpliciter attribuitur τὸ ἐπείγειν, *urgere, impellere, cogere*: ex quo etiam dicti οἱ ἐργεπῆκται, *ii, qui ſedulò opus urgent*. Ἀμφίβασιν, *circuitionem*, hoc item loci uſurpavit de auxilio, ac præſidio, quo unum aliquem protegimus, & tutamur. ut & alibi: ὃς Χρύσην ἀμφιβέβηκας. *qui Chryſam protegis*. acceptâ etiam, ut & in aliis ſexcentis locis, hac voce a quadrupedibus animantibus, quæ ἀμφιβαίνουσι, *circumeunt*, videlicet ἀμφὶ τὰ σκυμνία βαίνουσι, *catulos ſuos obeunt, ſive circumeunt*, cum illos defendunt, ac pro illis propugnant. Κρατερὴ autem ἀμφίβασις, *fortis defenſio, ſeu propugnatio*, eadem eſt, atque ἡ γενναία, *generoſa*, ἡ βιαία, *valida*, atque, ut voce Homericâ utar, ἡ κρείσσων, *potentior*. Sic & paullò poſt ὑσμίνην dicit κρατερήν, *pugnam fortem*; nec non ſimiliter μοῖραν κραταιήν, *fatum forte*. Præterea vide, ut Ajacem epithetis ornat, atque extollit. Non enim naturali timiditate, ſed ipſâ rei neceſſitate illud ei accidit, ut fugiat. Et quamquam illud unum, ac ſolum ſatis ſuperque erat ad laudem, vocare eum magnum, quando ipſe & Magnus Ajax, & Major, notâ quadam excellentiæ, appellabatur; tamen, ne magnus ipſe jactator intelligeretur, diſtinctionis gratiâ, addita ſunt illa alia epitheta, ἴφθιμον, *fortem*, & ἀγαυόν, *clarum*. De his verbis; χασσάμενος πελεμίχθη, *cedendo pedem retulit*, ſcriptum eſt ſupra. Quid denique ſignificet τὸ λὰξ, *calce*, quod legitur etiam in Odyſſeâ, alicubi poſtea a nobis declarabitur.

Σαρπῆδον, Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
Πτώσσειν ἐνθάδ' ἐόντι, μάχης ἀδαήμονι φωτί;
Ψευδόμενοι δέ σέ φασι Διὸς γόνον Αἰγιόχοιο
Εἶναι· ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν,
Οἳ Διὸς ἐξεγένοντο, ἐπὶ προτέρων ἀνθρώπων.
Ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην
Εἶναι, ἐμὸν πατέρα, θρασυμέμνονα, θυμολέοντα·
Ὅς ποτε δεῦρ' ἐλθὼν, ἕνεχ' ἵππων Λαομέδοντος,
Ἓξ οἴης σὺν νηυσὶ, καὶ ἀνδράσι παυροτέροισιν,
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ' ἀγυιάς.
Σοὶ δὲ κακὸς μὲν θυμὸς, ἀποφθινύθουσι δὲ λαοί.
Οὐδέ τί σε Τρώεσσιν ὀΐομαι ἄλκαρ ἔσεσθαι,
Baſ. p. 443. Ἐλθόντ' ἐκ Λυκίης, οὐδ' εἰ μάλα καρτερός ἐσσι,
Ἀλλ' ὑπ' ἐμοὶ δμηθέντα, πύλας Ἀΐδαο περήσειν.
Τὸν δ' αὖ Σαρπηδὼν, Λυκίων ἀγὸς, ἀντίον ηὔδα·
Τληπόλεμ', ἤτοι κεῖνος ἀπώλεσεν Ἴλιον ἱρὴν,
Ἀνέρος ἀφραδίῃσιν ἀγαυοῦ Λαομέδοντος,
Ὅς ῥά μιν εὖ ἕρξαντα, κακῷ ἠνίπαπε μύθῳ,
Οὐδ' ἀπέδωχ' ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθε.
Σοὶ

Sarpedon, Lyciorum conſultor, quid te neceſſe eſt
Hic trepidare, quum ſis homo ſis pugna imperitus?
Mentiuntur, qui te dicunt Jovis filium Ægiochi
Eſſe. quum multò inferior ſis illis viris,
Qui ex Jove nati ſunt, priſcâ ætate.
Sed qualem ajunt vim Herculeam
Fuiſſe, patrem meum, audacem, animo leonis præditum:
Qui quondam huc profectus, cauſâ equorum Laomedontis,
Sex cum ſolis navibus, viriſque paucioribus,
Urbem Ilium diripuit, viaſque viduavit.
Tibi verò animus ignavus, copiæque intereunt.
Neque te Trojanis puto auxilio fore,
Profectum ex Lyciâ, etiamſi fortis admodum es;
Sed a me ſtratum, in orci te portas penetraturum.
Eum verò Sarpedon, Lyciorum dux, contra eſt allocutus:
Tlepoleme, certè ille quidem Ilium ſacrum evertit,
Viri temeritate clari Laomedontis,
Qui eum bene de ſe meritum malis verbis objurgavit,
Neque equos reddidit, quorum ille gratiâ e longinquo venerat.
Tibi

1. τὸν σάκκον φασὶ καὶ δι' ἑνὸς γράφεσθαι κ') tamen multò ſibi ſatius erat ſcriptura διὰ δύο κκ'. Etymologici Magni Auctor: σάκκος, παρὰ τὸ σάττω τὸ φορτῶ. τέσσαρα δέ εἰσιν εἰς κος ὀνόματα γραφόμενα διὰ δύο κκ'. σάκκος, λάκκος, μάκκος, κόκκος. Politus.

2. καθὰ δηλοῖ καὶ ὁ Κωμικός) Ariſtophanes Pluto v. 681. Ἔπειτα ταῦθ' ἥγιζεν εἰς σάκταν τινά. Scholiaſtes: Γράφεται εἰς σάκταν, ὅ ἐστιν, εἰς θύλακον· ἀπὸ τοῦ σάττεσθαι. Heſychius: σάκτας, ὁ θύλακος. Polit.

3. ὃς Χρύσην ἀμφιβέβηκας) ideſt, ut exponit Etymologus, περιβέβηκας, ὑπερμαχεῖς· ἀπὸ μεταφορᾶς τῶν τετραπόδων. Heſychius etiam ἀμφιβέβηκας, ὑπερμαχεῖς, καὶ σώζεις. Politus.

4. Κρατερὴ δὲ ἀμφίβασις, ἡ γενναία) ἡ ἰσχυρὰ ὑπερμάχησις. Auctori Magni Etymologici propriè ἀμφίβασις ἡ περὶ τοῦ νεκροῦ μάχη. περιβαίνεις γὰρ, inquit, τὸν νεκρὸν, ἀγωνίζονται ὑπὲρ τοῦ σώματος. Heſychius: ἀμφίβασις, ὑπὲρ νεκροῦ μάχη. περιβαίνουσι γὰρ τὸν νεκρὸν, ὑπερμαχοῦντες περὶ τοῦ σώματος, ἵνα μὴ σκυλευθῇ. ἀπὸ δὲ τῶν ἀλόγων ζώων ἡ μεταφορά. Politus.

5. μοῖραν κραταιήν) Hom. Ἔλλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή. *Mors tenebris adoperta, potens & Parca prehendit*. Salvinus.

6. τοῦ κατὰ βαυγάϊον μεγάλου) Βαυγάϊον, ſive magnum jactatorem, dicit Ajacem Hector v. 824. lib. ν'. Il. Polit.

7. ὑπ' ἐμοὶ) Ex Commentario Euſtathii paullò inferiùs patet, eum hic legiſſe, ὑπ' ἐμοί. quod videtur magis Homericum, ut & paullò poſt, ὑπὸ δουρὶ δαμέντα. Polit.

Tibi verò ego hic edico cædem, & mortem atram
Illatum a me iri; meâque te ſub haſtâ domitum
Mihi gloriam daturum, Plutoni verò ob equos inclyto animam.

CLXXI. Docet etiam hic Poëta, neminem quemquam, qui pluris faciat, bonum ſeſe eſſe, & fortem virum, quàm bono, fortique patre natum eſſe, debere efferri ob paterna tantummodò bona, virtuteſque majorum ſuorum. Narraturus namque eſt de Tlepolemo, homine non ſanè forti, nec generoſo, eum, quum ob Herculem, virum fortiſſimum, patrem ſuum, animos arrogantiùs tolleret, occiſum fuiſſe a Sarpedone: quem Tlepolemus ipſe, ut ignavum, reique bellicæ imperitum, contemnit his verbis: Sarpedon, Lyciorum rector, quid te neceſſe eſt hic trepidare, quum tute homo ſis pugnæ rudis, atque imperitus? Et addit, certè illos mentiri, qui Jove ortum eum affirmant: quoniam, inquit, multò inferior es illis viris, qui ex Jove nati fuerunt, ſuperiori hominum memoriâ, &c. Itaque Poëta tacitè eos coarguit, qui, quum alioquin degeneres ſint, atque ignavi; tamen de patribus ſuis, iiſque tantùm, gloriantur, & ob eam cauſſam primas ſibi volunt deferri. Tum vide adverſarias hic orationes Homeri, atque, ut ita dicam, illius vim in utramque partem diſputandi. Nam Herculem quidem filius illius Tlepolemus dilaudat, illis verbis: *ajunt vim Herculeam fuiſſe, audacem patrem meum, animoſque leoninos gerentem.* Quin etiam exponit, ut Hercules, Laomedontis equos, in Trojam quondam profectus, ſex οἴης, videlicet μόναις, *ſolis*, navibus, viriſque perpaucis, Ilium urbem diripuit, viaſque χήρωσε, *viduavit*, *ſeu deſolavit*. hoc eſt deſertas, vacuaſque a viris fecit, &c. Ubi vide, ut τὸ ἐχήρωσε, *viduavit*, minimè uſurpatum ſit de iis, quæ prædita eſſent ratione, aut omnino de re aliquâ animatâ. Et ſic etiam in Odyſſeâ inſula deſerta, quæ poſita eſt e regione Cyclopum, dicta eſt χηρεύειν ἀνδρῶν, *vidua eſſe a viris*. Propriè tamen χήρα, *vidua*, eſt mulier, quæ poſt obitum mariti, aut etiam poſt repudium, nemini cuiquam alteri juncta eſt matrimonio. Sic & χῆρος, *viduus*, vir, qui deſtitutus eſt, aut orbatus uxore, ut docet Ariſtophanes Grammaticus, cui etiam χηρωστὴς idem eſſe traditur, atque ὁ ἀγχιστεὺς, *genere propinquus, qui jus habet adeundæ hereditatis*. quod & obſervatum tibi velim.

CLXXII. At-

Rom. p. 589.

ροαʹ. Διδάσκει καὶ ἐνταῦθα ὁ Ποιητὴς, [1] μὴ ἐπὶ μόνοις τοῖς ἐκ πατέρων ἀγαθοῖς ἐπαίρεσθαί τινα, ἐν δευτέρῳ τῆς ἀνδραγαθίας τὴν πατραγαθίαν τιθέμενον. Τὸν γοῦν μὴ γενναῖον Τληπόλεμον, ἐπὶ τῷ ἀνδρειοτάτῳ πατρὶ Ἡρακλεῖ μέγα φρονοῦντα, ἱστορήσει ὑπὸ Σαρπηδόνος ἀναιρεθῆναι· ὃν ἐξουτελίζων, ὡς δειλὸν, καὶ ἀπειροπόλεμον ὁ Τληπόλεμός, φησι· Σαρπῆδον, Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη πτώσσειν ἐνθάδε, ὄντι μάχης ἀδαήμονι φωτί; λέγων καὶ, ὅτι ψευδόμενοι δέ σε φασὶ Διὸς γόνον εἶναι· ἐπεὶ, φησι, πολὺ κείνων ἐπιδεύεαι ἀνδρῶν, οἳ Διὸς ἐξεγένοντο, ἐπὶ προτέρων ἀνθρώπων, καὶ τὰ ἑξῆς. Καὶ οὕτως ἐλέγχει ὁ Ποιητὴς ἠρέμα τοὺς ἄλλως μὲν ἀγεννεῖς, ἐπὶ δὲ πατράσι, καὶ μόνοις, αὐχοῦντας, κἀντεῦθεν πρωτεύειν ἐθέλοντας. Ὅρα δὲ καὶ τὴν τοῦ Ὁμήρου ἀμφίστομον κἀνταῦθα ῥητορικὴν, καὶ τὸ οἷον εἰπεῖν ἐκείνου ἀμφοτερόγλωσσον. Τὸν Ἡρακλέα γὰρ ἐγκωμιάζει μὲν ὁ υἱὸς ἐκείνου Τληπόλεμος, ἐν οἷς λέγει· Ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην εἶναι ἐμὸν πατέρα θρασυμέμνονα, θυμολέοντα. Ἐκτίθεται δὲ καὶ, ὅπως Ἡρακλῆς ποτε ἐλθὼν εἰς Τροίαν, ἕνεκα ἵππων Λαομέδοντος, ἐξ οἴης, ἤγουν μόναις, σὺν νηυσὶ, καὶ ἀνδράσι παυροτέροισιν, Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δὲ ἀγυιάς. ὅ ἐστιν, ἐρήμους ἀνδρῶν ἐποίησε, καὶ ἑξῆς. Ἔνθα ὅρα, ὅπως [2] τὸ ἐχήρωσεν, οὐκ ἐπὶ λογικῶν, ἢ ὅλως ἐμψύχου τινὸς, τέθειται. Οὕτω καὶ ἐν Ὀδυσσείᾳ νῆσος ἔρημος, ἡ πρὸ τῶν Κυκλώπων, [3] χηρεύειν εἴρηται ἀνδρῶν. Κυρίως μέντοι χήρα γυνὴ ἡ μετὰ θάνατον ἀνδρὸς, ἢ καὶ γάμου διάλυσιν, μηδενὶ συνοικοῦσα. Οὕτω δὲ [4] χῆρος ἀνὴρ, ὁ μηκέτι γυναῖκα ἔχων, ὡς ὁ Γραμματικὸς Ἀριστοφάνης φησὶ, λέγων καὶ, ὡς χηρωστὴς [5] ὁ ἀγχιστεύς. ὃ καὶ σημείωσαι.

ρβʹ. Καὶ

1. μὴ ἐπὶ μόνοις τοῖς ἐκ πατέρων ἀγαθοῖς ἐπαίρεσθαί τινα) Ovid. de nobilitate: *& quæ non fecimus ipſi, Vix ea noſtra voco*. Salvinus.

2. τὸ ἐχήρωσεν, οὐκ ἐπὶ λογικῶν, ἢ ὅλως ἐμψύχου τινὸς) Virgilius 8. Æneid. *tam multis viduaſſet civibus urbem*. & l. 4. Georg. *Arvaque Riphæis numquam viduata pruinis*. Polit.

3. χηρεύειν εἴρηται ἀνδρῶν) Hom. Ἀνδρῶν χηρεύει. Heſychius: χηρεύει, ἐνδεής ἐστιν, ἢ ἔρημος. Polit.

4. χῆρος ἀνὴρ, ὁ μηκέτι γυναῖκα ἔχων) Hoc etiam modo, reſtrictè videlicet, & cum additamento, intelligendum illud Heſychii: χῆροι, ἄνδρες μὴ ἔχοντες γυναῖκας. Nempe χῆροι non ἁπλῶς οἱ μὴ ἔχοντες, ſed cum additamento, οἱ μηκέτι ἔχοντες γυναῖκας. Sic & intelligas illud ejuſdem Heſychii: χῆραι, αἱ μὴ ἔχουσαι ἄνδρας. Scilicet χῆραι non ἁπλῶς αἱ μὴ ἔχουσαι ἄνδρας, quando id competit etiam in virgines; ſed, reſtrictiori ſenſu, αἱ μηκέτι ἔχουσαι ἄνδρας. ut idem Heſychius: χήρα, ἡ μετὰ γάμον μὴ συνοικοῦσα ἀνδρὶ, ἢ τὸν ἄνδρα στερηθεῖσα γυνή. Pollux: ἡ δὲ μονωθεῖσα ἀπ' ἀνδρὸς, χήρα· ὡς καὶ ὁ μονωθεὶς ἀπὸ γυναικὸς, χῆρος. Suidas: χῆρος, ὁ μετὰ τὴν πρώτης στέρησιν δάμαρτος μὴ συνεζευγμένος γυναικί. Videtur, de viro, ut propriè, qui uxorem jam non habet, quam ſcilicet habuit. Nam qui ἁπλῶς minimè habet uxorem, is poſſit etiam eſſe cælebs, qui nec habet, neque habuit. Quod ait Labeo *L.* 242. *D. De Verbor. ſignificat.* viduam appellari non ſolùm eam, quæ aliquando nupta fuiſſet, ſed eam quoque mulierem, quæ virum non habuiſſet, quod & frequenti Juriſconſultorum conſenſu celebratum eſt; id equidem, quoad eam certè mulierem, quæ virum numquam habuit, inter locutiones minus proprias eſt referendum. *Polites*.

5. ὁ ἀγχιστεύς) Uſitatiùs diceres, ἀγχιστεύς. Heſychius: χηρωσταὶ οἱ μακρόθεν κατὰ γένος, προσήκοντες δέ· καὶ οἱ χηρεύοντος τὸν οἶκον τῆς ἀγχιστείας κληρονομοῦντες. Sic ibi legendum. Vulgò: καὶ οἱ χηρεύοντες τὸν οἶκον τῆς ἀγχιστείων κληρονομοῦντες. Sumitur autem hic τὸ ἀγχιστεῖον ἀντὶ τοῦ συγγενοῦς. ut apud eundem Heſychium ἀγχιστεῖα, συγγένεια. ἀγχιστεύοντα, ἐγγὺς ὄντα πρὸς τὸ γένος. ἀγχιστεῖς, συγγενεῖς. Etymologici Magni Auctor: χηρωσταὶ δὲ λέγονται, οἱ μακρόθεν τοῦ γένους κληρονόμοι, οἷον ἐπίτροποι, οἱ τὰ χήρα, καὶ ἔρημα συγγενοῦς οἴκου κληρονόμοι. Scholiaſta Heſiodi ad Theogoniam: χηρωσταὶ, ὀρφανοὶ, ἢ οἱ πόρρωθεν συγγενεῖς, διότι χηρεύοντος τὸν οἶκον, καὶ ἐρήμου ὄντος τούτου, αὐτοὶ κληρονομοῦσιν. Alioquin ἀγχιστεύς, ipſe eſt χηρωστὴς, ὁ τὰ χήρα, καὶ ἔρημα συγγενοῦς οἴκου κληρονόμος. Polites.

Σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον, καὶ κῆρα μέλαιναν
Ἐξ ἐμέθεν τεύξεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα,
Εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ.

ροβʹ. Καὶ οὕτω μὲν ὁ Τληπόλεμος ὑπὲρ τοῦ πατρὸς Ἡρακλέους λαλεῖ. ὁ δέ γε Σαρπηδὼν καταψεύσασθαι μὲν τῆς Ἡρακλέους στρατηγίας, ἢ ἀνδρίας, οὐκ ἔχει, ἵνα μὴ τοῖς ὡμολογημένοις ἀναισχύντως ἀντιβαίνῃ· σμικρύνει δὲ ἄλλως, καὶ ἐξευτελίζει τὸ μεγαλεῖον ἐκείνης τῆς πράξεως, λέγων· Τληπόλεμ', ἤτοι κεῖνος ἀπώλεσεν Ἴλιον ἱρὴν, ἀνέρος ἀφραδίῃσι, ἤγουν κακοβουλίαις, ἀγαυοῦ Λαομέδοντος, ὅς ῥά μιν εὖ ἔρξαντα, ἤγουν εὐεργετήσαντα, διὰ τοῦ ἀνελεῖν μὲν τὸ κῆτος, περισῶσαι δὲ τὴν θυγατέρα Ἡσιόνην, κακῷ ἠνίπαπε μύθῳ. ἤγουν λόγοις ἐπέπληξεν οὐκ ἀγαθοῖς, οὐδ' ἀπέδωχ' ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθε. Τοιαῦτα καὶ τὰ τοῦ Σαρπηδόνος· ἐν οἷς, συνελόντα εἰπεῖν, οὐ τοσοῦτον τὴν Ἡρακλέους ἀνδρίαν αἰτίαν τοῦ τὴν Τροίαν τότε ἁλῶναι δηλοῖ, ὅσον τὴν Λαομέδοντος ἀδικίαν. Καὶ ἐχρῆν μὲν, ὥς φασιν οἱ παλαιοὶ, τὸν Σαρπηδόνα εἰπεῖν, ὅτι τότε ὁ Λαομέδων δικαίως πολεμούμενος ἔπαθεν, εἶτα ἐπαγαγεῖν, ὅτι σὺ δὲ νῦν ἀδίκως πολεμεῖς, οὐκ ὀνήσεις· ὁ δὲ, θυμῷ ἐχόμενος, ἐγκόπτει τὸν λόγον, καὶ ἀφίησιν ἀτελῆ. Τάχα δὲ οὐδὲ εἶχεν εἰπεῖν τοῦτο, οὐ γὰρ ἀδίκως ὑπερμαχεῖ ὁ Τληπόλεμος τοῦ Μενελάου. Σημείωσαι δὲ καὶ, ὅτι ἐν τῷ, ἐκεῖνος ἀπώλεσεν Ἴλιον, [1] ἔοικεν ὁ Σαρπηδὼν ὀκνεῖν ἐξ ὀνόματος μνησθῆναι τοῦ Ἡρακλέους, ἀχθόμενος ἐπὶ τοῖς ἐκείνου. διὸ αὐτὸν μὲν οὐδ' ὅλως ὠνόμασε· τοῦ δὲ Λαομέδοντος μετὰ ἐπαίνου ἐμνήσθη, εἰπὼν ἀγαυὸν Λαομέδοντα. Ἀναμνηστέον δὲ καὶ ἐνταῦθα τῶν προρρηθέντων περὶ τοῦ τὸν Ὅμηρον μὴ μόνον τὰ πρὸ τοῦ δεκάτου ἔτους τῆς μάχης, καὶ τὰ μετ' αὐτὸ, ἐνείρειν τῇ Ἰλιάδι, ἀλλὰ καὶ ἑτέρας ἱστορίας, ὧν οὐδέν τι μέτεστι τῷ Τρωϊκῷ τούτῳ πολέμῳ. Ἰδοὺ γὰρ καὶ τὰ κατὰ Ἡρακλέα, καὶ Λαομέδοντα πρὸ τούτων μὲν γέγονε τῶν πολέμων· δεξιώτατα δὲ τοῖς νῦν πραττομένοις παρενεβλήθη ὑπὸ τοῦ Ποιητοῦ.

ρογʹ. Σημείωσαι δὲ καὶ, ὅτι διάφοροι Ἡρακλέες ἱστοροῦνται, ὡς δηλοῖ ὁ εἰπὼν, ὅτι ἐν τῷ, ἄλλος οὗτος Ἡρακλῆς, [2] ὅπερ ἐπὶ Θησεῖ παροιμιωδῶς ἐλέχθη, ἄδηλον, ἢ ἐπὶ τῷ Ἰδαίῳ Δακτύλῳ Ἡρακλεῖ ἐῤῥέθη, ἢ τῷ τῆς Ἀλ-

CLXXII. Atque ita quidem Tlepolemus pro Hercule patre ſuo loquitur. Verùm Sarpedon, quamquam de militari Herculis peritiâ, ejuſque in ductando exercitu dexteritate, aut fortitudine, nihil prorſus habeat vel per mendacium opponere, ut ne ſcilicet confeſſis & manifeſtis rebus impudenter repugnet; tamen aliâ ratione rei illius geſtæ magnitudinem imminuit, atque elevat, illis verbis: Tlepoleme, certe ille quidem Ilium ſacrum evertit, viri ἀφραδίῃσι, *ſtoliditate, atque imprudentiâ*, videlicet κακοβουλίαις, *malo conſilio, & perverſitate*, clari Laomedontis, qui eum ipſum εὖ ἔρξαντα, videlicet εὐεργετήσαντα, *bene de ſe promeritum*, propterea quòd, ceto interfecto, filiam ejus Heſionen a periculo liberaverat, κακῷ ἠνίπαπε μύθῳ, *malis verbis objurgavit*. videlicet λόγοις ἐπέπληξεν οὐκ ἀγαθοῖς, *verbis reprehendit minimè omnium bonis*, nec equos reddidit, quorum ille gratiâ e longinquo venerat. Hæc ferè Sarpedon: qui ſanè his verbis, ut omnia paucis complectar, non tam Herculis fortitudinem in cauſsâ fuiſſe declarat, cur Troja tunc caperetur, quàm injuriam, & improbitatem Laomedontis. Et quamvis, ut veteres ajunt, dicere debuerat Sarpedon, juſtè tunc Laomedontem bello appetitum, & oppreſſum fuiſſe; ac deinde ad Tlepolemum ſubjungere, ipſum quidem injuriâ bellum nunc gerere; ideoque nihil umquam profecturum; tamen excandeſcentiâ animi percitus, orationem ſuam intercidit, eamque mutilam, & truncam relinquit. Quamquam ne id quidem habebat dicere. Non enim præter jus, & æquum facit Tlepolemus, cum pugnat pro Menelao. Præterea verò obſerva, ut in illis verbis: ἐκεῖνος ἀπώλεσεν Ἴλιον. *ille evertit Ilium*: videtur Sarpedon nolle quidem Herculem nominatim memorare, quòd, ob illius facinora, eſt ei offenſior, atque iratior. Quare eum omnino non nominat: tametſi Laomedontis cum laude meminerit. Quippe clarum dicit Laomedontem. Recolendum quoque hîc eſt id, quod ſupra monuimus, cum Homerum diceremus non res modò geſtas ante decimum annum hujus belli, & poſt ipſum hoc tempus, Iliadi adnectere; verùm etiam alias hiſtorias, quæ nihil prorſus ad Trojanum hoc bellum pertinent. Ecce enim tibi ea, quæ de Hercule, & Laomedonte referuntur, geſta ſunt ante hæc bella; & tamen aptiſſimè factis hujus temporis interjecta, atque inſerta ſunt a Poëtâ.

CLXXIII. Ad hæc obſerva, varios Hercules commemorari, ut clarè is docet, qui ſcribit, vulgare illud dictum: *Alius hic Hercules*, quod de Theſeo in modum proverbii uſurpatum fuit, non ſatis liquere, utrum de Hercule, Idæo Dactylo, acceptum fuerit, an de filio Alcmenæ. Au-

1. ἔοικεν ὁ Σαρπηδὼν ὀκνεῖν ἐξ ὀνόματος μνησθῆναι τοῦ Ἡρακλέους) Poteſt etiam τὸ ἐκεῖνος referri ad præſtantiam, & dignitatem Herculis. Sic pronomen *ille* apud Latinos, nota ſæpe eſt dignitatis, & excellentiæ. *Politus.*

2. ὅπερ ἐπὶ Θησεῖ παροιμιωδῶς ἐλέχθη) primùm dictum de Theſeo, unde a Theſeo ad alios fortes viros, ac robuſtos adagium manavit. Suidas: Ἄλλος οὗτος Ἡρακλῆς. ἐπὶ τῶν ῥώμῃ τε κρατούντων, παροιμιώδης. ἐπὶ Θησέως λεχθεὶ τὸ πρῶτον. Plutarchus in Theſeo: ἕτεροι δὲ καὶ μετὰ Ἰάσονος ἐν Κόλχοις γενέσθαι, καὶ Μελεάγρῳ συνεξελεῖν τὸν κάπρον, καὶ διὰ τοῦτο παροιμίαν εἶναι τὸ, Οὐκ ἄνευ Θησέως. αὐτὸν μέντοι μηδενὸς συμμάχου δεηθέντα, πολλοὺς καὶ καλοὺς ἄθλους κατεργάσασθαι· ἀφ' οὗ, Ἄλλος οὗτος Ἡρακλῆς, λόγον ἐπ' ἐκείνου κρατῆσαι. Servius ad Virgilium: *Herculis enim nomen fuit, ut vitam non rogatus laborantibus ſubveniret. Tunc enim, ſicut & Varro dicit, omnes, qui fecerunt fortiter, Hercules vocabantur: licet eos primò XLIIII. enumeraverit. Hinc eſt, quod legimus Herculem Tirynthium, Argivum, Thebanum, Libyum.* Auctor eſt etiam Vettius Flaccus apud Servium, *omnes magnarum virium apud veteres, Herculis dictos.* Politus.

Hoc proverbium: Alter Hercules, non ad multos hoc nomine Hercules reſpicit, ſed ad illum celebrem Amphitryoniadem. Salvinius.

Auctor Ælius Diooyſius. Pauſanias antem tradit, quod dictum eſt: *altus hic Hercules*, dictum id eſſe per adagium de Theſeo, aut de uno aliquo Idæorum Dactylorum. Alii contra adagium hoc intelligunt de Hercule Ægyptio. Alii de filio Alcmenæ. Atque hæc quidem ita. Verùm Sarpedon, arreptâ veluti occaſione ſingularis pugnæ cum homioe vano, ac ſuperbo, poſteaquam hæc ad eum dixerat: *Tibi verò ego hic denuntia, cadem, mortemque atram illatum a me iri, teque, haſtâ mea ſtratum, mihi quidem gloriam, Plutoni verò ab equis inclyta animam eſſe daturum*; perinde quaſi dixiſſet, ſeſe ita hoc donum, veluti quid capulare, inter ſe, & Plutonem eſſe partiturum, ut ipſe ex hoſte gloriam, Pluto hoſtis animam, cum illa ad inferos pervenerit, conſequatur; rem ſtatim aggreditur, &, fraxineam haſtam ſuſtollente Tlepolemo, ipſe quoque ſimiliter facit. Exitum autem habuit pugna eum, qui poſtea narratur. Ceterùm ſciendum, nihil eſſe mirandum, ſi Glaucus, & Diomedes, quum jam inde a majoribus hoſpitalem inter ſeſe neceſſitudinem intercedere cognoviſſent, fœdus ipſi inter ſemet & amicitiam inferiùs paciſcuntur; & tamen Jovis filius, ſecundùm Homerum, ac nepos, Sarpedon nimirum, & Tlepolemus, nullâ habitâ ratione cognationis, aut ſanguinis, armis inter ſe congrediuntur. Neque enim fœda mors videbatur, quam in pugnâ obiiſſent. Præterquam quòd eam ipſam cognationem, & propinquitatem generis inficiabantur: quando Tlepolemus profeſſus erat, eos mentiri, qui Sarpedonem Jovis filium dicerent. Ad hæc obſerva, ne nunc quidem bene, ac proſperè rem iis cedere, qui de rebus ſuis gloriantur; ſed eum, qui ſeſe prior arroganter jactaverat, interfici; alterum verò, qui reſponſum paris arrogantiæ, & oſtentationis plenum dederat, dumtaxat vulnerari.

CLXXIV. Vide verò, quantâ, & quam copioſâ utilium bonarumque rerum eruditione hic iſte locus affluat. Namque imprimis rebus Trojanis hiſtoriam adtexit, non certè quidem exteram, neque alienam, idque pro more, ut ex ſupino illo unius, ejusdemque narrationis tenore jacentem veluti auditorem ſuum erigat. Hiſtoria autem eſt, Trojæ expugnatio, cum ea urbs antiquitus capta fuit. cujus quidem expugnationis ſingula exponit Poëta, quæ rei intervenerunt; perſonam, nimirum Herculem; cauſſam, quia ille ſcilicet minimè equos receperat; tempus interminatum, ut patet ex illis verbis: Ὅς ποτε δεῦρ' ἐλθών. *Qui quondam huc veniens*. modum denique militaris apparatus, atque expeditionis, eo quod ſex tantùm navibus veniſſet. Hic præterea fortitudinem Herculis commemorat, ſtudioſumque illum equorum fuiſſe innuit, expugnationemque illam Trojæ perquam acriter comparat cum expugnatione, de qua nunc Græcis ſpes affulget, illamque huic longo intervallo præferendam eſſe probabiliter oſtendit, tum ex tempore, eo quòd breviſſimo illa tempore perfecta, atque abſoluta fuerit, tum ex militaribus copiis. Claſſis enim nunc navium mille. Tunc verò naves ſex fuerunt, & viri παυρότεροι, *pauciores*. videlicet generatim παῦροι, *pauci*, exiguoque numero, ut & alibi ſcriptum eſt: aut certè pauciores

Ἀλκμήνης. Αἴλιος δὲ Διονύσιος τοῦτό φησι. Παυσανίας δὲ ἱστορεῖ, ὅτι τὸ, ἄλλος οὗτος Ἡρακλῆς, παροιμία ἐστὶν ἐπὶ Θησέως, ἢ ἑνὶ τῶν Ἰδαίων Δακτύλων. οἱ δὲ, ἐπὶ τῷ Αἰγυπτίῳ Ἡρακλεῖ. οἱ δὲ, ἐπὶ τῷ τῆς Ἀλκμήνης. Καὶ ὧδε μὲν ταῦτα. Ὁ δὲ Σαρπηδὼν, ἁρπάσας οἷον τὸ μονομαχῆσαι κατὰ τοῦ ἀλαζόνος, καὶ εἰπών· σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ, φόνον, καὶ κῆρα μέλαιναν ἐξ ἐμέθεν τεύξεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα, εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ· Rom.p.590.
καὶ οὕτω μερίσειν, ὡς ἐπιθανάτιόν τινα δωρεὰν ταύτην, ἐμοί τε, καὶ τῷ ᾅδῃ· ὡς ἐμὲ μὲν εὖχος ἔχειν ἐπὶ σοὶ, ἐκεῖνον δὲ τὴν σὴν ψυχὴν κάτω γενομένην, εὐθὺς ἔργου γίνεται. καὶ Τληπόλεμος μὲν, ἀνέσχετο μείλινον ἔγχος, καὶ αὐτὸς δὲ ὁμοίως. Ἀποβαίνει δὲ τὰ κατ' αὐτοὺς, ὡς ἐν τοῖς ἑξῆς ἱστορεῖται. Ἰστέον δὲ, Baſ.p.449.
ὅτι οὐδὲν θαυμαστὸν, ἐὰν Γλαῦκος μὲν, καὶ Διομήδης ἐν τοῖς ἑξῆς, ἀναγνωρίσαντες ἀλλήλους ξένους ἀλλήλων πατρῴους, σπένδονται· υἱὸς δὲ Διὸς, καθ' Ὅμηρον, καὶ υἱωνὸς, ὁ Σαρπηδὼν δηλαδὴ, καὶ ὁ Τληπόλεμος, μάχονται, παρ' οὐδὲν θέμενοι τὴν συγγένειαν. [1] Οὔτε γὰρ μικρὸς ἐδόκει ὁ ἐν πολέμῳ θάνατος. καὶ ἄλλως δὲ αὐτὴν τὴν συγγένειαν ἀπηρνήσαντο. Εἶπε γὰρ ὁ Τληπόλεμος, ὅτι ψευδόμενοι δέ σε φασὶν υἱὸν Διός. Σημείωσαι δὲ, ὡς οἱ καυχησάμενοι, οὐδὲ νῦν ἐπὶ καλοῖς ἀπαλλάττουσιν, ἀλλ' ὁ μὲν πρότερος ἀλαζονευσάμενος, ἀναιρεῖται· ὁ δὲ ἀνταλαζονευσάμενος, τιτρώσκεται μόνον.

ροδ'. Ὅρα δὲ, ὅσην καὶ τὸ παρὸν χωρίον πλουτεῖ χρηστομάθειαν. Ἱστορίαν τέ γὰρ οὐκ ἀλλοδαπὴν [2] παραπλέκει τοῖς Τρωϊκοῖς, διανιστῶν συνήθως τὸν ἀκροατὴν ἐκ τῆς μονοειδοῦς ὑπτιότητος. Ἡ δὲ ἱστορία, ἐστὶν ἅλωσις Τροίας παλαιά. ἧς καὶ τὰ περιστατικὰ ἐκτίθησιν ὁ Ποιητής· πρόσωπον μὲν, τὸν Ἡρακλέα, αἰτίαν δὲ, τὸ μὴ τοὺς ἵππους ἀπολαβεῖν, χρόνον δὲ ἀόριστον. Φησὶ γάρ· ὅς ποτε δεῦρ' ἐλθών. τρόπον δὲ τῆς ἐκστρατείας, τὸ, ἓξ μόναις σὺν νηυσί. καὶ τὴν ἀνδρίαν δὲ τοῦ Ἡρακλέους ἐνταῦθα ἱστορεῖ, καὶ φίλιππον ἐκεῖνον εἶναι παραδηλοῖ, καὶ ἅλωσιν ἐκείνην Τροίας τῇ νῦν ἐλπιζομένῃ συγκρίνει πάνυ γοργῶς, καὶ δείκνυσιν ἐκείνην πιθανῶς κρείττονα, ἔκ τε τοῦ χρόνου, ὅτι συντομώτατα κατειργάσθη, καὶ ἐκ τοῦ λαοῦ. Ἐνταῦθα μὲν γὰρ χιλιόναυς ὁ στόλος· ἐκεῖ δὲ ἓξ νῆες, καὶ ἄνδρες παυρότεροι. ἤγουν ἁπλῶς παῦροι, καὶ ὀλίγοι, ὡς που καὶ ἀλλαχοῦ ἐγράφη·

1. Οὔτε γὰρ μικρὸς ἐδόκει ὁ ἐν πολέμῳ θάνατος) *Dulce ac decorum eſt pro patriâ mori. Hor. Salvinus.*

2. περιπλέκει) Malim παραπλέκει. Politus.

ϛῆ· ἢ ὀλιγώτεροι τῆς ἀγκοίλων ἵσης ἐξ ναυσί. Διδάσκει δὲ ἐνταῦθα, ὡς προεῤῥέθη, ϗ ὅτι ὐδὲν ἡ πατραγαθία δίχα τῆς ἀνδραγαθίας, ϗ ὅτι [1] ὐκ ἀεὶ τὰ τέκνα πατρώζυσι. Ποιεῖται δὲ ϗ σύγκρισιν δύο παίδων τῦ Διός, ἐξ ἐγκωμίυ συγκειμένην, ϗ ψόγυ, ϗ τὴν ἀλαζονείαν κολάζει, ὡς ϗ ἤδη προείρηται. Δείκνυσι δὲ ϗ τὸ ψεῦδος ὐ πρὸς καλῦ γίνεσθαι, ὐδὲ τὸ τὺς εὐεργέτας κακῶς ποιεῖν. εἴγε διὰ ταῦτα ὁ Λαομέδων τὴν Ἴλιον ὤλεσε. Παραδηλοῖ δὲ ϗ, ὡς, εἰ διὰ ψεῦδος, ϗ μικρὰν ἀδικίαν ἑάλω ἡ Τροία, πολλῷ πλέον διὰ παρασπόνδησιν ἄρτι, ϗ ἀδικίαν μεγάλην. ϗ ὅτι πολλάκις διὰ μικρὰν αἰτίαν πολλὰ γίνεται κακά· εἴγε διὰ ἵππυς ἑάλω ποτὲ ἡ Τροία, ὡς ϗ ὕϛερον διὰ γυναῖκα. Καὶ ὅλως Ὁμηρικῆς πολλῆς δεινότητος ϗ ὁ τόπος ὗτος πέπληϛαι.

ρος. Σημείωσαι δὲ εἰς τὸ, ἐχήρωσεν ἀγυιάς, τὰ τῦ Γεωγράφυ εἰπόντος, ὅτι Ἰλιεῖς Ἀχιλλεῖ μὲν, ϗ Αἴαντι, ϗ Πατρόκλῳ, ϗ Ἀντιλόχῳ ἐναγίζυσιν· Ἡρακλέα δὲ ὐ τιμῶσι, καίτοι ὁ μὲν, ὐκ ἠφάνισε τελέως τὴν Τροίαν, ἀλλὰ ἐξαλαπάξας, ἐχήρωσεν ἀγυιάς. Ἡ δὲ χηρεία, λειπανδρία τίς ἐϛιν, ὐ μὴν ἀφανισμός. ὗτοι δὲ, οἷς ἐναγίζυσι, τελέως αὐτὴν ἠφάνισαν. [2] ὐ μὴ ἄρα, φησὶ, διότι ὗτοι μὲν δίκαιον πόλεμον ἐξήνεγκαν· ἐκεῖνος δὲ ἄδικον, ἕνεκεν ἵππων Λαομέδοντος. Ἔχομεν ὗν ϗ ἐντεῦθεν μαρτυρίαν τῦ περὶ Ἡρακλέα Τρωϊκῦ μίσυς· ὃς μισοῖτο ἂν ϗ ἄλλως πρὸς Τρώων πλέον, ἤπερ οἱ Ἕλληνες· ἐπειδὴ αὐτοὶ μὲν, οἷά τι μεγαλεῖον, τοῖς ἐπιγόνοις τὴν Τροίαν ἀφῆκαν περιάδεσθαι, μόγις ὀψέ ποτε, ϗ μετὰ πολλῶν ἡρώων θανάτυς, αὐτῆς περιγενόμενοι· ὁ δὲ, αὐτοβοεὶ τὴν τοσαύτην ἑλὼν, ἐξεθέρισεν. Οὕτω δὴ ϗ τύτων ἐν τύτοις, τὰ κατὰ μέρος τῦ ῥηθέντος χωρίυ διάκειται ὕτω. Τὸ, Σαρπῆδον, Λυκίων βυληφόρε, τίς τοι ἀνάγκη πτώσσειν ἐνθάδε; δύναται μὲν γράφεσθαι ϗ Σαρπηδὼν, ὀξυτόνως· ἀρέσκει δὲ τοῖς παλαιοῖς προπερισπᾷν αὐτό. ἔϛι γὰρ εὐθεῖα ὁ Σαρπηδὼν ὀξυτόνως, ϗ ἑτέρα Αἰολικὴ ἴσως, ὁ Σαρπήδων, παροξυτόνως. Διφορεῖται γὰρ τὸ ὄνομα, ϗ τῦ μὲν, ἡ γενικὴ, Σαρπηδόνος, ὡς ἀηδόνος, ϗ ἡ κλητικὴ ὁμόφωνος τῇ εὐθείᾳ, τῷ κανόνι τῶν εἰς δὼν ὀξυτόνων. τῦ δὲ, ἡ κλίσις Σαρπήδοντος, ὡς λέοντος, ϗ ἡ κλητικὴ, ἀποβολῇ τῆς λήγυσης, Σαρπῆδον, προπερισπωμένως, μετὰ συϛολῆς τῆς λήγυσης. Καὶ πολλαχῦ ἡ τοιαύτη κλίσις εὑρεθήσεται παρὰ

ciotes, quàm uſus ſex illarum navium poſtularet. Atque hic etiam docet, quemadmodum ſupra dictum eſt, nihil prodeſſe virtutem patris, ſiquis ſemet ipſe fortem, & bonum virum non præſtat; nec ſemper filios ad patrum ſuorum virtutem, atque exemplum ſemet conformare. Quin & comparationem facit filiorum duorum Jovis, ex laude ſimul atque ex vituperatione compoſitam, faſtumque, atque arrogantiam caſtigat, quemadmodum etiam ſupra dictum eſt. Ad hæc, oſtendit, non bene, nec proſperè cedere mendacium, neque malam gratiam iis referendam eſſe, qui benè de nobis merentur. Siquidem his de cauſſis Laomedon Ilium perdidit. Deinde, ſi propter mendacium, parvamque injuriam capta eſt Troja, multò magis ſignificat, Trojam nunc eſſe capiendam propter violatum fœdus, & injuriam magnam. Itemque innuit, parvâ ſæpe de cauſsâ mala multa evenire: quamdoquidem capta eſt quondam Troja propter equos, ſicuti etiam poſtea propter mulierem. Denique hic locus multo refertus eſt acumine Homerico.

CLXXV. Ceterùm ad illa verba: ἐχήρωσεν ἀγυιάς, *viduavit vias*, volo, obſerves id, quod de Ilienſibus ſcribit Geographus, eos quidem Achilli, Ajacique, & Patroclo, atque Antilocho, rem ſacram facere; at verò Herculi, nullum cultum, neque honorem deferre, tametſi hic Trojam non funditus exciderit, ſed diripuerit, itaque vias viduaverit. Viduitas namque, delectus quidam eſt virorum, non excidium civitatis. Et tamen hi, quibus ſacta faciunt, eam funditus deleverunt. Niſi forte, inquit, id eâ cauſsâ factum ſit, quòd hi juſtum bellum intulerunt; ille verò injuſtum, propter equos Laomedontis. Itaque teſtimonium hinc nobis ſuppetit de Trojanorum odio in Herculem: quem aliâ quoque de cauſsâ multò pejus, quàm Græcos, odiſſe Trojani potuerunt. Nam Græci quidem Trojam, veluti rem magnam, maximèque omnium memorabilem, celebrandam poſteris reliquerunt: quum vix tandem aliquando, & poſt multorum heroum cædem, ejus potiti fuerint. At verò Hercules primo ſtatim impetu captam, urbem tantam deſolaverat. Jam verò, quum ea ſit harum hîc rerum hiſtoria, ſic ſeſe habent ea, quæ hoc ipſo in loco per partes, ac ſingillatim animadvertuntur. Quoad illud: Σαρπῆδον, Λυκίων βυληφόρε, τίς τοι ἀνάγκη πτώσσειν ἐνθάδε; *Sarpedon, Lyciorum rector, quid te neceſſe eſt expaveſcere hic, atque trepidare?* tametſi ſcribi etiam poteſt Σαρπηδὼν, *Sarpedon*, voce oxytonâ; tamen veteribus placet id ipſum circumflectere in penultimâ. Eſt enim rectus, ὁ Σαρπηδὼν, *Sarpedon*, ultimâ acutâ; alterque fortaſſe Æolicus, ὁ Σαρπήδων, *Sarpedon*, acutâ antepenultimâ. Dupliciter enim effertur id nominis: &, ſi effertur quidem cum accentu acuto, genitivus ejus eſt Σαρπηδόνος, *Sarpedonis*, ut ἀηδόνος, *luſciniæ*; caſuſque vocandi eadem eſt voce, atque ipſe nominativus, ob regulam nominum oxytonorum in δών. Sin autem effertur, acutâ antepenultimâ, declinatur Σαρπήδοντος, *Sarpedontis*, ut λέοντος, *leonis*; ejuſque vocativus, rejectâ per apobolen ultimâ, eſt Σαρπῆδον, voce properiſpomenâ, correptâ ultimâ. Atque hæc iſta declinatio multis poſtea in locis reperitur apud Poëtam. Porrò autem

1. ὐκ ἀεὶ τὰ τέκνα πατρώζυσι) παῦροι δέ τε πατρὸς ἀρείους. Salvinus.

2. ὐ μὴ ἄρα, φησὶ, διότι) Strabo: εἰ μὴ τοῦτ' αἰνιξάμενοι, διότι &c. Politus.

tem τὸ βουληφόρε, *conſiliarie, ſeu rempublicam regens conſilio*, latentem quamdam habet cavillationem: quaſi ſcilicet Sarpedon non ſit vir fortis, ſed tantùm conſiliarius. Ideoque paullò inferius imperitum pugnæ eum vocat; &, quum dicendum eſſet, τίς ἀνάγκη, ἐνταῦθά σε εἶναι; *quid neceſſe eſt te hic verſari?* pro his verbis, dicit: τίς τοι ἀνάγκη πτώσσειν ἐνθάδε; *quid tibi neceſſe eſt formidare hic, atque expaveſcere?* Ubi per metalepſin accipit τὸ πτώσσειν, *formidare, expaveſcere, trepidare*, pro διατρίβειν, *agere, verſari, manere, moram trahere, commorari*. Sicuti etiam alibi dicit: ἐνθάδ' ἔρρων. *hic peſſum iens, ſeu mortem ſubiens*. pro ἐπὶ φθορᾷ διατρίβων. *operam dans malo, atque exitio meo*.

CLXXVI. Ceterùm illa verba: τίς τοι ἀνάγκη; *quid tibi neceſſe?* manifeſtè oſtendunt, non vi, neque neceſſitate; ſed voluntariè, atque ſponte Sarpedonem veniſſe in auxilium Trojanorum. Quin etiam ſciendum, de quocumque homine imbelli, atque ignavo, qui pugnæ fruſtra interſit, uſurpari poſſe illud: τίς τοι ἀνάγκη πτώσσειν ἐνθάδ' ἐόντι μάχης ἀδαήμονι φωτί; *quid tibi neceſſe eſt formidare hic, atque expaveſcere, homini pugnæ imperito?* quod accuſandi etiam caſu prolatum, longè abeſt a ſolœciſmo propter illud πτώσσειν, *formidare, atque expaveſcere*. adeo ut ſit, τίς σοι ἀνάγκη, πτώσσειν σε ὧδε ἀπόλεμον ὄντα; *Quid tibi neceſſe eſt formidare te hic, hominem imbellem, & ignavum?* Ac vide, Poëtam non dicere πτήσσειν, *metu trepidare*; ſed πτώσσειν, *formidare, expaveſcere, metu conſternari*, ex quo etiam τὸ πτωσκάζειν, *timore percelli*, & πτὼξ λαγωός, *pavidus, ſeu timidus lepus*. Et obſerva, quàm vehemens ea ſit vox, plenaque inſectationis, & contumeliæ. Ad eum, qui bonis ac fortibus ſuperioris memoriæ viris ſeſe temerè exæquat, verbis leviter per parœdiam immutatis, quis dixerit: Ψευδόμενοι δέ σε φασὶ τοιόνδε τινὰ εἶναι· ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν, οἳ τοιοίδε ἐγένοντο ἐπὶ προτέρων ἀνθρώπων. *Mentiuntur porrò, qui dicunt talem te eſſe: quoniam longè ab illis viris abes, qui tales fuerunt ſuperiori hominum memoriâ*. Illud item: Ἀλλ' οἷόν τινά φασιν εἶναι ἐμὸν πατέρα θρασυμέμνονα, θυμολέοντα. *Sed qualem ajunt fuiſſe patrem meum, hominem oppidò audacem, animoque leonis præditum*; illud, inquam, uſurpaverit filius, qui a patris ſui demortui fortitudine gloriam ſibi aucupetur. Atque hic obſerva, ut τὸ θρασυμέμνων, *audax, atque animoſus*, videlicet θρασύς, *audax*, & μένων, *manens, atque ſuſtinens*, nomen eſt compoſitum ex μένος, *animus, ſeu vis animi, aut robur*, & θάρσος, *audacia*, quod jam antea dixerat de Diomede. Neque verò malè hîc ſonat τὸ θρασύς, *audax*; ſed æquè valet, atque τὸ θαῤῥαλέος, *magnâ fiduciâ præditus, magnanimus, ſtrenuus, fidens animo*. Porro autem τὸ θρασυμέμνων, *audaci animo præditus*, ſimiliter legitur, atque τὸ Ἀγαμέμνων, *Agamemnon*. Itaque, ut ex his clarè apparet, vox illa ſimplex, ὁ μέμνων, juxta atque ὁ μένων, *is, qui manet, ac perſiſtit*, fortes, atque animoſos viros denotat. Τὸ, βίη Ἡρακληείη, *vis Herculea*, legitur etiam in Bœotiâ; ibique etiam ſcriptum eſt eo de genere locutionis. Ubi & figuratum extat genus loquendi, novâ quadam cum elegantiâ, ſimile atque illud: ψυχὴ Τειρεσίαο, χρύσεον σκῆπτρον ἔχων. *anima Tireſiæ, aureum ſceptrum tenens*. Tale enim & illîc illud: βίη Ἡρακληείη, πέρσας πόλιας. *vis Herculea, depopulatus urbes.*

παρὰ τῷ Ποιητῇ. Τὸ δὲ βουληφόρε, ὑποκρύπτει σκῶμμά τι, ὡς δῆθεν μὴ ἀνδρείου τοῦ Σαρπηδόνος ὄντος, ἀλλὰ μόνον βουλευτοῦ. Διὸ καὶ ὑποκατιὼν, ἀδαήμονα μάχης αὐτὸν λέγει, καὶ ἀντὶ τοῦ, τίς ἀνάγκη, ἐνταῦθά σε εἶναι; τίς τοι ἀνάγκη, φησὶ, πτώσσειν ἐνθάδε; τὸ διατρίβειν εἰς τὸ πτώσσειν μεταλαβών. ὡς καὶ ἀλλαχοῦ, [1] ἐνθάδε ἔρρων, φησὶν, ἀντὶ τοῦ ἐπὶ φθορᾷ διατρίβων. *Rom. p 591.*

ροϛ'. Τὸ δὲ, τίς τοι ἀνάγκη, φανερῶς δηλοῖ, μὴ ἀναγκαστὸν, ἀλλ' ἑκούσιον εἶναι τὸν Σαρπηδόνα σύμμαχον τοῖς Τρωσίν. Ἰστέον δὲ καὶ, ὅτι ἐπὶ παντὸς ἀνάνδρου, μάτην παρόντος τῇ μάχῃ, δύναται λέγεσθαι τὸ, τίς τοι ἀνάγκη πτώσσειν ἐνθάδ' ἐόντι μάχης ἀδαήμονι φωτί; ὃ καὶ κατὰ αἰτιατικὴν πτῶσιν λεχθὲν, ἀσολοίκιστόν ἐστι διὰ τὸ πτώσσειν. ἵνα ᾖ, τίς σοι ἀνάγκη, πτώσσειν σε ὧδε ἀπόλεμον ὄντα. Καὶ ὅρα, ὅτι οὐ λέγει πτήσσειν, ἀλλὰ πτώσσειν, ἐξ οὗ καὶ [2] τὸ πτωσκάζειν, [3] καὶ πτὼξ λαγωός. Καὶ σημείωσαι τὸ σφοδρὸν, καὶ καταφορικὸν τῆς λέξεως. Πρὸς δὲ τὸν μάτην ἐξισούμενον παλαιοῖς ἀγαθοῖς ἀνδράσι, παρῳδήσας μικρὸν, εἴποι ἄν τις τὸ, Ψευδόμενοι δέ σε φασὶ τοιόνδε τινὰ εἶναι· ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν, οἳ τοιοίδε ἐγένοντο ἐπὶ προτέρων ἀνθρώπων. Τὸ δὲ, Ἀλλ' οἷόν τινά φασι εἶναι ἐμὸν πατέρα θρασυμέμνονα, θυμολέοντα, υἱὸς ἂν εἴποι, σεμνυνόμενος ἐπὶ πατρὶ ἀνδρείῳ ἀποιχομένῳ. Ἐνταῦθα δὲ σημείωσαι καὶ, ὅτι τὸ θρασυμέμνων, ἤγουν θρασὺς, καὶ μένων, [4] σύνθεσίς ἐστι τοῦ μένους, καὶ θάρσους, [5] ὃ φθάσας εἶπεν ἐπὶ τοῦ Διομήδους. καὶ ὅτι τὸ θρασὺς ἐνταῦθα οὐ ψόγον ἔχει, ἀλλ' ἴσον ἐστὶ τῷ θαῤῥαλέος. Ἡ δὲ ἀνάγνωσις τοῦ θρασυμέμνων, ὡς τὸ Ἀγαμέμνων. Δῆλον δὲ ἐκ τούτων, ὡς καὶ τὸ ἁπλοῦν ὁ μέμνων, καθὰ καὶ ὁ μένων, ἀνδρείους ὑποδηλοῦσι. Τὸ δὲ, βίη Ἡρακληείη, κεῖται καὶ ἐν τῇ Βοιωτίᾳ. καὶ ἐγράφη περὶ αὐτοῦ ἐκεῖ. ἔνθα κεῖται καὶ σχῆμα καινοπρεπὲς, ὅμοιον τῷ, [6] ψυχὴ Τειρεσίου, χρύσεον σκῆπτρον ἔχων. Τοιοῦτον γὰρ καὶ ἐκεῖ τὸ, βίη Ἡρακληείη, πέρσας πόλεις. ἤγουν Ἡρακλῆς πορθήσας. ἵ-

1. ἐνθάδ' ἔρρων) ἐπὶ φθορᾷ παραγενόμενος. Scholiaſta. Polit.

2. τὸ πτωσκάζειν) Hom. πτωσκαζέμεν. Alii πτωσκαζόμεν, tamquam videlicet ἀπὸ τοῦ σκάζειν. Etymologici Magni Auctor: πτωσκαζέμεν, παρὰ τὸ πτῶ, ὃ σημαίνει τὸ φοβοῦμαι, καὶ τὸ σκάζω τὸ ἐκκλίνω. Politus.

3. καὶ πτὼξ λαγωός) Hom. πτῶκα λαγωόν. Etymologici Magni Auctor: πτὼξ παρὰ τὸ πτῶ. παράγωγον πτώσσω. ὁ μέλλων, πτώξω· ἡ ἀποβολή. Polit.

4. σύνθεσίς ἐστι τοῦ μένους) Si θρασυμέμνων idem eſt, atque θρασὺς, & μένων, nomen ergo erit compoſitum ex μένειν, & θάρσος, non ex μένους. Et θρασυμέμνονα explicat vetus Scholiaſta τολμηρὸν, θρασὺν ἐν τῷ μένειν, ὁ θρασέως ὑπομένων ἐν τῇ μάχῃ. Politus.

Μένων autem ſolvit, ἐν τῷ μένειν, *permanere, perſiſtere*. Salvin.

5. ὃ φθάσας εἶπεν ἐπὶ τοῦ Διομήδους) initio hujus libri. Διομήδεϊ Παλλὰς Ἀθήνη δῶκε μένος, καὶ θάρσος. Polit.

6. ψυχὴ Τειρεσίαο, χρύσεον σκῆπτρον ἔχων) lib. λ' Od. ψυχὴ Θηβαίου Τειρεσίαο, χρύσεον σκῆπτρον ἔχων. Politus.

Digitized by Google

Baſ. p. 450. να καὶ αὐτόθι μὴ πρὸς τὸ ῥητὸν θῆλυ, ἀλλὰ πρὸς τὸ νοητὸν ἄῤῥεν, ἡ σύνταξις γένηται). Ὅμοιον δὴ κἀνταῦθα τὸ, Ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην εἶναι. Τὸ μὲν γὰρ εὐθὺ, καὶ κοινὸν ἦν εἰπεῖν, Ἀλλ' οἷαν τινά φασι τὴν Ἡρακλέος εἶναι βίαν. ὁ δὲ, πρὸς τὸ νοητὸν, ἤγουν πρὸς τὸν Ἡρακλῆν ἀποτεινάμενος, ἔφη τὸ, ἀλλ' οἷόν τινα. εἰ μὴ ἄρα θηλυκοῦ γένους ἐστὶ τὸ οἷον, Ἀττικῶς. Τὸ δὲ φασὶ περίφημον, καὶ, ὡς εἰπεῖν, [1] περίφατον εἶναι τὸν Ἡρακλέα δηλοῖ.

ροζ'. Ἰστέον δὲ καὶ, ὡς ἐν μέσῳ τῶν τοῦ Τληπολέμου λόγων κεῖται ψόγος ἐπὶ δειλίᾳ στρατηγοῦ τὸ, Σοὶ δὲ κακὸς μὲν θυμός· ἀποφθινύθουσι δὲ λαοί. τὸ δὲ ἐφεξῆς ἀποληκτικόν ἐστι κατὰ βοηθοῦ ἀλυσιτελοῦς παρῳδηθέν. οἷον· Οὐδέ τι σε Τρώεσσιν ὀΐομαι ἄλκαρ ἔσεσθαι, οὐδ' εἰ μάλα καρτερός ἐσσι. Εἶτα ὅρα, ὅτι πολλαχοῦ φιλοτίμως ἔχων εἰς τὸ φράζειν ὁ Ποιητὴς, ποιεῖ αὐτὸ καὶ ἐνταῦθα, τὸ ἀποθανεῖν, [2] διὰ μὲν τοῦ Γλαύκου εἰπὼν, πύλας ἀΐδαο περήσειν· διὰ δὲ Σαρπηδόνος, ψυχὴν Ἀΐδι δώσειν. Ἰστέον δὲ καὶ, ὅτι τὸ, πύλας ἀΐδου περήσειν, ἤγουν εἰς ἀΐδην ἀπελθεῖν, μύθου ἤρτηται τοῦ πέραν περὶ τὰ τοῦ Ὠκεανοῦ ἑσπέρια πλάττοντος εἶναι τὸν ᾅδην, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ φαίνεται. [3] Τὸ δὲ ἀπέδωκε, τὸ χρεωστικῶς δοῦναι δηλοῖ. Τοῦ δὲ κλυτοπώλου ἡ εὐθεῖα ἔοικε προπαροξύνεσθαι κατὰ τὸ εὔπωλος. Ἔστι δὲ τοιοῦτος ᾅδης, [4] οὗ κλυτὴ ἡ ἐπιπώλησις, ἤτοι ἔφοδος. μηνύουσι γὰρ τοὺς θανόντας οἱ ἐπ' αὐτοῖς θρῆνοι. ἢ ὁ κλυτοὺς ἔχων ἵππους. [5] πανταχοῦ γὰρ οἶδε φθάνειν ὁ θάνατος. Εἰκασθείη δ' ἂν ποτε κλυτοπώλῳ ᾅδῃ ἀστείως καὶ ὁ δι' ἱπποτροφίας ἐκτρίβων τινάς. Τὸ δὲ ἀνέσχετο ἔγχος, Ὁμήρῳ ἀρέσκει παθητικῶς λεχθέν. ἡ δὲ κοινὴ χρῆσις, ἀνέσχε χεῖρά φησι, καὶ ἔγχος, καὶ τὰ ὅμοια. Λέγει δὲ καὶ μετοχὴν παθητικὴν, ἀνασχόμενος. Δῆλον δὲ, ὡς οἶδε καὶ τὰ ἐνεργητικά. ἤγουν τὸ ἀνέσχε, καὶ τὸ ἀνασχών.

bet. videlicet Ἡρακλῆος πτολίπορθος. *Hercules depopulatus.* ita ut ibi quoque conſtruenda ſit oratio non cum feminino, quod exprimitur, nomine; ſed cum eo, quod intelligitur, maſculino. Jam verò & hoc loci ſimile eſt illud: Ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην εἶναι. *Sed qualem ajunt vim Herculeam fuiſſe.* Quamquam enim ex recto, & communi ſermonis uſu dicendum erat, Ἀλλ' οἷαν τινά φασι τὴν Ἡρακλέος εἶναι βίαν. *Sed qualem ajunt Herculis vim fuiſſe;* attamen Poëta animum ſuum ad id intendit, quod ſub intelligentiam cadebat, ad ipſum videlicet Herculem; itaque dixit; Ἀλλ' οἷόν τινα. *Sed qualem.* Niſi forte muliebri ſit genere τὸ οἷον, *qualem*, Atticè. Illud porrò φασὶ, *ajunt*, claro argumento eſt, fuiſſe Herculem περίφημον, *percelebrem*, & penè dixerim, περίφατον, *omnium ubique ſermonibus percelebratum.*

CLXXVII. Sciendum præterea eſt, verbis hiſce Tlepolemi interjectam eſſe reprehenſionem illam, & vituperationem ducis ob ejus ignaviam, atque metum: Σοὶ δὲ κακὸς μὲν θυμός· ἀποφθινύθουσι δὲ λαοί. *Tibi quidem ignavus animus; copiæ verò intereunt.* reliqua autem verba, ſi paullulum per parœdiam immutentur, valere ad eum minus deterrendum, qui auxilio ſuo minimè ſit hoſtibus profuturus. exempli cauſſâ: Οὐδέ τι σε τοῖς δεῦρο οἴομαι ἄλκαρ ἔσεσθαι, οὐδ' εἰ μάλα καρτερός ἐσσι. *Neque te his, aut illis auxilio fore puto, etiamſi fortis admodum es.* Tum vide, ut, quemadmodum Poëta magno ſæpe elocutionis ſtudio ducitur, ſic etiam facit hoc loci, quo τὸ ἀποθανεῖν, *obiturum eſſe mortem, ſive deceſſurum eſſe e vitâ*, verbis quidem Tlepolemi dicit πύλας ἀΐδαο περήσειν, *penetraturum eſſe ad portas inferorum;* verbis autem Sarpedonis, ψυχὴν Ἀΐδι δώσειν, *daturum eſſe animam Plutoni.* Ubi etiam ſciendum, illud, πύλας ᾅδου περήσειν, *penetraturum eſſe ad portas inferorum*, ad inferos videlicet eſſe abiturum, aptum eſſe, ac pendere ex fabulâ, quæ trans Oceanum Occidentalem ſitos inferos comminiſcitur, ut conſtat quoque in Odyſſeâ. Τὸ ἀπέδωκε, *reddidit*, eo eſt ſignificatu, ut res, quæ datur, intelligatur debeti. Nominativus τοῦ κλυτοπώλου, accentum habere videtur in antepenultimâ, pariter atque τὸ εὔπωλος, *pulchros habens pullos equinos.* Ejuſcemodi autem eſt Pluto, cujus κλυτὴ ἡ ἐπιπώλησις, ſive ἔφοδος, *exaudiri poteſt adventus.* Eorum namque, quos deflemus, obitum fletus ipſi, & planctus teſtantur. Aut eo nomine intelligitur ὁ κλυτοὺς ἔχων ἵππους, *is, qui equos habet inclytos.* Quocumque enim pertinere mors ſolet. Quin & inclyto ob equos Plutoni lepidè aliquando aſſimilatus is fuerit, qui equis alendis quoſdam atterit, atque exhaurit. Τὸ ἀνέσχετο ἔγχος, *ſuſtulit lanceam*, dici Homero placet formâ paſſivâ. Quamquam in communi uſu ſit dicere, ἀνέσχε χεῖρα, *ſuſtulit manum*, & ἔγχος, *lanceam*, aliaque id genus. Sed & uſurpat participium paſſivum, ἀνασχόμενος, *ſuſtollens, ſive attollens:* tametſi in comperto eſt, agnita quoque ab eo, quæ formæ ſunt activæ. videlicet τὸ ἀνέσχε, *ſuſtulit*, & τὸ ἀνασχών, *ſuſtollens.*

Ὣς φάτο Σαρπηδών. ὁ δ' ἀνέσχετο μείλινον ἔγχος
Τληπόλεμος. καὶ τῶν μὲν [6] ὁμαρτῇ δούρατα μακρὰ
Ἐκ χειρῶν ἤϊξαν· ὁ μὲν βάλεν αὐχένα μέσσον
Σαρπηδών· αἰχμὴ δὲ διαμπερὲς ἦλθ' ἀλεγεινή.
Τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε.
Rom. p. 592. Τληπόλεμος δ' ἄρα μηρὸν ἀριστερὸν ἔγχεϊ μακρῷ
Βεβλήκειν. αἰχμὴ δὲ διέσσυτο μαιμώωσα,
Ὀστέῳ ἐγχριμφθεῖσα. [7] Πατὴρ δ' ἔτι λοιγὸν ἄμυνεν.

Sic dixit Sarpedon. At ſuſtulit fraxineam haſtam
Tlepolemus, eorumque ſimul haſta longa
E manibus ruerunt. Et quidem cervicem mediam percuſſit
Sarpedon; cuſpiſque acerba penitus tranſacta eſt;
Ejuſque oculos tenebricoſa nox cooperuit.
Tlepolemus verò femur ſiniſtrum haſtâ longâ
Percuſſit; cuſpiſque pertranſiit, furioſo impetu acta,
Oſſi infixa. Sed pater mortem adhuc avertit.

Oi — Et

1. περίφημον) legendum puto περίφατον. Περίφημος alterius eſt ſignificationis. *Polit.*
Videlicet *illuſtris, conſpicuus, nobilis.* Salvin.
2. διὰ μὲν τοῦ Γλαύκου) Scribendum tibi, Euſtathi, fuerat, διὰ μὲν τοῦ Τληπολέμου. Polit.
3. Τὸ δὲ ἀπέδωκε, τὸ χρεωστικῶς δοῦναι δηλοῖ) Hoc ſenſu dicunt Latini: *reddita ſunt mihi litteræ.* Salvinus.
4. οὗ κλυτὴ ἡ ἐπιπώλησις, ἤτοι ἔφοδος) Vetus Scholiaſtes: οὗ κλυτὴ ἐστιν ἡ ἐπιπώλησις, οἷον ἀκουστὴ, διὰ τὰς ἐπὶ τοῖς ἀποθανοῦσιν οἰμωγάς. Eadem etiam τοῦ κλυτοπώλου explicatio apud Etymologum. Politus.
5. πανταχοῦ γὰρ οἶδε φθάνειν ὁ θάνατος) ὅτι οὐδεὶς τὸν θάνατον διαφυγεῖν δύναται. Etymologus. *Polit.*
6. ὁμαρτῇ) Sic quidem editio Florentina. Sed Euſtathius variat. Legit enim tum ὁμαρτῇ, tum ὁμαρτῆ. Polit.
Hoc ἀπὸ τοῦ ὁμοῦ, illud ἀπὸ τοῦ ὁμοῦ. Salvin.
7. Πατὴρ δ' ἔτι) Euſtathius πατὴρ δ' ἔτι. quod mihi magis placet. *Polit.*

Et quidem parem deo Sarpedonem nobiles ſocii
Exportarunt e prœlio. Gravabat autem eum haſta longa,
Dum traheretur. Nec quiſquam conſideravit, aut animadvertit,
Ut fraxineam haſtam e femore extraheret, ut currum conſcenderet,
Feſtinantibus illis. Tali enim in labore erant occupati.

Οἱ μὲν ἄρ' ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
Ἐξέφερον πολέμοιο. βάρυνε δέ μιν δόρυ μακρὸν
Ἑλκόμενον. τὸ μὲν οὔτις ἐπεφράσατ', οὐδ' ἐνόησε
Μηροῦ ἐξερύσαι δόρυ μείλινον, ὄφρ' ἐπιβαίη,
Σπευδόντων. τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες.

CLXXVIII. Ὁμαρτῇ, *una*, hoc eſt, ὁμοῦ, *ſimul*, & Sarpedon, & Tlepolemus longas haſtas in ſe invicem emiſerunt. Atque hic quidem, transfixâ mediâ cervice, occumbit; Sarpedon verò vulnus ſiniſtro in femore accipit, cuſpiſque oſſi infigitur. Non ille tamen moritur: ſed generoſi eum ſocii e prœlio exportarunt, reſervatum alibi ad cædem Patroclo. Quare ſic ait: *Pater verò mortem adhuc ab eo avertit. Porro autem*, inquit, *gravi eum dolore, dum traheretur, haſta longa afficiebat, Nemo enim quiſquam conſideravit, neque advertit, ut eam ex femore extraheret, dum in eo toti erant, ut currum conſcenderet*. hoc eſt, rectus ſtaret. *Eo enim labore detinebantur, quum circa ipſum ſatagerent*. Et obſerva, ut feſtinatio, atque nimia anxietas nonnullos ab officio abducit. Sciendum autem eſt, τὸ ὁμαρτῇ, *una*, *ſimul*, quod fit ex ἅμα, *ſimul*, & ἀρτῶ, *appendo*, *ſuſpendo*, *alligo*, *adjungo*, ex conſuetudine quidem circumflecti, ut τὸ εἰκῇ, *temere*, πολλαχῇ, *multis in locis*, & quæcumque alia id genus, in quibus etiam τὸ ἡσυχῇ, *quietè*, & βῆ, *be*, nomen factum per onomatopœiam ad exprimendam vocem ovis, ut alibi quoque declaratur; verùm Ariſtarchum id ipſum acuere, ut eſt in Apionis, & Herodori Commentariis: quippe quum cenſeat Ariſtarchus factum id eſſe per ſyncopen ex ὁμαρτήδην, *ſimul*. Sin autem hoc ipſum adverbium ex fide quorumdam exemplarium ſcribitur ἁμαρτῇ, ſciendum, ſuâ id ratione nixum eſſe, eo quod τὸ ἀκολουθεῖν, *ſequi*, *ſeu comitari*, tum ἁμαρτεῖν dicitur cum α, tum ὁμαρτεῖν, cum ο, ob eadem etymologiâ, ſeu origine, a qua ipſum eſt adverbium, ut agnoſcere item eſt ex veterum commentariis.

CLXXIX. Hic etiam vide τὸ ἐξέφερον, *abſportarunt*, ſive φοράδην ἀπῆγον, *ferendo*, *ſive portando eduxerunt*, Tlepolemum, & Sarpedonem. Illa porro, οὐκ ἐπεφράσατο, οὐδ' ἐνόησε. *non conſideravit*, *neque animadvertit*, quamdam inter ſe habere differentiam videntur. Namque ἐπιφράσασθαι, *conſiderare*, *ſeu cogitare*, idem eſt atque conſultare, ſeu conſilium capere, atque in cognitione comprehenſioneque rei tempus aliquod terere. At verò νοῆσαι, *animadvertere*, *atque intelligere*, idem eſt, ac ſine conſultatione, veluti puncto uno temporis, comprehendere, atque percipere id, quod factu opus eſt. ut: νόησε δὲ δῖος Ὀδυσσεύς. *Animadvertit autem divus Ulyſſes*, quod quidem paullò poſt dicit de Hectore, ὀξὺ νόησε. *ſtatim animadvertit*, *atque cognovit*. Vel etiam aliter τὸ νοῆσαι, *animadvertere*, *atque cognoſcere*, differt ab ἐπιφράσασθαι, *conſiderare*, *atque cogitare*, eâ ratione, qua differunt inter ſeſe προμηθεὺς, *providus*, *is*, *qui proſpicit*, *ſive is*, *cui conſilium ante ſuppetit*, *quàm ad rem ipſam aggrediatur*, & ἐπιμηθεὺς, *is*, *qui ſerò ſapit*, *ſeu*, *re peractâ*, *tum demum conſilium capit*. adeò ut prius ſit τὸ νοῆσαι, *advertere*, *intelligere*, *cognoſcere*; poſterius τὸ ἐπιφράσασθαι, *conſiderare*:

ροη'. [1] Ὁμαρτῇ, τουτέστιν, ὁμοῦ, ὅ τε Σαρπηδὼν, καὶ ὁ Τληπόλεμος, ἀφῆκαν δούρατα μακρὰ κατ' ἀλλήλων· καὶ ὁ μὲν, αὐχένα μέσον βληθεὶς, τέθνηκε· Σαρπηδὼν δὲ μηρὸν ἀριστερὸν βάλλεται, καὶ ἡ αἰχμὴ τῷ ὀστέῳ ἐγχρίμπτεται, οὐ θνήσκει δέ· ἀλλὰ δῖοι ἑταῖροι ἐξέφερον αὐτὸν πολέμοιο, ταμιευόμενον ἀλλαχοῦ εἰς ἀναίρεσιν τῷ Πατρόκλῳ. Διό φησι· Πατὴρ δ' ἔτι λοιγὸν ἄμυνε. βάρυνε δὲ, φησιν, αὐτὸν δόρυ μακρὸν ἑλκόμενον. Οὐ γάρ τις ἐπεφράσατο, οὐδ' ἐνόησε μηροῦ ἐξελκῦσαι αὐτὸ, ὄφρ' ἐπιβαίη, σπευδόντων. τουτέστιν, ὀρθὸς σταίη. Τοῖον γὰρ ἔχον πόνον, ἀμφιέποντες. Καὶ σημείωσαι, ὅπως ἡ σπουδὴ, καὶ ἀγωνία ἐκκρούει τινὰς τοῦ δέοντος. Ἰστέον δὲ, ὅτι τὸ ὁμαρτῇ, ὃ γίνεται ἀπὸ τοῦ ἅμα, καὶ τοῦ ἀρτῶ, [2] ἡ μὲν συνήθεια περισπᾷ, ὡς τὸ εἰκῇ, πολλαχῇ, καὶ ὅσα τοιαῦτα, ἐν οἷς καὶ τὸ ἡσυχῇ, [3] καὶ βῆ, ὄνομα φωνῆς προβάτου, ὀνοματοποιηθὲν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται· [4] Ἀρίσταρχος δὲ ὀξύνει, ὡς ἐν τοῖς Ἀπίωνος, καὶ Ἡροδώρου φέρεται, λέγων, ἐκ τοῦ ὁμαρτήδην συγκοπῆναι αὐτό. Ἰστέον δὲ, ὡς, εἰ καὶ ἁμαρτῇ τὸ ῥηθὲν ἐπίῤῥημα γράφεται κατά τινα τῶν ἀντιγράφων, ἔχει λόγον, διὰ τὸ καὶ τὸ ἀκολουθεῖν, ἁμαρτεῖν τε λέγεσθαι διὰ τοῦ α, καὶ ὁμαρτεῖν διὰ τοῦ ο, [5] ἐκ τῆς αὐτῆς ἐτυμολογίας τῷ ἐπιῤῥήματι, ὡς ἔστι γνῶναι καὶ αὐτὸ ἐκ τῶν παλαιῶν.

ροθ'. Ὅρα δὲ καὶ ἐνταῦθα τὸ ἐξέφερον, ἤτοι φοράδην ἀπῆγον, τὸν Τληπόλεμον, καὶ τὸν Σαρπηδόνα. Τὸ δὲ, οὐκ ἐπεφράσατο, οὐδ' ἐνόησε, δοκεῖ τι διαφορὰν ἔχειν τινά. Ἐπιφράσασθαι μὲν γὰρ τὸ βουλεύσασθαι, καὶ χρόνον τινὰ τρίψαι τῇ καταλήψει· νοῆσαι δὲ, τὸ δίχα βουλῆς ἀχρόνως εἰδέναι τὸ δέον καταλαβεῖν. οἷον· νόησε δὲ δῖος Ὀδυσσεύς, ὃ μετ' ὀλίγα, ὀξὺ νόησε, φησὶν, ἐπὶ Ἕκτορος. Ἢ καὶ ἄλλως [6] διαφέρει τὸ νοῆσαι τοῦ ἐπιφράσασθαι, ᾧ λόγῳ καὶ προμηθεὺς, καὶ ἐπιμηθεύς. ὡς προηγεῖσθαι μὲν τὸ νοῆσαι· δευτερεύειν δὲ τὸ ἐπιφρά-

1. Ὁμαρτῇ, τουτέστιν, ὁμοῦ) Heſychius: ὁμαρτῇ, ὁμοῦ. Polit.

κρωσσοί· ὑμῖν[1] οἱ διὰ τοῦ ω μεγάλα οἱ τὰ ὑδροφόρα δηλοῦντες ἀγγεῖα) οὕτως ἐκφράζει· Ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισι βάλετο αἰγίδα θυσανόεσσαν, δεινὴν, ἣν περὶ μὲν πάντῃ φόβος ἐστεφάνωται, ἤτοι κύκλῳ περιέχει. Ἐν δ᾽ ἔρις, ἐν δ᾽ ἀλκὴ, ἐν δὲ κρυόεσσα ἰωκή. Ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου, δεινή τε, σμερδνή τε, Διὸς τέρας Αἰγιόχοιο. Ταῦτα δὲ, ἢ ὡς εἴδωλα ἐντετύπωται, φασι, τῇ αἰγίδι, ἢ ὡς διαθέσεις, καὶ δυνάμεις ἄρρητοι, καὶ θεῖαί τινες. Δηλοῖ δὲ διὰ τούτων ὁ μῦθος τὰ πολύτροπα τῆς φρονήσεως ἐνεργήματα, ἥτις ἐριστικὴ, τοῖς ἐχθροῖς ἐπαιγίζουσα, δέος τε ἐμποιεῖ, καὶ εἰς φόβον, ἤτοι φυγὴν, διώκει, καὶ ἀλκὴν ἐνδείκνυται, καὶ τὸ γοργὸν, καὶ ὀξὺ πρὸς ἐνέργειαν, καὶ τὸ καταπληκτικὸν ἔχει πολύ. Λέγει δὲ ἐκφραστικῶς ὁ Ποιητὴς καὶ τὸ, Κρατὶ δ᾽ ἐπ᾽ ἀμφίφαλον κυνέην θέτο τετραφάληρον Χρυσείην, ἑκατὸν, ἤτοι πολλῶν, πόλεων[2] πρυλέεσσιν, ὅ ἐστι, πεζοῖς ὁπλίταις, ἀραρυῖαν. Καὶ ὅρα, ὡς μεγίστην κατὰ μῦθον πλάττει τὴν ῥηθεῖσαν κυνέην· εἴ γε τοσούτων πόλεων ὁπλίτας καλύπτειν, καὶ σκέπειν ἠδύνατο. Καὶ ἔστι καὶ τοῦτο συλλογισμὸς τὸ σχῆμα, εἴτ᾽ οὖν ἔμφασις. Συλλογιστέον γὰρ, οἵα κεφαλὴ, καὶ τὸ λοιπὸν ἀναλόγως τοῦ σώματος μέγεθος τῇ Ἀθηνᾷ, εἰ τοιαύτην περικεφαλαίαν περιέκειτο.

ρϟζ΄. Τινὲς δέ φασιν, οὐχ ὅτι ἑκατὸν πόλεων ὁπλίτας ἠδύνατο σκέπειν, ὡς τοσούτοις ἀριστεῦσιν ἁρμόσαι δυναμένη, ἀλλ᾽ ὅτι ἑκατὸν πόλεων ὁπλίτας εἶχεν ἐντετυπωμένους ἑαυτῇ. Τοῦτο δὲ καὶ ἀλληγορίαν ἔχειν ἐθέλει τοῦ προνοητικοῦ τῆς τελείας, καὶ μάλιστα βασιλικῆς, φρονήσεως. ἥτις, ὡς που[3] ὁ παρὰ τῷ Ἰουλιανῷ Τραϊανὸς ἐπὶ τῶν ὤμων φέρει τὰ τρόπαια, οὕτως αὐτὴ ἀναδέδεκται, ὡς οἷον εἰς κεφαλὴν, φροντίδας πολλῶν πόλεων, ἧς δὴ βασιλικῆς προνοίας καὶ τὰ κατωτέρω, καὶ ταπεινὰ, καὶ, ὡς εἰπεῖν, πρὸ ποδῶν φροντίσματα, ὧν οἱ θύσανοι σύμβολον, πολλὰ τυγχάνει, καὶ, ὡς ἄν τις καιρίως εἴποι, πολυσχιδῆ. σχίσματα γάρ τινα καὶ οἱ θύσανοι. ὅθεν ἀρηθύσανοι, κατὰ Παυσανίαν, Ἄρεος θύσανοι, οἱονεὶ ἀποσχίσματα, παρ᾽ Αἰσχύλῳ ἐν Προμηθεῖ Λυομένῳ. Τινὲς δὲ τὸ, ἑκατὸν πόλεων πρυλέεσσιν ἀραρυῖαν, οὕτως ἔφρασαν, ἑκατὸν πόλεων ἀριστεῖς ἔχουσαν, ἢ κεκοσμημένην τοῖς τῆς Κρήτης ὁπλίταις. τετέ-

1. οἱ διὰ τοῦ ω μεγάλου οἱ τὰ ὑδροφόρα δηλοῦντες ἀγγεῖα) Heſychius: κρωσσοί, ὑδρίαι, στάμνοι, λήκυθοι. Lege autem in Euſtathio ἀγγεῖα. Etymologici Magni Auctor: κρωσσὸς, ὑδρία, ἢ τὸ ἄλλο ἄγγος εἰς τὸ ἐπιχεῖν ὕδωρ, παρὰ τὸ κρῶ τὸ ἐπιχέω. Suidas: κρωσσὸς, ἡ ὑδρία, ἀγγεῖον, ὑδροφορικὸν, ἢ κεράμιον, ἢ στάμνος. Politus.

2. πρυλέεσσιν, ὅ ἐστι, πεζοῖς ὁπλίταις, ἀραρυῖαν) Heſychius: Πρυλέεσσ᾽ ἀραρυῖα, πεζοῖς ἡρμοσμένη. Politus.

3. ὁ παρὰ τῷ Ἰουλιανῷ) Julianus in Cæſaribus: Εὐθέως δὲ ὁ Τραϊανὸς εἰσήρχετο, φέρων ἐπὶ τῶν ὤμων τὰ τρόπαια, τό τε Γετικὸν, καὶ Παρθικόν. Polit.

Digitized by Google

Rom. p. 601. ϛι, τὰ τῶν Κορυβάντων ἔργα ἔχουσαν ἐντετυπωμένα. Ὅτι δὲ ἑκατόμπολις ἡ Κρήτη, [1] καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. [2] Ὡς δὲ καὶ Κρῆτες οἱ Κορύβαντες, δῆλον καὶ αὐτό. Εὐθεῖαν δέ φασί τινες τοῦ πρυλέεσσι, [3] πρύλις, γινομένην ἐκ τοῦ περῶ περύω τὸ ὁδεύω, περύσω, πέρυλις, καὶ πρύλις, ὡς δαμάσω δάμαλις. Ἴσως δὲ συντελεῖ τι πρὸς τὴν τοιαύτην κλίσιν, καὶ τόνωσιν καὶ τὸ κύριον [4] ὁ Πρύλις ὁ παρὰ Λυκόφρονι. Καὶ μὴν ἄλλοι, ἐν οἷς καὶ Ἡρωδιανός, πρυλὴς γράφουσιν ὀξυτόνως, καὶ κλίνουσι κανονικῶς πρυλέος, πρυλοῦς, ὡς που καὶ προείρηται. Καὶ ἔστιν ἀσφαλέστερον τοῦτο. Ἀπὸ γὰρ τοῦ πρύλις, πρύλεες ὤφειλεν εἶναι, ὡς ὄφεες. [5] Ἀλλὰ μὴν εὕρηται πρυλέες, ὡς εὐσεβέες.

ρϟη. Τὸ δὲ τετραφάληρον, καὶ ἀμφίφαλον ἐξηγούμενοι οἱ παλαιοί, φασίν, ὅτι φάλοι μὲν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι· φάλαρα δέ, κρίκοι τινὲς τῆς περικεφαλαίας ἐν ταῖς παραγναθίσιν· ὡς εἶναι διαφορὰν ταύτην φάλων, καὶ φαλάρων. [6] Τινὲς μέντοι ταυτὰ ὑπέλαβον ἀμφότερα, ὡς εἶναι τὸ τετραφάληρον ἐξηγητικὸν τοῦ ἀμφιφάλου. Ἡ γὰρ ἐκ δεξιῶν, καὶ ἀριστερῶν ἔχουσα τοιαῦτα, καὶ αὖ πάλιν ἐν τοῖς ἔμπροσθεν, καὶ ὄπισθεν, ἀμφίφαλος μέν, ἤγουν δίφαλός ἐστι τῇ συζυγίᾳ· τετραφάληρος δέ, τοῖς καθ' ἕν. Ὅτι δὲ [7] φάλαρα καὶ ἵππων ἐστὶ κόσμος προμετωπίδιος, ὁμολογεῖται, γινόμενος καὶ αὐτὸς [8] ἀπὸ τοῦ φάω τὸ λάμπω, [9] ὅθεν φάλιον τὸ λευκόν· ἐξ οὗ ἵππος τε φάλιος ὁ τὰ μέτωπόν, φασιν, ἔχων λευκόν· [10] καὶ ἄνθρωπος φάλιος, οὗ αἱ περὶ

turæ militibus Cretæ, hoc eſt, Corybantum facta, inſculpta habentem. Namque ab urbibus quidem centum percelebratam Cretam fuiſſe, manifeſtum fit in Odyſſeâ. Corybantes autem, Cretenſes eſſe, id quoque manifeſtum. Porro autem Rectum τοῦ πρυλέεσσι, militibus armatis, quidam eſſe ajunt πρύλις, miles armatus, eumque derivatum ex περῶ, περύω, quod ſignificat *iter facio, ambulo, eo*. Unde περύσω, *iter faciam*, πέρυλις, & πρύλις, *pedes*, ſive *is, qui iter facit pedibus, is, qui pedibus militat*, ut ex δαμάσω, *domabo*, dicitur δάμαλις, *juvenca*. Atque ad hanc iſtam declinationem, rationemque accentus fortaſſe etiam quodammodo confert nomen proprium ὁ Πρύλις, *Prylis*, apud Lycophronem. Verumtamen alii, in quibus etiam Herodianus, ſcribunt πρυλὴς, *pedes*, accentu acuto, & ſecundùm regulam declinant πρυλέος, πρυλοῦς, *pedites*, ut & ſupra alicubi dictum eſt, idque certius eſt, atque firmius. Namque ex πρύλις, *pedes*, dicendum quidem erat πρύλεες, *pedites*, ut ὄφεες, *ſerpentes*. Atqui compertum eſt, dictum eſſe πρυλέες, *pedites armati*, ut εὐσεβέες, *pii*.

CXCVIII. Τὸ τετραφάληρον, *quaternas phaleras habentem*, & ἀμφίφαλον, *clavis undique munitam, atque ornatam*, veteres ſic explicant, ut, ex eorum ſententiâ, φάλοι, *clavi*, ſint ſcutula, aut ſcutulata ornamenta in fronte galeæ; φάλαρα verò, *i. e. phaleræ*, ſint annuli quidem ipſius galeæ, ubi muniuntur maxillæ: adeò ut differentia hæc ſit φάλων, *clavorum, ſeu ſcutulorum*, & φαλάρων, *phalerarum*. Quidam tamen idem inter ſeſe utraque eſſe ſunt ſuſpicati: adeò ut τὸ τετραφάληρον, *ſcutula quatuor habentem*, valeat ad explicandum τὸ ἀμφίφαλον, *ſcutulis undique ornatam, atque munitam*. Quæ enim a dextrâ, atque a ſiniſtrâ, & rurſus a fronte, atque a tergo, ſcutula habet hujuſcemodi, eſt illa quidem ἀμφίφαλος, *utrimque ſcutulis inſtructa*, videlicet δίφαλος, *ſcutula habens bina*, ſi id ad ſcutulorum paria, ſive ad bina, & bina ſcutula, referatur; at verò τετραφάληρος, *ſcutulis quatuor inſtructa*, ſi ad ſingula per ſe ſcutula. Ceterùm in confeſſo eſt, φάλαρα, *phaleras*, ornamentum etiam eſſe equorum ad eorum frontem: quum & id ornamenti ita appelletur a φάω, quod ſignificat luceo, atque ſplendeo. Unde φάλιον, ideſt, album: ex quo tum equus dictus φάλιος, *albus*, is, qui frontem, ut ajunt, habet albam, tum homo φάλιος, al-

1. καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται) ubi tamen urbes tantùm nonaginta Cretæ attribuuntur. Nam in Iliade quidem Cretam Poeta vocat ἑκατόμπολιν. Euſtathius in Odyſſeam ad Homericum illud de Cretâ: καὶ ἐννήκοντα πόληες. Ἐνενηκοντάπολις δὲ νῦν Κρήτη ἡ ἐν Ἰλιάδι ἑκατόμπολις, κατὰ περίφρασιν. ἀναστατωθῆναι γάρ φασι δέκα πόλεις ὑπὸ Ἰδομενέως ἐπανελθόντος ἐξ Ἰλίου, ὅτι Λεῦκος αὐτὸν ἀπήλασεν, ὃς θετὸς παῖς ὤν, φύλαξ τῆς βασιλείας καταλειφθείς, δράσας τι δρᾶμα, ὡς ὁ Λυκόφρων φησί. Τὰς δὲ τοιαύτας δέκα πόλεις, προστεθῆναι φασὶν ὕστερον μετὰ τὰ Τρωϊκά. Καὶ οὕτω μοί τινες συνεβίβασαν τὴν ἐν Ἰλιάδι μὲν ἑκατόμπολιν, ἐνταῦθα δὲ ἐνενηκοντάπολιν. Politus.

Creta hecatompolis. Ovid. 3. de Arte: *centum Cretaas forſitan urbes impleſſes*. Salvinus.

2. Ὡς δὲ καὶ Κρῆτες οἱ Κορύβαντες) Diomedes Grammaticus lib. 3. *Quos* (Idæos Dactylos) *Curetas, ſive Corybantas Poetæ appellabant. Hi namque in inſulâ Cretâ Jovem cuſtodiendo, ne vagitu ſe parvulus proderet, ſonis excogitato genere, clypeolis æneis inter ſe concurrentes, tinnitu æris illiſi, rhythmicâ etiam pedes dactyli compoſitione, celavere vocem infantis. Sed nativitatis eorum cauſam vetuſta fabuloſitas docet hanc fuiſſe. Ajunt, Opem in Idam montem inſulæ Cretæ fugiendo delatam, manus ſuas impreſſiſſe memorato monti, & ſic infantem ipſum edidiſſe, & ex manuum impreſſione emerſiſſe Curetas, ſive Corybantas, quos a montis nomine, & a qualitate facti, Idæos Dactylos appellant*. Varia Græci de Corybantibus. Vide mihi Strabonem l. 10. *Politus*.

3. πρύλις, γινομένην ἐκ τοῦ περῶ περύω τὸ ὁδεύω) Etymologici Magni Auctor: ὡς δαμῶ δαμάζω δάμαλις, οὕτω περῶ, περύω, περύσω, πέρυλις· καὶ συγκοπῇ, πρύλις. Suidas: Πρύλις, ὁ πεζὸς ὁπλίτης, ὡς δαμῶ, δαμάσω, δάμαλις· οὕτω περῶ, περύω, πέρυλις· κατὰ συγκοπήν, πρύλις. Politus.

4. ὁ Πρύλις ὁ παρὰ Λυκόφρονι) Prylis, Mercurii filius, & Iſſæ nymphæ, de cujus nomine Lesbus inſula vocata eſt Iſſa. Prylin hunc Lycophron vocat τῶν αὐθομαίμων συγκατασκαφέα, quòd ejus potiſſimùm conſilio Græci uſi fuerint in evertendis Trojanis, qui ejus erant conſanguinei. *Politus*.

5. Ἀλλὰ μὴν εὕρηται πρυλέες) Heſychius: πρυλέες, πεζοὶ ὁπλῖται, ἀπὸ τῆς πορείας. πρύλις, πυρρίχη κρητική. Polit.

6. Τινὲς μέντοι ταυτὰ ὑπέλαβον ἀμφότερα, ὡς εἶναι τὸ τετραφάληρον ἐξηγητικὸν τοῦ ἀμφιφάλου) Eſt enim his Grammaticis τετραφάληρος ἡ τέσσαρας φάλους ἔχουσα. Scholiaſtes Homericus: τετραφάληρον, τέσσαρας φάλους ἔχουσαν. Heſychius: τετραφάληρος, τέσσαρας φάλους ἔχουσα, καὶ λόφους. Ubi minimè opus erat Sopingio pro τετραφάληρον legere τετράφαλον. Etymologici Magni Auctor: τετραφάληρον, τέσσαρας φάλους ἔχουσαν. Suidas: τετραφάληρον, τέσσαρας φάλους ἔχον. Ubi pro ἔχον corrigendum ἔχουσαν. Sic igitur iiſdem Grammaticis τὸ τετραφάληρον idem fuerit, atque τὸ ἀμφίφαλον, eo videlicet modo, quo explicat Euſtathius. Scholiaſtes Homericus: ἀμφίφαλον, φάλους περὶ αὐτὴν ἔχουσαν. Heſychius: ἀμφίφαλος, κύκλῳ φάλους ἔχουσα. Etymologici Magni Auctor: ἀμφίφαλον, ἀμφοτέρωθεν φάλους ἔχουσαν περὶ αὐτήν. Politus.

7. φάλαρα καὶ ἵππων ἐστὶ κόσμος προμετωπίδιος) Etymologici Magni Auctor: φάλαρα, τὰς προμετωπιδίους ἀσπιδίσκας, τὸν κόσμον τὸν κατὰ τὸ μέτωπον τῶν ἵππων· ἢ τὰ τῶν γνάθων σκεπάσματα. Suidas: φάλαρα, τὰς προμετωπίδας, τὰς ἀσπιδίσκας, ἢ κόσμον τὸν κατὰ τὸ μέτωπον τῶν ἵππων. παρὰ δὲ Ἡροδότῳ, τὰ περὶ τὰς γνάθους σκεπάσματα. Politus.

8. ἀπὸ τοῦ φάω τὸ λάμπω) ἀπὸ τοῦ φάος Etymologo φαλός, καὶ φάλαρος. Eidem rurſus φαλός, παρὰ τὸ φάος, ἢ παρὰ τὸ φῶ ῥῆμα. καὶ φάλαρα, inquit, τὰ κοσμήματα, διὰ τὴν λαμπρότητα. Polit.

9. ὅθεν φάλιον τὸ λευκόν) unde etiam φαλακρός, ὁ ἔχων φαλὸν τὸ κάρα. Φαλακρὸς Etymologo, ὁ τὸ ἄκρον ἔχων φαλόν, ὅ ἐστι λευκόν· παρὰ τὸ φάος. φάλιον γὰρ τὸ λευκόν. Politus.

10. καὶ ἄνθρωπος φάλιος) λευκομέτωπος. Polit.

albus, cujus crines in fronte albi. Verùm alii aliter exponunt τὸν φάλον, quum eum eſſe dicant, partem eminentem galeæ ante frontem, ſcutulumque parvum, ac lucidum, ſeu clavum lucidum. Jam verò hoc loci vide, quàm conſtanter per epimonen permaneat in præpoſitione ἐν, *in*; itemque vide epimones illius celeritatem, atque acrimoniam. Dicit enim: Ἐν δ' ἔρις, ἐν δ' ἀλκή, &c. *In eâ contentio, in eâ fortitudo, &c.* ut & alibi in illis verbis: Ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς. *Ibi inerat quidem amor, inerat deſiderium, inerat colloquium.* Schema autem hoc eſt perpulchrum, & perelegans, vocaturque Repetitio, eo quia membra orationis repetit, & ab eadem voce inchoat. Sunt autem & apud alios ſimilia iterandarum per epimonen præpoſitionum exempla, ut & apud Herodotum illud: κατὰ μὲν ἔλευσαν αὐτοῦ τὴν γυναῖκα, κατὰ δὲ τὰ τέκνα. *In ejus uxorem lapides jecerunt, in liberos.* Quin & hæc iſta elocutio aliter quoque exculta eſt, atque exornata eſt Comparibus, ſimiliter videlicet deſinentibus, ideſt, ἀλκή, *fortitudo*, ἰωκή, *inſectatio*, κεφαλή, *caput*, δεινή, *dirum*, σμερδνή, *horrendum*.

CXCIX. Ad hæc, ornetæ ſchema orationis eſt illud: αἰγίδα δεινήν, ἣν περὶ φόβος. *ægidem terribilem, quam circum fuga*: quum id ſimiliter dictum ſit, atque illud: αὐτίκα βοὴ ἦν. *ſtatim fit clamor*: aliaque id genus. Ubi & obſerva, Poëtam explicare, qua ratione dicatur ægis δεινή, *terribilis*, per id, quod ſubjungit: ἣν περὶ μὲν φόβος ἐστεφάνωται, &c. *cui fuga, coronæ inſtar, erat circumdata*: & tamen ſine comprobatione, atque expoſitione, veluti quid notius, reliquiſſe illud: Γοργείη κεφαλὴ δεινή. *Gorgonium caput terribile*. Et vide, ut hujuſce narrationis monſtroſam, atque tetricam faciem figuris exhilarat plenis ornatûs, & elegantiæ. Ceterùm Gorgonio de capite quærendum etiam in Commentariis in Odyſſeam. Porro autem totum hoc, Γοργείη κεφαλὴ δεινοῖο πελώρου, *Gorgonium caput diri monſtri*, ſimile eſt, atque illud: Νεστορέῃ παρὰ νηὶ Πυλοιγενέος βασιλῆος. *Neſtoream apud navem nati in Pylo regis*. Sicuti enim illud, quod ad orationis quidem ſtructuram attinet, bene procedit, reſoluto nomine poſſeſſivo; ſic etiam & hoc alterum. Namque τὸ Νεστορέῃ, *Neſtoreæ*, ſiquidem reſolvitur in τό, τῷ τοῦ Νέστορος, *ei, quæ eſt Neſtoris*, idoneum commodumque facit hunc ſenſum: παρὰ τῷ Νέστορος βασιλῆος νηί. *apud navem regis Neſtoris*. Sic & his verbis: Γοργείη κεφαλὴ δεινοῦ πελώρου, reſoluto per analyſin nomine poſſeſſivo, intelligitur ἡ κεφαλὴ τῆς Γοργοῦς τοῦ δεινοῦ πελώρου, *caput Gorgonis, diri illius monſtri*. Similiter etiam illud: Θηβαίας ἐπισκοποῦντ' ἀγυιάς, τὰν ἐκ πασᾶν τιμᾷς. *Thebanas inviſurum vias, quam præ omnibus honoras*, variatâ per analyſin locutione, bellè ſic procedit, ut dicat τὰς τῆς Θήβης ἀγυιάς, ἣν ἐπέκεινα πασῶν πόλεων τιμᾷς. *vias Thebæ, quam ſupra univerſas urbes honoras*. Illud tamen aliter etiam redditur. Poteſt enim eſſe τὸ Θηβαίας, *Thebææ*, pro Θήβης,

περὶ τὸ μέτωπον τρίχες λευκαί. [1] Τινὲς δὲ καὶ ἄλλως περὶ τοῦ φάλου φράζοντες, [2] ἀνάστημά φασιν αὐτὸν περικεφαλαίας προμετωπίδιον, [3] καὶ ἀσπιδίσκιόν τι μικρὸν, καὶ λαμπρὸν, [4] ἢ ἧλον λαμπρόν. Ἐν δὲ τῷ χωρίῳ τούτῳ, ὅρα καὶ τὴν ἐπιμονὴν τῆς ἐν προθέσεως, καὶ τὸ ἐν τῇ ἐπιμονῇ γοργόν. Φησὶ γάρ· Ἐν δ' ἔρις, ἐν δ' ἀλκή, καὶ τὰ ἑξῆς. ὡς καὶ ἀλλαχοῦ ἐν τῷ, Ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς. Τὸ δὲ σχῆμά ἐστι περικαλλές· καὶ καλεῖται [5] ἐπαναφορά, διὰ τὸ τὰ κῶλα ἐπαναφέρειν, καὶ ἀπὸ τῆς αὐτῆς λέξεως ἄρχεσθαι. Εἰσὶ δὲ καὶ παρ' ἑτέροις ὅμοιαι ἐν προθέσεσιν ἐπιμοναί, ὡς καὶ [6] παρ' Ἡροδότῳ τὸ, κατὰ μὲν ἔλευσαν αὐτοῦ τὴν γυναῖκα, κατὰ δὲ τὰ τέκνα. Ἡ δὲ ῥηθεῖσα ἔκφρασις κεκαλλώπισται καὶ ἄλλως παρίσοις, ἤγουν ὁμοιοτελεύτοις, τῷ ἀλκή, ἰωκή, κεφαλή, δεινή, σμερδνή.

ρϟθʹ. Κάλλους δὲ σχῆμα, καὶ τὸ, αἰγίδα δεινήν, ἣν περὶ φόβος, ὅμοιον τῷ, αὐτίκα βοὴ ἦν, καὶ τοῖς ὁμοίοις. Ἔνθα καὶ σημείωσαι, ὅτι ἑρμηνεύων, πῶς δεινὴ ἡ αἰγίς, ἐπήγαγε τὸ, ἣν περὶ μὲν φόβος ἐστεφάνωται, καὶ τὰ ἑξῆς. τὸ μέντοι, [7] Γοργείη κεφαλὴ δεινή, ἀνεπεξέργαστον εἴασεν, ὡς γνωριμώτερον. Καὶ ὅρα, ὅτι τὴν τερατώδη σκυθρωπότητα τῆς ἐκφράσεως, κάλλους ἐφαίδρυνε σχήμασι. Περὶ δὲ τῆς Γοργείας κεφαλῆς ζητητέον καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Ὅλον δὲ τὸ, Γοργείη κεφαλὴ δεινοῖο πελώρου, ὅμοιόν ἐστι τῷ, Νεστορέῃ παρὰ νηὶ [8] Πυλοιγενέος βασιλῆος. *Baſ. p. 458.* Ὡς γὰρ ἐκεῖνο τῇ τοῦ κτητικοῦ ἀναλύσει εὐοδοῦται εἰς σύνταξιν, οὕτω καὶ τοῦτο. Τὸ γὰρ Νεστορέῃ, ἀναλυθὲν εἰς τὸ, τῇ τοῦ Νέστορος, εὖ ἔχει πρὸς τὸ εἰπεῖν, παρὰ τῇ Νέστορος βασιλῆος νηί. Οὕτω δὲ καὶ τὸ, Γοργείη κεφαλὴ δεινοῦ πελώρου, λέγει κατ' ἀνάλυσιν, ὅτι ἡ κεφαλὴ τῆς Γοργοῦς τοῦ δεινοῦ πελώρου. Ὁμοίως καὶ τὰ, [9] Θηβαίας ἐπισκοποῦντ' ἀγυιάς, τὰν ἐκ πασᾶν τιμᾷς, μεταποιηθὲν ἀναλυτικῶς, εὐοδοῦται εἰς τὸ, τὰς τῆς Θήβης ἀγυιάς, ἣν ἐπέκεινα πασῶν πόλεων τιμᾷς. Ἐκεῖνο μέντοι καὶ ἄλλως καθίσταται. Δύναται γὰρ

1. Τινὲς δὲ καὶ ἄλλως παρὰ τοῦ φάλου φράζοντες) L. περὶ τοῦ φάλου, ut in Editione Frobenianâ. *Polit.*

2. ἀνάστημά φασιν αὐτὸν περικεφαλαίας προμετωπίδιον) Etymologici Magni Auctor: καὶ κόρυθος φάλος (Sic enim & φάλος ſcribitur ὀξυτόνως) τὸ προμετωπίδιον ἀνάστημα τῆς περικεφαλαίας. εἰσὶ γὰρ τινες ἧλοι λαμπροί, ἕνεκα κόσμου τῆς περικεφαλαίας. φάλον γὰρ τὸ λαμπρόν. Politus.

3. καὶ ἀσπιδίσκιόν τι μικρόν, καὶ λαμπρόν) Etymologici Magni Auctor: φάλος, ἀσπιδίσκιόν τι μικρόν, καὶ λαμπρόν. Scholiaſta Homericus: φάλοι δέ εἰσιν, οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι. Etymologus etiam alibi: φάλοι δέ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι, χάριν κόσμου τιθέμενοι. Politus.

4. ἢ ἧλον λαμπρόν) Etymologici Magni Auctor v. φάλος. εἰσὶ γὰρ τινες ἧλοι λαμπροί. Heſychius: φάλοι δὲ οἱ ἧλοι. & ruſus: οἳ (φάλοι) εἰσιν ἧλοι λαμπροὶ περὶ τὸ μέτωπον τῆς περικεφαλαίας καταπεπηγμένοι. Politus.

5. ἐπαναφορά) Mihi *Repetitio*, Aquilæ Romano *Relatum*, Julio Rufiniano *Regreſſio*. Polit.

6. παρ' Ἡροδότῳ) apud Herodotum in Calliope, *Polit.*

7. Γοργείη κεφαλὴ δεινή) Anacreon: Μέλαν ὄμμα γοργὸν ἔσω. *oculus terribilis*. Salvinus.

8. Πυλοιγενέος) Alii Πυληγενέος. nempe τοῦ ἐν τῇ Πύλῳ γεγεννημένου. Polit.

9. Θηβαίας ἐπισκοποῦντ' ἀγυιάς) Chori Sophoclei verba ad Bacchum in Antigone:

Χλωρά τ' ἀκτά,
πολυστάφυλον πέμπει,
ὑψηλὰν ἐσσόμενον
αὐξόντων Θηβαίας
ἐπισκοποῦντ' ἀγυιάς·
ταν ἐκ πασᾶν τιμᾷς.

Θηβαίας ἐπισκοποῦντ' ἀγυιάς, eſt εἰς Θηβῶν χωρίον ἐπιτρέποντα. Politus.

Digitized by Google

γὰρ εἶναι τὸ Θηβαίας, ἀντὶ τοῦ Θήβης· ἵνα ᾖ, ὥσπερ σελήνη σεληναία, οὕτω καὶ Θήβη Θηβαία, αὐτὴ ἡ Θήβη. Ὅμοιον δὲ πρὸς τὸ, Γοργείη κεφαλὴ δεινοῖο πελώρου, καὶ ἐκ τῶν Σοφοκλέους τὸ, [1] Λαβδακείῳ παιδὶ, Πολυδώρου τε, καὶ Κάδμου, καὶ Ἀγήνορος. Καὶ ἐκεῖ γὰρ εὔοδος ἡ σύνταξις δι' ἀναλύσεως τοῦ Λαβδακείῳ παιδί· [2] ἵνα ᾖ τῷ παιδὶ τοῦ Λαβδάκου, καὶ τῶν ἑξῆς. [3] Χρῆσις δὲ τῆς Γοργοῦς πολλαχοῦ· [4] εἰ καὶ κοινῶς εὐθεῖα ταύτης ἡ Γοργὼν, ὡς τρυγών. Οὕτω δὲ καὶ ἀηδὼν μὲν τὸ κοινόν· εὕρηται δὲ καὶ ἀηδοῦς γενικὴ, ὡς Λητοῦς, καὶ κλητικὴ ἀηδοῖ, [5] ὡς χελιδοῖ παρὰ τῷ Κωμικῷ. Τὸ δὲ πέλωρον τρεῖς πολλαχοῦ ἔχει κινήσεις. [6] Λέγεται γὰρ πελώριον, καὶ πέλωρ, καὶ πέλωρον.

Ἄπ. Ἑγρ. 602.

σ'. Ἰστέον δὲ, ὅτι ἀμφιβάλλεται, εἴτε ἴδιον φόρημα τῆς Ἀθηνᾶς ἡ αἰγὶς, εἴτε καὶ, ὥσπερ τὸν χιτῶνα τοῦ πατρὸς Διὸς, οὕτω καὶ τὴν ἐκείνου αἰγίδα φορεῖ, πρὸς ὃ δοκεῖ συντελεῖν ἐνταῦθα τὸ, Διὸς τέρας Αἰγιόχοιο· ὡς αὐτοῦ μάλιστα ταύτην ὅπλον αὐχοῦντος, ὃς καὶ παρωνυμεῖται αὐτῇ. Καὶ δοκεῖ καθ' ὑπερβατὸν λέγειν, ὅτι ἀμφὶ ὤμοισι βάλετο αἰγίδα, Διὸς τέρας Αἰγιόχου. Ὁ δὲ περὶ τῆς αἰγίδος λόγος, ἵνα τις ἐπιτεμὼν καὶ νῦν εἴπῃ τὰ καίρια, τοιοῦτός ἐστιν. Ἡ τοῦ Διὸς αἰγὶς, μυθικῶς μὲν, κατὰ τὰς λεγομένας τραγέας, καὶ κατὰ κρᾶσιν τραγᾶς, οὕτω καὶ αὐτὴ εἴη ἂν αἰγέη, τουτέστιν, αἰγὸς δέρμα, ὅπερ ὁ Ζεὺς ἐνῆπτο εἰς ἀνάμνησιν αἰγὸς, ἧς αὐτὸς ἔσπασέ ποτε τὴν θηλήν· ἀφ' ἧς καὶ ἐπεκλήθη Αἰγίοχος, [7] ὡς εἰς ὀχὴν, ἤγουν τροφὴν, αἰγὶ χρησάμενος. Οὕτω δέ τις καὶ λεοντῆν, ἢ λυκέην, ἢ παρδαλέην ἐνάψεται, εἰς μνήμην τινὸς πράξεως. Καὶ ἄλλως δὲ ἡ τοῦ Διὸς αἰγὶς σκεύασμά τι κατὰ τὸν μῦθον πλάττεται ἀπὸ ὕλης τιμίας, αἰγιδοειδὲς, ἤτοι μηλωτῇ ἐοικὸς, καὶ, ὡς ἂν ἀμαθέστερόν πως, κατὰ τὴν Κωμῳδίαν, ῥηθῇ, καὶ σαφέστερον, φόρημά τι δοκεῖ σαγοειδὲς, θυσάνους τε ἔχον χρυσέους ἀπῃωρημένους, κατὰ τὰ κροσσωτὰ, καὶ δι' ὅλου τοῦ κύτους λεπτά τινα, καὶ ἰσχνὰ τριχώδη, ἐξ ὕλης καὶ αὐτὰ ὁμοίας, πρὸς ἀμφέ-

Bæs, Thebes· adeo ut, quemadmodum σελήνη, *luna*, dicitur σεληναία· ſic etiam ſit Θήβη, *Thebe*, Θηβαία, *Thebæa*, ipſa Thebe. Facit quoque, propter ſimilitudinem, cum hoc Homerico, Γοργείη κεφαλὴ δεινοῖο πελώρου, *Gorgonium caput diri monſtri*, Sophocleum illud: Λαβδακείῳ παιδὶ, Πολυδώρου τε, καὶ Κάδμου, καὶ Ἀγήνορος, *Labdaceo filio, Polydorique, atque Cadmi, & Agenoris*. Nam & pervia illic eſt, atque expedita ſtructura, reſoluto per analyſin τῷ Λαβδακείῳ παιδί. *Labdaceo filio*. ita ut ſit, τῷ παιδὶ τοῦ Λαβδάκου, καὶ τῶν ἑξῆς. *Filio Labdaci, ac deinceps aliorum*. Exemplum τῆς Γοργοῦς, *Gorgonis*, ſatis frequens: tametſi hujus Nominativus communiter ſit ἡ Γοργὼν, *Gorgon*, ut τρυγὼν, *turtur*. Sic etiam, tametſi nomen commune eſt ἀηδὼν, *luſcinia*; tamen inventus eſt genitivus ἀηδοῦς, *luſciniæ*, ut Λητοῦς, *Latonæ*, & vocandi caſus ἀηδοῖ, *o luſcinia*, ut χελιδοῖ, *o hirundo*, apud Comicum. At verò τὸ πέλωρον, *monſtrum*, trifariam ſæpe variat terminatione. Dicitur enim πελώριον, & πέλωρ, & πέλωρον.

CC. Sciendum autem eſt, illud ambigi, an ægis proprium ſit geſtamen Minervæ; an verò, ſicuti loricam patris Jovis, ſic etiam illius ægidem geſtet. Quò quidem ſpectare hoc loci videtur illud: Διὸς τέρας Αἰγιόχοιο. *Jovis portentum Ægiochi*: quaſi ſcilicet hac ipſe armaturâ maximè glorietur, qui ab eâ denominatur. Ac videtur, trajecto verborum ordine, per hyperbaton dicere: Ἀμφὶ ὤμοισι βάλετο αἰγίδα, Διὸς τέρας Αἰγιόχου. *Humeris ægidem circumpoſuit, Jovis portentum Ægiochi*. Quæ autem de ægide commemorantur, ut quis etiam nunc ea paucis complectatur, quæ maximè e re videntur eſſe, ea quidem certè ſunt hujuſcemodi. Ægis Jovis, fabuloſè, ſicuti τραγέαι quæ vocantur, & per craſin τραγαῖ, *hircinæ pelles*; ſic & ipſa fuerit αἰγέη, *caprina*, hoc eſt, pellis αἰγὸς, *capræ*, qua amictus fuerat Juppiter in memoriam ejus capræ, e cujus ipſe papillâ lac quondam ſuxerat. Unde etiam cognomen ipſi factum eſt Ægiocho, quippe qui αἰγὶ, *caprâ*, uſus fuerit εἰς ὀχὴν, videlicet τροφὴν, *ad alimentum, & cibum*. Sic & unus quiſpiam leoninam, aut lupinam, aut phanterinam pellem induet, in rei alicujus geſtæ memoriam. Præterea verò, ſecundùm fabulam, ægis hæc Jovis, armatura quædam, aut ornamentum fingitur ex materiâ pretioſâ, pellis caprinæ inſtar, aut ad ovinæ pellis exemplum; &, ut rudiùs quodammodo, ſecundùm Comicum, dicatur, atque apertiùs, geſtamen quoddam videtur, ſagi ſimile, quod & fimbrias habeat aureas pendentes, ut ſunt tunicæ villis prætextæ, & per totam ſinus ſui latitudinem tenues quosdam, & graciles veluti pilos, ex ſimili & ipſos materiâ, veræ pellis caprinæ inſtar.

1. Λαβδακείῳ παιδὶ) Oedipus ille Tyrannus apud Sophoclem:

ζητῶν τὸν αὐτόχειρα τοῦ φόνου λαβεῖν
τῷ Λαβδακείῳ παιδὶ, Πολυδώρου τε, καὶ
τοῦ πρόσθε Κάδμου, τοῦ πάλαι τ' Ἀγήνορος.

Lajus filius Labdaci, Labdacus Polydori, Polydorus Cadmi, Cadmus Agenoris. Laii autem filius Oedipus, ex quo orti, Polynices, & Eteocles. *Politus*.

2. ἵνα τῷ παιδὶ) Supple cum Frobenio, ἵνα ᾖ τῷ παιδί. Polit.

3. Χρῆσις δὲ τῆς Γοργοῦς πολλαχοῦ) Etymologici Magni Auctor ad illud Homericum: Γοργοῦς ὄμματ' ἔχων· ἀπὸ δὲ εὐθείας ἡ Γοργὼ, Γοργοῦς ἀπὸ τῆς γενικῆς, ὡς Σαπφὼ, Σαπφοῦς. Polit.

4. εἰ καὶ κοινῶς εὐθεῖα ταύτης ἡ Γοργὼν) Etymologici Magni Auctor: Γοργὼν, τὸ ζῶον τὸ τερατῶδες· καὶ πληθυντικῶς, Γοργόνες. Polit.

5. ὡς χελιδοῖ παρὰ τῷ Κωμικῷ) Comicus Avibus: Τανυσίπτερε ποικίλη χελιδοῖ. Polit.

6. Λέγεται γὰρ πελώριον, καὶ πέλωρ, καὶ πέλωρον) Dicitur etiam ἀρσενικῶς, Etymologo auctore, ὁ πέλωρ, καὶ τὸ οὐδέτερον, πέλωρον. Inde ἀπὸ τοῦ πέλωρ, πέλωρος, πελώριος, ut ab ἕλωρ, ἕλωρος, ἑλώριος. Τὰ γὰρ ἀπὸ τῶν εἰς ωρ (regula eſt Etymologi) οἱ μὲν ξένα τὸ ω, διὰ τῆς ει διφθόγγου γίνεται τὰ κτητικά· Νεστόρειος· οἱ δὲ φυλάττει, διὰ τοῦ ι. Eſt autem πελώριος Etymologo, Heſychio, Suidæ, μέγας. Et πελώρια Heſychio, μεγάλα τέρατα. Politus.

7. ὡς εἰς ὀχὴν, ἤγουν τροφὴν, αἰγὶ χρησάμενος) Etymologici Magni Auctor: Αἰγίοχος, παρὰ τὸ ὀχὴ, ὃ σημαίνει τὴν τροφὴν, καὶ τὸ αἲξ αἰγός. Αἶγα γὰρ αὐτὸν ἐθήλασεν Ἀμάλθειαν τὴν αἶγα. Politus.

ſtar. Porro autem Jovis armis fabuloſa iſta ægis adnumerata, non ut aut feriat, aut vulnus cuipiam infligat; ſed tantummodo ut perterrefaciat, dum vibratur, atque concutitur. Atque hæc quidem ægis Jovis illius fabuloſi. Quæ autem ſub allegoriam venit, prout variè Juppiter accipitur, ipſa quoque ab uno in alium ſenſum commutatur; &, ſiquidem Juppiter ſumitur pro aëre, hoc modo ægis intelliguntur ea, quæ accidunt aëri, aërique ipſius terricula: quorum aliqua non καταιγίδες modò, *catægides, ſeu procellæ*, vocantur; verùm etiam, extra vocis compoſitionem, αἰγίδες, *ægides*; aliqua verò, ipſæ quoque hæ αἶγες, *capræ*, non certè quidem animantia; ſed ex denſitate aëris certi quidam motus, & effectus cœleſtes, ex quibus conflatur ea ægis, quæ dicitur allegoricè. Ubi prorſus in modum coronæ circumdatus eſt timor, circumfuſoque undique aëri conglobatus, ipſeque ad terras impetu decidit minimè omnium tolerabili, propter eorum ipſorum motuum vim, atque vehementiam, & celeritatem. Atque hæc quidem una eſt ratio allegoriæ de ægide, phyſico illa quidem ſenſu explicata. Ubi & animadvertendum id, quod paullò ante dictum eſt, illud ſcilicet, ἐρεμνὴν ἐπισείει αἰγίδα. *tenebricoſam incutit ægidem*. Juppiter nimirum: quippe quum aëreæ illæ catægides, ſive procellæ, non quomodocumque ſemper nigricent; ſed aliquando etiam in modum picis, ut ait Poëta.

CCI. Sin autem ipſe Juppiter ſumitur intelligentia, pro ejuſce ipſius ratione, ſimiliter quoque accipietur ægis, vis nimirum, & facultas intelligendi, non alta modò, & ſublimis, quæque ſurſum verſus feratur, ſed etiam quæ multum habeat denſitatis, atque, ut unus aliquis dixerit, ſit perquam hiſpida, & hirſuta. qualia etiam λάσια, *hirſuta*, pectora Achillis, quippe qui pectus denſum pilis haberet, nonnulli intelligunt in libro α'. Iſta porro hæc ægis, ſecundum Poëtam, tum redimita fuerit timore, cum nimirum formidabilis ἐπαιγίζει, *irruit*, in adverſarios ſuos; tum eam ipſam redimiverit diſcordia, atque contentio, quæ boni prorſus cauſsâ ſuſcipitur; tum ipſa etiam fortitudinem habuerit, immo & celeritatem, atque acritudinem in agendo. Quum igitur ſeſe ita habeat ægis, illa quidem ſpectata, quatenus eſt intelligentia; ægis etiam Minervæ ſimilis fuerit ægidi huic Jovis, quæ ad moralem ſenſum traducitur. Quum enim ille ſub hac inſpectione idem ſit, atque intelligentia, tum ipſa quoque eſt illius filia, eo quia prudentia munimentum, ac propugnaculum eſt intelligentiæ. Unde & unius ejuſdemque generis eſt ægis, quæ hiſce ambobus eſt attributa; & quæcumque ægidi uni aſſignantur, quæ quidem ægis eſt intelligentiæ, hæc

φέρμαν αἰγίδος τῆς ἀληθοῦς. [1] Ὅπλον δὲ Διὸς ἡ τοιαύτη μυθικὴ αἰγίς, οὐχ οἷον ἢ βαλεῖν, ἢ τραῦμα ἐντρίψαι τινί, ἀλλὰ μόνον φοβῆσαι ἐν τῷ διατινάσσεσθαι, καὶ ἐπισείεσθαι. Καὶ αὕτη μὲν ἡ τοῦ μυθικοῦ Διὸς αἰγίς· ἡ δὲ ἀλληγορουμένη, συμμεταλλάττεται ταῖς τοῦ Διὸς μεταλήψεσι· καὶ, εἰ μὲν εἰς ἀέρα ὁ Ζεὺς ἐκλαμβάνεται, αἰγὶς νοεῖται τὰ κατὰ τὸν ἀέρα πάθη, καὶ φόβητρα, ὧν ἔνια [2] οὐ μόνον καταιγίδες λέγονται, ἀλλὰ καὶ αἰγίδες ἀσυνθέτως· [3] τινὰ δὲ καὶ αὐτὸ τοῦτο αἶγες, οὐ ζῶα πάντως, ἀλλὰ ἐκ πυκνότητος ἀέρος [4] ποιὰ πάθη οὐράνια, τὴν ἀλληγορουμένην συγκροτοῦντα αἰγίδα, ἐν οἷς πάντη φόβος ἐστεφάνωται, καὶ τῷ περιέχοντι συνεσφαίρωται, καὶ τοῖς περὶ γῆν οὐ φορητὸς καταράγνυται, διὰ τὴν ἐν αὐτοῖς ἀλκὴν, καὶ δεινότατα, καὶ γοργότητα. Καὶ οὗτος μὲν, ὡς τρόπος ἀλληγορίας ἐπὶ τῇ αἰγίδι ὁ φυσικώτερος, ἔνθα καὶ τὸ πρὸ ὀλίγου ῥηθὲν ἐνθυμητέον τὸ, ἐρεμνὴν ἐπισείει αἰγίδα ὁ Ζεὺς, ὡς τῶν ἐν ἀέρι καταιγίδων οὐχ ἁπλῶς ἀεὶ μελαινομένων, [5] ἀλλά ποτε καὶ ἠΰτε πίσσα, κατὰ τὸν Ποιητήν.

σα'. Εἰ μέντοι νοῦς ὁ Ζεὺς νοοῖτο, ἀνάλογος ἂν αὐτῷ καὶ ἡ αἰγὶς ἐκλαμβάνοιτο, δύναμις δηλαδή τις νοερὰ, οὐ μόνον ὑψηλὴ, καὶ ἀναφορουμένη, ἀλλὰ καὶ πολὺ τὸ πυκνὸν ἔχουσα, καὶ, ὡς ἂν εἴποι τις, λάσιον. ὁποῖα λάσια καὶ τὰ τοῦ Ἀχιλλέως στήθη, ὡς δασυστέρνου, ἐν τῇ α' ῥαψῳδίᾳ νοοῦσί τινες. Ἡ δὲ τοιαύτη αἰγὶς, κατὰ τὸν Ποιητὴν, φόβῳ τε ἂν στεφανοῖτο, φοβερὰ δηλαδὴ τοῖς ἀντιμάχοις ἐπαιγίζουσα· [6] στεφανοίη δ' ἂν αὐτὴν καὶ ἡ ἔρις, ἡ ἐπ' ἀγαθῷ πάντως· ἔχοι δ' ἂν καὶ ἀλκὴν, ἀλλὰ καὶ γοργότητα τὴν ἐπὶ τοῖς πρακτέοις. Τοιαύτης οὖν οὔσης τῆς κατὰ νοῦν θεωρουμένης αἰγίδος, εἴη ἂν καὶ ἡ τῆς Ἀθηνᾶς αἰγὶς ὁμοία τῇ ἠθικευομένῃ ταύτῃ αἰγίδι τοῦ Διός. Ἐκεῖνός τε γὰρ νοῦς τεθεώρηται, καὶ αὐτὴ θυγάτηρ ἐκείνου. ἡ φρόνησις γὰρ νοός ἐστι προβολή. [7] ὅθεν καὶ ἡ αἰγὶς ἐπ' ἀμφοῖν τούτοιν συγγενής· καὶ ὅσα ἐπὶ μιᾶς τῆς τοῦ νοὸς, ταῦτα καὶ ἐπὶ τῆς ἑτέρας συμ-

1. Ὅπλον δὲ Διὸς ἡ τοιαύτη μυθικὴ αἰγίς) Etymologici Magni Auctor: Αἰγίς, τὸ τοῦ Διὸς [illegible] ὅπλον· οὐχ, ὥς τινες φασίν, ἀπὸ τῆς Ἀμαλθείας αἰγός, τῆς τὸν Δία ἀναθρεψάσης, ἀλλ' ἀπὸ τοῦ τὰς συστροφὰς τῶν ἀνέμων ποιεῖν καταιγίδας. Politus.

2. οὐ μόνον καταιγίδες λέγονται, ἀλλὰ καὶ αἰγίδες ἀσυνθέτως) Etymologici Magni Auctor: αἰγίδες, καταιγίδες, οἱ ἄνεμοι. τὸ δὲ αἰγίς, παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ. & rurſus: αἰγίς, ἡ καταιγίς, [illegible]. Æſchylus Choephoris: [illegible] αἰγίδων φρίσσων ἄνω. Scholiaſta: αἰγίδων, καταιγίδων. Pherecrates Myrmecanthropis: Οἴμοι κακοδαίμων, αἰγὶς ἔρχεται. Suidas: αἰγίς, καταιγίς. Politus.

Catægis, venti nomen apud Senecam Nat. Quæſt. l. v. c. xvii. *Atabulus Apuliam infeſtat, Calabriam Japyx, Athenas Sciron, Pamphyliam Catægis, Galliam Circius*. Salvinus.

3. τινὰ δὲ καὶ αὐτὸ τοῦτο αἶγες) Ignea quoque hi in aëre, qui apparent, capræ appellati. Hi, quomodo a turbinibus, qui vocantur, differant, itemque a ſtellis diſcurrentibus, quamvis ſint hæc omnia τὸ αὐτὸ, καὶ διὰ τὴν αὐτὴν αἰτίαν, ſubtiliter explicat Ariſtoteles Meteorologicorum lib. 1, c. 4. De his capris Seneca Nat. Quæſt. lib. 1 c. 1. *Audi, quid de ignibus philoſophi velit, quos aer tranſverſos agit. Magnâ vi illos excuti, argumentum eſt, quòd obliqui feruntur, & prærapidâ celeritate. Apparet, illos non ire, ſed projici. Ignium multæ variæque facies ſunt. Ariſtoteles quoddam genus illorum Capram vocat*. Politus.

4. ποιὰ πάθη οὐράνια) Capræ quæ in aëre vocantur, ſunt Ariſtoteli τὰ ὑπεκκαύματα πλείονα κατὰ τὸ μῆκος, ἢ τὸ πλάτος, οἷον ἀποσπινθηρίζοντα, ὅταν καίηται. Verùm Euſtathius capras hic videtur vocare nubes denſiores, ac procelloſas, quæ ſua veluti barbulis caprarum ſimilitudinem præ ſe ferant, aut veluti caprinæ quædam pelles in aëre porrigantur. *Politus*.

5. ἀλλά ποτε καὶ ἠΰτε πίσσα) Sic Poeta μελάντερον, ἠΰτε πίσσα. Polit.

Hor. Epodo: *contexit piceâ ferrugine cælum*. Salvinus.

6. στεφανοῖ) l. στεφανοίη. Polit.

7. ὅθεν καὶ ἡ αἰγὶς ἐπ' ἀμφοῖν τούτοιν συγγενής) Phurnutus De Nat. Deorum, ubi de Minervâ: ταύτῃ δ' ὁμοίως συμμετέχει τῷ Διὶ ἡ αἰγίς, οὐχ ἑτέρα οὖσα τῆς, παρ' ἣν [illegible], καὶ περιγίνεσθαι ὁ Ζεύς. Politus.

Digitized by Google

ρωή. Ἄκραν τοῦ Ἕκτορος ἀνδραγαθίαν ἐνδείξασθαι θέλων ὁ Ποιητὴς, ἐρωτᾷ οἷον ἑαυτὸν, καὶ τὴν οἰκείαν Μοῦσαν· Ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξεν Ἕκτωρ τε, καὶ χάλκεος Ἄρης; ὡς δῆθεν ὑπὸ πολυπληθίας μηδὲ ἔχων κατ' ὄνομα φράζειν τοὺς ἀνῃρημένους. Σημείωσαι δὲ, ὅτι καίτοι γε οὕτω σχηματίσας μεγαλοπρεπῶς τὸν λόγον, ὅμως ὀλιγωτέρους ποιεῖ πίπτοντας ὑπὸ τούτων τῶν δύο, ἤπερ ἀνωτέρω ὑπὸ μόνου τοῦ Ὀδυσσέως. Ἐκεῖνοι μὲν γὰρ, ἑπτὰ ἦσαν· οὗτοι δὲ, ἕξ. ὧν τέσσαρες μὲν μετὰ ἐπιθέτων προάγονται, ἀντίθεος Τεύθρας, πλήξιππος Ὀρέστης, Τρῆχος αἰχμητὴς Αἰτώλιος, καὶ Ὀρέσβιος αἰολομίτρης. Τῶν δὲ λοιπῶν δύο, Οἰνόμαος μὲν ἁπλῶς οὕτω, καὶ ψιλῶς προάγεται· Ἕλενος δέ τις, ὡς Οἴνοπος μόνον υἱὸς, γενεαλογεῖται. Τὸν μέντοι Ὀρέσβιον καὶ πλείονος λόγου ἀξιοῖ, ὡς κατωτέρω ῥηθήσεται. Οὕτω καὶ ἐνταῦθα ποικίλος ὁ Ποιητὴς, καὶ πολύφωνος. Ὅρα δὲ τὴν ἡρωϊκὴν καὶ ἐν τούτοις ὁμωνυμίαν, τὸν Οἰνόμαον ὁμωνυμοῦντα τῷ τοῦ Πέλοπος πενθερῷ, τὸν Ὀρέστην ὁμώνυμον τῷ Ἀγαμεμνονίδῃ, καὶ τὸν Ἕλενον, ὃς τῷ ἀδελφῷ τοῦ Ἕκτορος ὁμωνυμεῖ. ὅθεν χώρα δίδοται τοῖς βουλομένοις παίζειν ἐν αἰνίγμασι. Αἰνίξαιτο γὰρ ἄν τις εἰς τὸν Ἕκτορα, ὡς δῆθεν ἀδελφοκτόνον, διὰ τοῦτον τὸν Ἕλενον. Ὁμοίως δὲ διὰ αἰνίγματος ἐκπλήξει ἀκοὴν, γράψας, Ὀρέστην, ἢ Οἰνόμαον ἀναιρεθῆναι ὑπὸ Ἕκτορος, ὡς τοῦ ἀκροατοῦ δυναμένου παρανοῆσαί τι διὰ τὴν ὁμωνυμίαν. Τοιοῦτόν τι ἐτεχνήσατο καὶ ὁ εἰπὼν περί τινος, ὃν οὐκ ἀνεῖλεν ὁ Διομήδης, τὸ, τὸν κτάνε Διομήδης ἀνήρ. Διομήδης γὰρ ἀνὴρ ἐν τῷ τοιούτῳ αἰνίγματι, ὁ Ἀχιλλεὺς, οὗπερ παλλακὴ ἦν [1] ἡ Διομήδεια. Τὸ δὲ Ὀ-

Bas. p. 454. ρέστης, βαρύνεται, κανόνι τοιούτῳ, κατὰ τοὺς παλαιούς. Τὰ εἰς στης, τῷ ε παραληγόμενα, ἀπὸ ὀνομάτων ὄντα, ἤτοι παρώνυμα, ὀξύνονται μὲν, ἐπιθετικώτερα ὄντα· βαρύνονται δὲ, οὐχ οὕτως ἔχοντα. οἷον, [2] ἀργὸς, [3] ἀργέστης ἄνεμος. [4] κῆδος, κηδεστής. Τὸ Ὀφελέστης, εἰ καὶ παρώνυμον παρὰ τὸ ὄφελος, ἀλλ' οὐκ ἐπίθετον, κύριον δέ. διὸ οὐδὲ ὀξύνεται, ἀλλὰ βαρύνεται, ὡς κύριον. Ὡσαύτως καὶ Ὀρέστης παρὰ τὸ ὄρος. Οὕτω δὲ καὶ παρὰ τὸ μένος Μενέστης κύριον. ἡ δὲ κοινὴ παράδοσις, ἔτρεψε τὸ τ εἰς θ', ὡς πρὸ μικροῦ ἔφη [5] Μενέσθην, Ἀγχίαλόν τε. Ἀρίσταρχος δὲ Μενεσθῆν

CLXXXVIII. Oſtendere quum velit Poëta ſummam Hectoris fortitudinem, ipſe ſemet, ſuamque Muſam veluti interrogat illis verbis: *Tum quem primum, quemque ultimum interfecit Hectorque, & Mars ferreus?* quaſi ſcilicet cæſna præ multitudine ne nomine quidem referre poſſit. Etſi verò ſic per figuram magnificè orationem ſuam extulit; attamen obſerva, ut ab his duobus interfici facit pauciores, quàm ſupra ab uno ſoloque Ulyſſe. Namque illi ſeptem fuerunt: hi ſex numerantur: quorum ſanè quaterni cum epithetis efferuntur, Teuthras ἀντίθεος, *par deo*, Oreſtes πλήξιππος, *pulſator, domitorque equarum*, Trechus αἰχμητὴς Αἰτώλιος, *bellator Ætolius*, & Oresbius αἰολομίτρης, *mitrâ ornatus variâ*. Ex reliquis autem duobus, Oenomaus ſic ſimpliciter, ac nudè de nomine tantùm profertur. Helenus verò quidam, allato duntaxat ejus genere, Oenopis filius dicitur. Quamquam, quod ad Oresbium attinet, longiori eum commemoratione proſequitur, ut dicetur infra. Sic & hoc loci varius eſt, ac multiloquus Poëta. Vide verò hos quoque Heroas communi cum aliis, eodemque nomine appellatos, Oenomaum cognominem alterius Oenomai, qui ſocer fuit Pelopis, Oreſtem cognominem alterius Oreſtæ, qui filius fuit Agamemnonis, & Helenum, qui eamdem appellationem eſt ſortitus, atque Helenus frater Hectoris. Unde ludendi locus iis datur, qui jocari amant per ænigmata, & ambages verborum. Namque ænigma ſanè quis facilè de Hectore attulerit, quaſi ille ſcilicet fratrem ſuum Hectorem interfecerit, propter hunc ipſum Helenum. Similiter etiam ænigmate auditoris ſui aures perculerit, ſiquis ſcripſerit, Oreſtem, aut Oenomaum ab Hectore occiſos fuiſſe: quippe quum auditor ex nominis ambiguitate id poſſit perperam accipere. Hujuſcemodi etiam ferè artificio uſus eſt is, qui de quodam, quem Diomedes quidem minimè interfecerat, uſurpavit illud: Τὸν κτάνε Διομήδης ἀνήρ. *Eum occidit vir Diomedes*. Eo namque in ænigmate Διομήδης ἀνὴρ, *Diomedes vir*, Achilles ipſe intelligitur, cujus concubina erat Diomedea. Porro autem τὸ Ὀρέστης, *Oreſtes*, ſecundùm veteres quidem Grammaticos, accentu afficitur gravi, ob regulam hujuſcemodi: Deſinentia in στης, cum ε in penultimâ, quæ a nominibus ſunt derivata, videlicet denominativa, ea quidem certè, ſi adjectivis nominibus accenſeantur, acuuntur. Sin autem ſeſe aliter habeant, gravantur. exempli cauſsâ, ἀργὸς, *albus*, ἀργέστης, *albidus, ſeu procelloſus, aut velox*, epitheton venti. κῆδος, *affinitas*, κηδεστής, *affinis*. Τὸ Ὀφελέστης, *Opheleſtes*, tametſi denominativum eſt ab ὄφελος, *utilitas*; quia tamen non adjectivum eſt, ſed proprium; ideo non acuitur, ſed, ut proprium, gravatur. Similiter & Ὀρέστης, *Oreſtes*, ab ὄρος, *mons*. Et ſic etiam a μένος, *animi vis, aut robur*, nomen proprium Μενέστης, *Meneſtes*: quamvis ex receptâ vulgo conſuetudine, ac ſcripturâ verſa ſit littera τ in θ, ut paullò ante dixit Μενέσθην, Ἀγχίαλόν τε. *Meneſthem, Anchialumque*. Ariſtarchus tamen dicit Μενεσθῆν, *Meneſthem*,

1. ἡ Διομήδεια) quæ & Διομήδη. Φόρβαντος θυγάτηρ Διομήδη καλλιπάρῃος. Polit.

2. ἀργὸς) l. ὀξυτόνως, ἀργός. Polit.

3. ἀργέστης ἄνεμος) Etymologo ἀργέστης τὸ κύριον βαρύνεται. τὸ δὲ ἐπιθετικὸν τοῦ νότου, ὀξύνεται, ἀργεστής. ὡς, ἀργεστάο νότοιο, οἷον, τοῦ λευκοῦ. Alii τὸ ἀργεστᾶο apud Homerum exponunt, ταχέος. Politus.

4. κῆδος, κηδεστής) Etymologici Magni Auctor: τὸ δὲ Κυδέστης τὸ κύριον ὄνομα, βαρύνεται. ὡς Θυέστης· ὄρος, Ὀρέστης. τὸ δὲ κηδεστής, ὀξύνεται, ὡς προσηγορικόν. Polit.

5. Μενέστην) lege cum Frobenio, Μενέσθην. Etymologici Magni Auctor: ὡς ἀπὸ τοῦ ἀργὸς (ſic enim ſcribo ὀξυτόνως) γίνεται Ἀργέστης, οὕτω καὶ παρὰ τὸ μένος Μενέστης, καὶ Μενέσθης κατὰ τροπήν. Politus.

neſtbem, ut Ἀπελλῶ, *Apellem*. Æreum denique etiam nunc Martem vocat, ut & Venerem auream, a geſtamine, neque ornatu.

Qui in Hylâ habitabat, perquam ſtudioſus divitiarum,
Palude circumdatus Cephiſſide: & apud ipſam alii
Habitabant Bœoti, opimum admodum populum habentes.
Hos igitur ut animadvertit dea candidis ulnis Juno
Mortem Argivis in acri pugnâ afferre,
Minervam ſtatim verbis his volucribus eſt allocuta.

CLXXXIX. Hîc etiam curæ eſt Poëtæ perſpicuitas, ubi loci cujuſdam meminit, nomine [a] Ὕλης, *Hylæ, ſeu Sylva*: ut nequis accipere id poſſit de loco montis ſylvoſo. Ideoque primùm quidem ancipitem illam litteram corripit, ad diſtinctionem ἡ ὀρεινῆς ὕλης, *hylæ, ſeu ſylvæ montanæ*. Illa enim primam producit. Deinde etiam hujuſcemodi Ὕλην, *Hylam*, proximam eſſe ait locis circumjacentibus Cephiſſo. Quo de Cephiſſo ſatis dictum eſt ad Dionyſium Periegetam: a quo item palus Cephiſſis. Quin & Cephiſſi locum indicat, cum ſubdit: ὅπου ἄλλοι Βοιωτοί. *ubi alii Bœoti*. quaſi ſcilicet ipſum etiam Cephiſſum propemodum dicat Bœotium, & idcirco hanc iſtam Hylam eſſe innuat in Bœotiâ. Sed de his ad Bœotiam quoque ſcriptum eſt. Eſt autem, inquiunt, urbs etiam Locrica, Hyla, & alia urbs Cypri, ex qua Ὑλάτης, *Hylates*, Apollo apud Lycophronem. Bœotis porrò populum eſſe dicit pinguem admodum, & opimum, propter regionis eorum fertilitatem. Immo & Oresbium, de quo ſupra dictum eſt, hominem Hylæum, ſive Bœotium, μέγα πλούτοιο μεμηλότα, *perquam ſtudioſum divitiarum*, fuiſſe narrat, videlicet perquam ſedulum, ac diligentem in congerendis divitiis, non certè fortunæ munere, aut hereditariâ ſucceſſione locupletem. Sciendum autem eſt, videri quidem Oresbium lepidè, atque urbanè ſic appellatum fuiſſe per convenientiam quandam, & ſimilitudinem nominis cum loco, tamquam ἐν τῇ ὕλῃ βιοῦντα, *in hylâ, ſive in ſylvâ montanâ degentem*, ibique educatum: quippe quum idem ſit dicere ὑλαῖον, *hylæum, ſylvaticum, ſylveſtrem*, atque ὀρέσβιον, *monticolam, ſeu in montanâ ſylvâ degentem*. verumtamen non valdè id lepidum eſſe, atque urbanum; ſed quodammodò frigere in morem dithyrambicum. Qui enim eſt ἐξ ὕλης ὀρεινῆς, *ex hylâ, ſive ex ſylvâ montanâ*; is certè non abſurdè, ſed aptè, atque congruenter, nominatus fuerit Ὀρέσβιος, *Oresbius, ſeu Monticola*: at non proinde ſic etiam is, qui eſt ex urbe Ὕλῃ, *Hylâ*, niſi fortè eâ motùm de cauſâ, quòd ἡ ὕλη, *hyla*, nomen eſt commune urbi cum ſylvâ montanâ. Eſt autem de hac iſtâ Hylâ locus Homericus hujuſcemodi: Oresbius, ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε, *qui in Hylâ habitabat*, λίμνῃ κεκλιμένος Κηφισίδι, *palude clauſus Cephiſſide*. hoc eſt, περιεχόμενος, *circumdatus*. *Apud eum*

 alii

νεωτὴν λέγει, ὡς Ἀπελλῆν. [1] Χάλκεον δὲ καὶ νῦν τὸν Ἄρην φησὶν, ὡς καὶ τὴν Ἀφροδίτην χρυσῆν, ἀπὸ τοῦ φορήματος.

Ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε, μέγα πλούτοιο μεμηλὼς,
Λίμνῃ κεκλιμένος Κηφισίδι· πὰρ δέ οἱ ἄλλοι
Ναῖον Βοιωτοὶ, μάλα πίονα δῆμον ἔχοντες.
Τοὺς δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη
Ἀργείους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ,
Αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα.

ρπθ'. Σαφηνείας καὶ ἐνταῦθα πεφροντικὼς ὁ Ποιητὴς, ἐν οἷς μέμνηται τόπου τινὸς Ὕλης λεγομένου, ἵνα μὴ ἐπὶ δάσους ὀρεινοῦ νοοῖ ἔχοι τις αὐτὸ, πρῶτα μὲν συστέλλει τὸ δίχρονον, πρὸς ἀντιδιαστολὴν τῆς ὀρεινῆς ὕλης. ἐκείνη γὰρ ἐκτείνει τὴν ἀρχουσαν. Εἶτα καὶ πλησιάζειν τὴν τοιαύτην Ὕλην λέγει τοῖς περὶ Κηφισσὸν τόποις· [2] περὶ οὗ ἱκανῶς ἐν τῷ Περιηγητῇ εἴρηται· ἀφ' οὗ καὶ λίμνη Κηφισσίς. Παραδεικνύων δὲ καὶ τὸν τόπον τοῦ Κηφισσοῦ, ἐπάγει, ὅπου ἄλλοι Βοιωτοί. μονονουχὶ λέγων, καὶ τὸν Κηφισσὸν, Βοιώτιον, καὶ τὴν τοιαύτην δὲ Ὕλην διὰ τοῦτο περὶ τὴν Βοιωτίαν εἶναι. Περὶ δὲ τούτων καὶ ἐν τοῖς εἰς τὴν Βοιωτίαν γέγραπται. [3] Ἦν δὲ, φασὶ, καὶ Λοκρικὴ πόλις Ὕλη, [4] καὶ ἄλλη Κύπρου, ἀφ' ἧς καὶ Ὑλάτης Ἀπόλλων παρὰ Λυκόφρονι. Τοὺς δὲ Βοιωτοὺς, μάλα πίονα δῆμον ἔχειν φησὶ, διότι εὔκαρπος αὐτοῖς ἡ γῆ. Καὶ τὸν ἀνωτέρω δὲ ῥηθέντα Ὀρέσβιον, ἄνδρα Ὑλαῖον, ἤτοι Βοιώτιον, μέγα πλούτοιο μεμηλότα ἱστορεῖ, ἤτοι φροντίδα πλούτου ἔχοντα, καὶ οὐκ ἐκ τύχης πλούσιον, ἢ διαδοχῆς. Ἰστέον δὲ, ὅτι δοκεῖ μὲν ὁ Ὀρέσβιος οὕτω κληθῆναι, κατά τινα φερωνυμίαν τοπικὴν, ἀστείως, ὡς ἐν τῇ ὕλῃ βιοὺς, καὶ ἀνατραφείς. Ταυτὸν γὰρ εἰπεῖν ὑλαῖον, καὶ ὀρέσβιον. οὐ πάνυ δὲ ἀστεῖον τοῦτο, ἀλλ' ἔχει τινὰ διθυραμβώδη ψυχρότητα. Ὁ μὲν γὰρ ἐξ ὕλης ὀρεινῆς, οὐκ ἀπεικότως ἂν ὀνομασθείη ὀρέσβιος, ἀλλὰ προσφυῶς. [5] οὐ μὴν δὲ καὶ ὁ ἐξ Ὕλης πόλεως, εἰ μὴ τάχα διὰ μόνην ὁμωνυμίαν τῆς ὕλης. Ἔστι δὲ τὸ περὶ τῆς τοιαύτης Ὕλης Ὁμηρικὸν ῥητὸν, τοιοῦτον· Ὀρέσβιος, ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε, [6] λίμνῃ κεκλιμένος Καφισσίδι. τουτέστι, περιεχόμενος. Πὰρ δέ οἱ

 ἄλλοι

Rom.p.597.

1. Χάλκεον δὲ καὶ νῦν τὸν Ἄρην φησὶν) Horat. *tunicâ cinctum adamantinâ*. id eſt, ferreâ. *Salvinus*.

2. περὶ οὗ ἱκανῶς ἐν τῷ Περιηγητῇ εἴρηται) ad illud Periegetæ
τὸ διὰ μέσσης
Κηφισσοῦ μέγα χεῦμα κατερχόμενον κελάρυζε.
ubi Euſtathius: ὁ δὲ Διονύσιος λέγει καὶ, ὅτι διὰ μέσης τῆς Φωκίδος ταύτης Κηφισσοῦ μέγα χεῦμα κατερχόμενον κελάρυζε, ὅς τῶν Χαριτῶν Φωκικῶν ἐστι ποταμός. Politus.

3. Ἦν δὲ, φασὶ, καὶ Λοκρικὴ πόλις Ὕλη) Stephanus v. Ὕλη, ἔστι καὶ πόλις Λοκρῶν τῶν Ὀζολῶν, ἧς τὸ ἐθνικὸν, Ὑλαῖος. Polit.

4. καὶ ἄλλη Κύπρου) Stephanus: Ὕλη, πόλις Κύπρου, ἐν ᾗ Ἀπόλλων τιμᾶται Ὑλάτης. Λυκόφρων·
Καὶ Σάβαχον βλώξαντες, Ὑλάτου τε γῆν.
Ὑλάτου γῆν dicit Lycophron τὴν Ὕλην τὴν τοῦ Ἀπόλλωνος, Politus.

5. οὐ μὴν δὲ καὶ ὁ ἐξ Ὕλης πόλεως) Hylæus, nomen proprium, quod Latinè repræſentaretur *Sylveſter*, niſi ſit ab Hylâ urbe. Prop. l. 1. El. 1. *Senſit & Hylæus percuſſus vulnere rami*. Ovid. *Senſit & Hylæi contentum ſaucius arcum*. Hoc nomen etiam apud Statium reperitur. *Salvinus*.

6. λίμνῃ κεκλιμένος Κηφισίδι. τουτέστι, περιεχόμενος) *Ad lacum inclinatus Cephiſſium*. id eſt, regionem illam & illud clima incolens; vel ejus accola. *Clauſus* eſſet κεκλεισμένος, & nervus ratio non conſtaret. ad quam lectionem alludere videtur Euſtathius. qui κεκλιμένος explicat περιεχόμενος, quaſi eſſet κεκλεισμένος, *clauſus*. *Salvinus*.

Conſtat Græcia Magiſtris verſûs ratio, quia κεκλιμένος eſt ἀντὶ τοῦ κεκλεισμένος, per ellipſin τοῦ σ. Etymologici Magni Auctor: ὁ περιεχόμενος, κέκλεικα, κέκλειμαι, χωρὶς τοῦ σ παρ' Ἕλλησιν· ἀποβολῇ τοῦ ε, κέκλιμαι. ὅθεν καὶ τὸ, Σπείρῃ κεκλιμένος. αἴτι τοῦ ὑπὸ στήλης περιεχόμενος, καὶ νῦν ὑπὸ τοῦ τάφου στήλην προβεβλημ.

ἄλλοι ναῖον Βοιωτοὶ, καὶ ἑξῆς. Τὸ δὲ ἄλλοι, ὡς καὶ αὐτοῦ Βοιωτοῦ ὄντος. Ἐνταῦθα δὲ [1] ἱστορεῖ ὁ Γεωγράφος, ὅτι Κηφισσίδα λίμνην, οὐ τὴν Κωπαΐδα λέγει, κατά τινας, ὁ Ποιητὴς, ἀλλὰ τὴν Ὑλικὴν προσαγορευομένην, διὰ τὸ, ἐν Ὕλῃ ναίεσκε, λίμνῃ Κηφισσίδι κεκλιμένος. Λέγει δὲ καὶ, ὅτι οὐ γραπτέον Ὕδη, ὡς τινες ἔγραψαν. Ὕδη μὲν γὰρ ἐν Λυδίᾳ, ὡς δηλοῖ τὸ,

Τμώλῳ ὑπὸ νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ.

ἡ δὲ Ὕλη, Βοιωτικὴ, ὅπου ὁ Κηφισσός. Διό φησιν ὁ Ποιητὴς, λίμνῃ Κηφισσίδι· πὰρ δέ οἱ Βοιωτοὶ ἄλλοι.

alii habitabant Bœoti, &c. Ubi poſitum eſt τὸ ἄλλοι, *alii*, perinde quaſi ipſe quoque eſſet Bœotus. Atque hic tradit Geographus, Cephiſſidem paludem Poëtam non Copaidem dicere, ut volunt quidem nonnulli; ſed eam, quæ appellata eſt Hylica, propterea quòd dixerit, ἐν Ὕλῃ ναίεσκε, λίμνῃ Κηφισσίδι κεκλιμένος. *in Hylâ habitabat, palude circumdatus Cephiſſide*. Addit Geographus, ſcribendum minimè eſſe Ὕδῃ, *Hydâ*, ut nonnulli quidem ſcripſerunt. Hyda nanque eſt in Lydiâ, ut palam facit illud:

Τμώλῳ ὑπὸ νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ.
Pinguis Hydæ in populo, gelidi ſub vertice Tmoli.

Hyla verò eſt Bœotica, ubi Cephiſſus. Quocirca ait Poëta: λίμνῃ Κηφισσίδι· πὰρ δέ οἱ Βοιωτοὶ ἄλλοι. *palude Cephiſſide; & apud ipſum Bœoti alii.*

Ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
Ἦ ῥ' ἅλιον τὸν μῦθον ὑπέστημεν Μενελάῳ,
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι,
Εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα.
Ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς.
Ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
Ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους
Ἥρη, πρέσβα θεὰ, θυγάτηρ μεγάλοιο Κρόνοιο.

Papæ, Ægiochi Jovis filia indefeſſa,
Certè quidem vanum promiſſum fecimus Menelao,
Eum, poſt Ilium muratum exciſum, eſſe rediturum,
Si ſic furere perniciosum Martem ſinamus.
Age jam & nos curam geramus virium ad impetum faciendum.
Sic dixit: neque ad detrectavit cæſiis dea oculis Minerva.
Itaque diſcurrens aureis inſignes phaleris inſtruebat equos
Juno, veneranda dea, magni Saturni filia.

ρϞ'. Συμμαχίας εὐπερίληπτον φραστικὸν τὸ τῆς Ἥρας πρὸς Ἀθηνᾶν περὶ Μενελάου, τοιοῦτον ὄν· Ὢ πόποι, ἦ ῥ' ἅλιον, ἤγουν ἄρα δὴ, ἢ οὕτως δὴ, μάταιον τὸν μῦθον ὑπέστημεν, ἤγουν ὑπεσχόμεθα τῷ δεῖνι, εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα. Ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς. ὅ ἐστιν, ἀλλ' ἄγε δὴ καὶ ἡμεῖς βουλευσώμεθα περὶ βοηθείας. Ἐξευτελίζει δὲ ἡ Ποίησις ἐνταῦθα τὴν Ἕκτορος ἀριστείαν, εἰ δι' Ἄρεος γίνεται, καὶ ἅμα προκατασκευάζει ἀφορμὰς, προεκθέσεως λόγῳ, τὸ πληγῆναι μικρὸν ὕστερον τὸν Ἄρην· ὃν καὶ [2] προσφυῶς, ὡς καὶ προείρηται, μαίνεσθαί φησιν.

CXC. Contrahi facilè poſſe auxilia ad committendam pugnam, oſtendunt verba Junonis ad Minervam de Menelao, quæ ſunt hujuſcemodi: Papæ, ἦ ῥ' ἅλιον, videlicet ἄρα δὴ, *certè quidem*, aut οὕτως δὴ, μάταιον, *verè quidem*, *vanum* promiſſum ὑπέστημεν, *fecimus*, videlicet ὑπεσχόμεθα, *promiſimus*, huic, aut illi, quicumque ille ſit, ſi ſic furere perniciosum Martem ſinamus. Quare age, jam & nos curam geramus virium, quæ impetum faciant. hoc eſt, quare age, jam & nos conſulremus de ferendo auxilio. Elevat autem hoc loci, atque extenuat Poëta fortitudinem Hectoris, quippe quæ a Marte proficiſcatur; ſimulque etiam, in modum propoſitionis, viam opportunè munit ad id, quod non ita multò poſt eſt narraturus de vulnere Marti inflicto: quem etiam Martem, ut ſupra notatum eſt, aptè, atque congruenter dicit furere.

Ἥβη δ' ἀμφ' ὀχέεσσι θοῶς βάλε καμπύλα κύκλα
Χάλκεα, ὀκτάκνημα, σιδηρέῳ ἄξονι ἀμφίς·
Τῶν ἤτοι χρυσέη ἴτυς ἄφθιτος· αὐτὰρ ὕπερθεν
Bas. p. 455. Χάλκε' ἐπίσσωτρα προσαρηρότα, θαῦμα ἰδέσθαι.
Πλῆμναι δ' ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθεν·
Δίφρος δὲ χρυσέοισι, καὶ ἀργυρέοισιν ἱμᾶσιν
Ἐντέταται· δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσι.
Τοῦ δ' ἐξ ἀργύρεος ῥυμὸς πέλεν· αὐτὰρ ἐπ' ἄκρῳ
Δῆσε χρύσειον καλὸν ζυγὸν, ἐν δὲ λέπαδνα
Κάλ' ἔβαλε χρύσει'· ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη
Ἵππους ὠκύποδας, μεμαυῖ' ἔριδος, καὶ ἀϋτῆς.

Hebe porrò currui celeriter circumpoſuit curvas rotas
Æreas, radios octonos habentem, circum axem ferreum:
Quarum quidem aureum orbile incorruptum: verùm deſuper
Æreı canthi affixi, mirabile viſu.
Modioli verò ex argento erant, rotundi utrimque:
Sellaque aureis, & argenteis loris
Diſtenta erat, binique erant rotundi orbes.
Ex hoc argenteus temo procurrebat: ad cujus extremitatem
Ligavit aureum pulchrum jugum, loraque jugalia
Pulchra injecit aurea: jugo verò ſubdidit Juno
Equos celeripedes, cupida contentionis, & prælii.

ρϞα'. Τὸ τῆς Ἥρας ἅρμα συντεθεὶς Ὅμηρος, ἐκ τῶν κάτω, καὶ τῶν ὡσανεὶ ποδῶν

τοῦ

CXCI. Homerus in curru Junonis conſtruendo initium facit ab inferioribus partibus, ac veluti

luti

βεβλημένος, ἀντὶ ἀσπίδος. Τοιοῦτον καὶ τὸ, λίμνῃ κεκλιμένος Κηφισσίδι. ἀντὶ τοῦ παρακείμενος, γειτνιῶν, περιεχόμενος. ἔνθεν καὶ τὸ, ἐκκλίνετο λίμνην. ἔλαθες ἄρα τὸ ἴ, ὥσπερ ἀπὸ τοῦ κλέω κλείσω, κλεὶς, καὶ κληΐς. καὶ Διοκλῆδος ὀφθαλμοῖ. Κεκλιμένοι, ἀντὶ τοῦ κεκαλυμμένοι, συγκεκλεισμένοι. ἀπὸ τοῦ κλείω τὸ ἀσφαλίζω, κατὰ συστολὴν τοῦ ἴ. Suidas: κεκλιμένος, περιεχόμενος. Hesychius: κεκλιμένοι, περικεκλεισμένοι, περιεχόμενοι. Reſpexit Hesychius Homericum illud:

Πόντῳ κεκλιμένοι, ἑκὰς ἥμεθα πατρίδος αἴης.

Ubi τὸ κεκλιμένοι vetus Scholiaſta exponit περικεκλεισμένοι τῇ θαλάσσῃ, περιεχόμενοι. Ego tamen alibi in explicatione τοῦ κεκλιμένος eos ſecutus ſum auctores, qui derivabant a κλίνω. Polıtus.

[1] ἱστορεῖ ὁ Γεωγράφος, ὅτι Κηφισσίδα λίμνην, οὐ τὴν Κωπαΐδα λέγει, κατά τινας, ὁ Ποιητὴς, ἀλλὰ τὴν Ὑλικὴν) Strabo allato loco illo Homerico:

Ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε μέγα πλούτοιο μεμηλὼς,
Λίμνῃ κεκλιμένος Κηφισσίδι.

Οὐ γὰρ, inquit, λίμνην τὴν Κωπαΐδα βούλεται λέγειν, ὡς οἴονταί τινες, ἀλλὰ τὴν Ὑλικὴν προσαγορευομένην, καὶ πρότερον. ὡς λεγόμενοι, ἀπὸ τῆς πλησίον πόλεως, ἣν καλοῦσιν Ὕλας. At enim Cephiſſis palus eadem, quæ Copais. Strabo non multò poſt: καὶ τό γε παλαιὸν οὐδ' ἦν τῆς λίμνης κοινὸν ὄνομα, ἀλλὰ καθ' ἑκάστην πρὸς αὐτῇ κατοικίαν, ἰδίως ἐπωνόμως ἐλέγετο. Κωπαΐς μὲν ἀπὸ Κωπῶν, Ἁλιαρτὶς δὲ Ἁλιάρτου, καὶ ὅπως ἀπὸ τῶν ἄλλων· ὕστερον δ' ἡ πᾶσα Κωπαῒς ἐλέχθη, κατ' ἐπικράτειαν. κοιλότατον γὰρ τὸ κατὰ χωρίον φησὶ Πίνδαρος, καὶ Κηφισσίδα καλεῖ ταύτην. Quòd ſi Cephiſſis eadem, atque Hylica, Copais igitur eadem, & Hylica. Ego diverſas ſententias ita ad Bœotiam conciliabam, ut dicerem, vocari a Poëtâ Κηφισσίδα, unam ex minoribus iis paludibus, in quas magna palus Copais diffunditur: quæ ſanè minor palus a proximâ urbe Hylâ denominata fuerit Hylica. Hanc igitur paludem Hylicam videri mihi alios a conſortio, & communione aquarum, unam eandemque, ac Copaidem, alios, a peculiari ejus ſitu, diverſam a Copaide ſtatuiſſe. Vide nos ſupra in Bœotiâ ad illa Euſtathii verba de palude magnâ Copaide: Ἐκροὰς δὲ αὐτῆς, ὑδάτων φαίνεται, ὡς ὁ Γεωγράφος φησὶ, πλὴν τοῦ χάσματος τοῦ δεχομένου τὸν Κηφισσόν. itemque ad illa: καὶ λίμνη δὲ Βοιωτίας ἐστὶ Κηφισσὶς, ἡ λεγομένη καὶ Ὑλικὴ, παρωνύμως τῇ Βοιωτικῇ Ὕλῃ. Politus.

[2] προσφυῶς, ὡς καὶ προείρηται, μαίνεσθαί φησιν) Hinc θοῦρος Ἄρης. idest, *furens*, *impetum faciens Mars*. Salvinus.

luti pedibus ipſius currus. Itaque Hebe primùm quidem currui celeriter circumpoſuit curvos orbes, rotas videlicet, ex ære, habentes radios octonos. &c. Deinde ad ſummum temonem pulchrum alligavit jugum ex auro, pulchraque adjecit ex auro lora jugalia. Juno verò equos celeripedes jugo ſubdidit, μεμαυῖα, videlicet ἐπιθυμοῦσα, *perquam avida, atque cupiens*, contentionis, ac prœlii. Quæ etiam Juno hos iſtos equos præparaverat. Sic enim narraverat: Et quidem diſcurrens, crinalibus inſignes aureis apparabat equos Juno veneranda, magni Saturni filia. Quibus de Junone expoſitis, ſubjungit de Hebe ea, quæ memoravimus. Ubi vide τὸ ἔβαλε κύκλα τῷ ἄξονι, *circumjecit, ſive circumpoſuit rotas axi*. &, ἔβαλεν ἐπὶ τῷ ῥυμῷ λέπαδνα. *circumjecit, ſive circumpoſuit temoni collaria*. Non enim uſitato hîc ſenſu ſumitur hæc vox βάλλειν, *jacere, ſive icere*; ſed, communiori quadam ſignificatione, idem ferè valet, ac ponere, ſeu injicere: adeò ut hinc manifeſtiſſimè appareat, non bellicam ſemper vocem eſſe τὸ βάλλειν, *jacere, icere, percutere, ferire*. Sunt autem ὀκτάκνημα, *radios octo habentia*, eadem, atque τὰ ὀκτάραβδα, *virgas octo habentia*, ad majorem firmitatem. Κνῆμαι namque, *i. e. tibiæ*, ipſæ nunc ſunt virgæ, ab interioribus modiolis uſque ad ambitum exteriorem, ita dictæ ad exemplum tibiæ in animalibus, impoſitam corporis molem ſuſtinentis. Χάλκεα verò, *i. e. ærea*, dicta ſunt a materiâ externâ, ſummaſque rotas tegente. Narrat enim poſtea, curvas illas laminas, quæ rotas extrinſecùs cingerent, ſive circumjectos rotis circulos, æreos fuiſſe, tametſi, quod intus continebatur, conflatum erat ex argento, atque auro. Variè enim Poëta eas rotas fabricatur, quum aureum, atque incorruptum fuiſſe tradat ambitum earum orbicularem, ambientem videlicet circulum, ſeu orbile. Dicit enim: *Quarum certe aureum orbile, incorruptum*: ſed deſuper ea, quæ dicta ſunt ἐπίσσωτρα, *munimina*, circuli videlicet, ſive canthi, complexu ſuo orbile, ſeu rotarum orbem, undique cingentes; munimina illa quidem ærea, aptata, atque affixa, res viſu mirabilis. Modioli verò, inquit, ex argento ſunt, orbiculati ἀμφοτέρωθεν, *utrimque*. a dextro videlicet, & ſiniſtro currus latere. quod quidem dicit ἀμφὶς ἐπὶ τοῦ ἄξονος. *ab utrâque parte ad axem*.

CXCII. Sunt autem πλῆμναι, *modioli*, rotarum parvæ chœnices, ſive fiſtulæ, hoc eſt, meatus, ſeu cava, aut foramina, quas etiam nonnulli vocant χνόας, ut patet ex Sophocle. videlicet media, & cava ſpatia earum, quas diximus, fiſtularum, in quas axis capita immittuntur, quum πλῆμναι vocentur,

τοῦ ἅρματος, ἄρχεται. Ἡ τοίνυν Ἥβη πρῶτα μὲν ἀμφὶ τῷ ἅρματι θοῶς βάλε καμπύλα κύκλα, ἤτοι τροχούς, χάλκεα, ὀκτάκνημα. καὶ ἑξῆς. Εἶτα ἐπ' ἄκρῳ ῥυμῷ δῆσε χρύσειον καλὸν ζυγόν· ἐν δὲ λέπαδνα καλὰ ἔβαλε χρύσεια· ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη ἵππους ὠκύποδας, μεμαυῖα, ἤγουν ἐπιθυμοῦσα, ἔριδος, καὶ αὐτῆς. ἡ καὶ προετοιμάσασα τοὺς τοιούτους ἵππους. Ἔφη γάρ· Ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους Ἥρη πρέσβα, θυγάτηρ μεγάλοιο Κρόνοιο. μεθ' ἣν ἐπήγαγε τὰ εἰρημένα περὶ τῆς Ἥβης. ἐν οἷς ὅρα τὸ ἔβαλε κύκλα τῷ ἄξονι. καὶ, ἔβαλεν ἐπὶ Rom. p. 598. τῷ ῥυμῷ λέπαδνα. Οὐ γὰρ τὸ σύνηθες βάλλειν ἡ λέξις ἐν τούτοις, ἀλλά τινα θέσιν δηλοῖ κοινότερον· ὡς εἶναι κἀντεῦθεν ἐκδηλότατον, ὡς οὐκ ἀεὶ πολεμικὴ λέξις τὸ βάλλειν ἐστίν. Εἰσὶ δὲ ὀκτάκνημα μέν, τὰ ὀκτάραβδα, διὰ πλείω στερρότητα. Κνῆμαι γὰρ νῦν, αἱ ἀπὸ τῶν ἔσω χοινικίδων ἕως τῆς ἔξω περιφερείας ῥάβδοι, οὕτω ῥηθεῖσαι, πρὸς ὁμοιότητα ζωϊκῆς κνήμης ὑπανεχούσης τὰ ἐπικείμενα. Χάλκεα δέ, ἐκ τῆς ἐπιπολαζούσης ὕλης. Ἐρεῖ γάρ, τὰ ἐπίσσωτρα, ἤτοι τοὺς ἐπικειμένους κύκλους τοῖς τροχοῖς, χαλκᾶ εἶναι, εἰ καὶ [1] τὰ ἐντὸς ἀργύρῳ, καὶ χρυσῷ συγκεκρότηται. Ποικίλως γὰρ ὁ Ποιητὴς αὐτὰ χαλκεύει, χρυσῆν μὲν αὐτοῖς, καὶ ἄφθιτον ἱστορῶν τὴν ἴτυν, ἤγουν τὴν περιφέρειαν. Φησὶ γάρ· Τῶν ἤτοι χρυσέη ἴτυς, ἄφθιτος· ὕπερθε δὲ τὰ ῥηθέντα ἐπίσσωτρα, [2] ἤγουν οἱ τὴν ἴτυν περιέχοντες κύκλοι, ἤτοι οἱ κανθοί, χάλκεα προσαρηρότα, θαῦμα ἰδέσθαι. αἱ πλῆμναι δέ, φησιν, ἐξ ἀργύρου εἰσί, περίδρομοι ἀμφοτέρωθεν. ἤγουν ἐκ δεξιῶν, καὶ ἐξ ἀριστερῶν τοῦ ἅρματος. ὅπερ ἀμφὶς ἐπὶ τοῦ ἄξονός φησι.

ρ ϟβ΄. Εἰσὶ δὲ πλῆμναι, [3] αἱ τῶν τροχῶν χοινικίδες, ἤτοι σύριγγες, ὅ ἐστιν ὀπαί, ἅστινες καὶ [4] χνόας φασίν, ὡς δηλοῖ καὶ Σοφοκλῆς. ἤγουν τὰ μέσα τῶν εἰρημένων συρίγγων, εἰς ἃς ἐντίθενται τὰ τοῦ ἄξονος ἄκρα, πλῆμναι κα-

1. τὰ ἐντὸς ἀργύρῳ, καὶ χρυσῷ συγκεκρότηται) Ovid. Met. lib. 2. in principio, de curru Solis:

Aureus axis erat, temo aureus, aurea ſummæ
Curvatura rotæ, radiorum argenteus ordo. Salvinus.

2. ἤγουν οἱ τὴν ἴτυν περιέχοντες κύκλοι, ἤτοι οἱ κανθοί) Etymologici Magni Auctor: ἐπίσσωτρα, οἱ ἔξωθεν τῶν τροχῶν σιδήρεοι κύκλοι οἱ ἐπὶ τὴν γῆν κυλιόμενοι, τὰ κύκλα τῶν τοῦ ἅρματος τροχῶν σίδηρα, τὰ ἐπάνω τῶν τροχῶν σιδηρᾶ, ἃ χαλκᾶ, οἱ κανθοὶ καλοῦνται. Suidas: ἐπίσσωτρα, οἱ κανθοί, τὰ ἐπάνω τῶν τροχῶν σιδηρᾶ. Politus.

3. αἱ τῶν τροχῶν χοινικίδες, ἤτοι σύριγγες) Heſychius: πλήμνη, ἡ χοινικὶς τοῦ τροχοῦ, ἢ τὰς σύριγγας. Malim, pro ἢ τὰς σύριγγας, Heſychium ſcripſiſſet, ἢ ἡ σύριγξ. Eſt enim πλήμνη, ſeu χοινικίς, σύριγξ ipſa, ſeu fiſtula rotæ. Polit.

4. χνόας φασίν, ὡς δηλοῖ καὶ Σοφοκλῆς) Quid ſi χοάς, vaſa? Salvinus.

Χνόας Sophocles in Electrâ.

ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι,
Φείδοντο κέντρων οὐδέν, ὡς ὑπερβάλοι
Χνόας τις αὐτῶν, καὶ φρυάγμαθ' ἱππικά.

ubi vetus Scholiaſta χνόας exponit τὰς τοῦ ἄξονος σύριγγας. Scholiaſta item Homericus: πλῆμναι, αἱ χοινικίδες τῶν τροχῶν, χνόαι. Σύριγξ autem Scholiaſtæ Euripidis non modò eſt τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος· ſed etiam ἡ ὀπὴ τοῦ τροχοῦ. Quod ex eodem Scholiaſtâ in Lexicon ſuum retulit Suidas. Neque verò χοαὶ ſunt vaſa. Etymologici Magni Auctor: χοῦ, ἐκ τοῦ χέω. χοαὶ χοῶν, τὰ ἐπιχεόμενα. οἱ γὰρ ἀρχαῖοι, ὅπερ εἶχον κάλλιστον, καὶ τιμιώτατον, ἔῤῥιπτον εἰς τὰς πυρὰς τιμῶντες αὐτούς. Heſychius: χοαί, θυσίαι, ἢ τὸ μελίκρατον, ἢ ἔλαιον. Suidas: χοάς, ἐκχύσεις, ἁγιάσματα ἐπὶ νεκροῖς, ἢ σπονδάς. Λέγονται καὶ θυσίαι νεκρῶν. Euripides Hecubâ: ἱερὸ χοαῖς Ἀχιλλέως Χοὰς θανόντι πατρί. Scholiaſta: χοαὶ λέγονται ἐπὶ ὑγρῶν, μέλιτος, ἐλαίου, καὶ οἴνου, καὶ τῶν ἑτέρων. θυσία δὲ ἐπὶ σφαγῆς ζώου. Χοῦς, Suidâ eodem teſte, & Scholiaſtâ Ariſtophanis, circumflectitur, cum ἐπὶ μέτρου τίθεται. a recto videlicet χοῦς· quo etiam χοῦ. Scholiaſta Ariſtophanis ad illud in Nubibus: ἓξ χοᾶς χωροῦντα· χοῦς δέ ἐστιν εἶδος μέτρου, ὃ φέρει ἓξ οἴνου· ὃ καὶ κλίνεται χοέως, ὡς Πηλέως. ὡς καὶ ἐν Ἰφιγενείᾳ φησιν.

Ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χοῦ.

Ἐνταῦ-

καλούμεναι [1] διὰ τὸ πλήθεσθαι, [2] ἢ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος. Ἰστέον δὲ, ὅτι πλεονασμὸν τοῦ ν ἔχει ἡ Ὁμηρικὴ πλήμνη, ὡς δῆλον [3] ἔκ τε τῆς πλήμης τῆς ἐν ὕδασι, [4] ὁποῖαι καὶ περὶ τὸν Ὠκεανὸν μάλιστα ἱστοροῦνται γίνεσθαι, ἧς πλήμης παράγωγον ἡ πλημμύρα· ἔτι δὲ καὶ ἀπὸ τῆς παρὰ τῷ Ἀθηναίῳ πλημοχόης, ἧς προϋπάρχει ἁπλοῦν ἡ πλήμη. Σκεῦος δέ, φησιν, ἡ πλημοχόη, [5] κεραμεοῦν, βεμβικῶδες, ἑδραῖον ἡσυχῇ. Ἀπὸ τοίνυν τοῦ πλῶ πλήσω, ἐξ οὗ καὶ τὸ πλέθω, [6] πλήμη· καὶ ἐξ αὐτοῦ πλήμνη. Οὕτω δὲ καὶ πόρνη, καὶ μυσάχνη, καὶ Αἴτνη, καὶ ἄλλα, πλεονασμὸν τοῦ ν ἔχειν δεδήλωνται. Σημείωσαι δέ, ὡς ἡ πλήμνη καὶ τόρμη λέγεται, καθὰ δηλοῖ ὁ γράψας· [7] τόρμη, ἡ πλήμνη, εἰς ἣν ὁ ἄξων ἐνήρμοσται, [8] καὶ ὁ ἐν τῷ ἱπποδρόμῳ δὲ δρόμος, ἢ ἡ καμπή, καὶ ὁ ὕσπληξ. Ἔστι δ' ἐνταῦθα προσθεῖναι καὶ [9] τὴν κατὰ Λυκόφρονα τυπωτὴν τοῦ τροχοῦ τόρμαν, ἤγουν αὐλακοειδῆ γραμμήν. Οἴδαμεν δὲ καὶ, ὡς ἡ τῶν Κρητῶν γλῶσσα τόρμαν οἶδεν ἰδίαν, καθ' ὁμοιότητα τῶν ἐνταῦθα, ἧς ὁ προάρχων, [10] τορμάρχης λέγεται παρ' αὐτοῖς. Παυσανίας δὲ ἐκ τῆς τόρμης καὶ [11] ἐκτορμεῖν λέγει, τὸ τοῦ καθήκοντος δρόμου ἐκβαίνειν. Προσενθυμητέον δὲ τοῖς ἀνωτέρω ῥηθεῖσι καὶ, ἃ εἶπον οἱ παλαιοὶ

tur, διὰ τὸ πλήθεσθαι, ἢ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος, *eo quia implentur, ſive replentur ab axe*. Sciendum autem eſt, Homericæ huic πλήμνῃ ineſſe pleonaſmum τοῦ ν, ut ſatis declarat tum ἡ πλήμη, *æſtus accedens*, & *inundatio*, aquarum videlicet, quales ſanè æſtus in Oceano maximè fieri perhibentur, quæ ex voce πλήμη per paragogen derivatur ἡ πλημμύρα, *æſtus maritimus accedens, ſive æſtuantis maris acceſſus*; tum etiam perſpicuè oſtendit ἡ πλημοχόη, *plemochoë, vaſis fictilis genus*, apud Athenæum: quæ eſt vox compoſita ex πλήμη. Vas fictile dicitur Athenæo Plemochoë, in modum turbinis luſorii, molliter ſubſidens. Itaque ex πλῶ πλήσω, *impleo, implebo*, ex quo etiam τὸ πλήθω, *implea*, dicta eſt πλήμη· atque inde πλήμνη, *modiolus, ſive fiſtula rotæ*. Et ſic etiam, ut declaratum eſt, πόρνη, *ſcortum*, & μυσάχνη, *vile, ac deteſtandum ſcortum*, & Αἴτνη, *Ætna*, aliaque id genus, pleonaſmum habent τοῦ ν. Volo porro, obſerves, ut ἡ πλήμνη, *modiolus rotæ*, dicitur etiam τόρμη, *orbita*, ut palam is facit, qui ita ſcribit: τόρμη, *orbita*, ideſt, πλήμνη, *modiolus rotæ*, in quem immiſſus eſt, atque inſertus axis: itemque curſus in Hippodromo, aut flexus equorum circa metam, & carceres. Eſt etiam huc adjicere eam, quam dicit Lycophron, τυπωτὴν τοῦ τροχοῦ τόρμαν, *impreſſam rotâ orbitam*, lineam videlicet in modum ſulci. Neque verò ignoramus, Cretenſium linguâ τόρμαν, *tormam*, notari ſuam ipſorum regionem, ductâ ſimilitudine ab eo, de quo hic agimus, genere orbitarum. cui quidem regioni, ſeu tormæ, is, qui cum imperio præeſt, dicitur apud eos Τορμάρχης, *Tormarcha, ſeu tormæ, aut provinciæ præfectus*. Pauſanias præterea ἐκ τῆς τόρμης, *ex orbitâ*, dicit ἐκτορμεῖν, *exorbitare, ſive extra orbitam excurrere*, ideſt, ex recto curſu excedere, atque aberrare. Deinde etiam, præter hæc, quæ diximus ſupra, ea quoque reputanda ſunt, atque animad-

Ἐνταῦθα δὲ τὸ χοὸς, ὁ μὴ περισπῶται, ἀπὸ τοῦ χοῦς ἐστι. Unde ad Pollucem lib. 4. c. 11. inter alia μέτρων ὀνόματα, ubi perperam vulgò ξεῖς χοὰς πυρῶν, ſcribendum eſt χοᾶς, ποιουμένως. Rectè alibi χοαὶ apud Pollucem lib. 6. c. 14. Προθέσεις, ἐκφοραὶ, ξένια, ὤνια, ξεναπάδες, ἐναγίσματα, χοαὶ, τὰ ἐπιτελούμενα. Sic & in illo Heſychii: χόα, χοα, μέτρον ὑγρόν pro χόα, ſcribendum χοᾶ. Suidas: χοᾶ. χοῦς, μέτρον Ἀττικόν, χωρῶν κοτύλας ἕνδεκα. Diſtincta illa verba a Græcis magiſtris, ὁ χοεὺς, μέτρον Ἀττικόν· αἱ χόες, ἑορτή τις παρ' Ἀθηναίοις· αἱ χοαὶ, ἐγχύσεις, καὶ ἐναγίσματα ἐπὶ ταφαῖς, ἢ σπονδαί. Politus.

1. διὰ τὸ πλήσσεσθαι) f. πλήθεσθαι. Politus.

Nihil movendum reor. Nam duas hic origines Euſtathius refert vocis πλήμνης. unum, ἀπὸ τοῦ πλήσσεσθαι, propterea quòd illæ cavitates, ſeu modioli percutiantur, ſeu feriantur ab axe immiſſo: alteram ἀπὸ τοῦ πληροῦσθαι, ſeu etiam πλήθεσθαι, propterea quòd ab axe repleantur. Salvinus.

Suſpicatus fueram, legendum hic eſſe, διὰ τὸ πλήθεσθαι. quam ſuſpicionem mihi maximè moverant verba paullò poſt Euſtathii: Ἀπὸ τοίνυν τοῦ πλῶ πλήσω, ἐξ οὗ καὶ τὸ πλήθω, πλήμη. Nunc in eâ me ſuſpicione confirmat Etymologus: Πλῆμναι, δι' ὧν ὁ ἄξων ςρέφεται· παρὰ τὸ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος, ἢ παρὰ τὸ πλήθω. Sic eidem Etymologo ἀπὸ τοῦ πλήθω πλήσω, πλήσμα, καὶ πλημμύρα. Sed in verbis ſuperioribus Etymologi notandum illud mirabile, quod alii alibi, in Scholiaſtâ videlicet Homerico, & in Erotiano, notarunt, ſcilicet illud: δι' ὧν ὁ ἄξων ςρέφεται. quo etiam loquendi genere uſus eſt Scholiaſta Homericus: πλῆμναι, αἱ χοινικίδες τῶν τροχῶν, χνόαι, δι' ὧν ὁ ἄξων ςρέφεται. & Erotianus in Dictionar. Hippocr. πλήμνας, τὰς χοινικίδας τοῦ τροχοῦ, δι' ὧν ὁ ἄξων ςρέφεται. Hoc, inquam, mirum viſum eſt valdè mirabile. Neque enim ὁ ἄξων ςρέφεται διὰ τῶν πλημνῶν, ſed αἱ πλῆμναι διὰ τοῦ ἄξονος ςρέφονται. Optimè Pollux: αὐτὸ δὲ τὸ περιειλημμένον τῷ ἄξονι, πλήμνη. Politus.

2. ἢ πληροῦσθαι) Heſychius: πλήμνη ἡ χοινικὶς τοῦ τροχοῦ, ἢ ἡ σύριγξ, ἀπὸ τοῦ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος. Johannes Diaconus ad Heſiodum: πλήμνη ἡ τοῦ τροχοῦ ξύλον, ὡς πληρουμένη ὑπὸ τῶν ἀξονίων. Polit.

3. ἔκ τε τῆς πλήμης τῆς ἐν ὕδασι) Suidas: πλήμη, ἡ πλημμύρα τῆς θαλάσσης. καὶ πλημμυρίς, ἡ ταραχή. Hic Kuſterus: an potius, inquit, πλήσμη; Non puto. Nam & πλήμη ſcribitur Etymologo, & Euſtathius docet, τὸ πλήμνη factum eſſe ex πλήμη, pleonaſmo τοῦ ν· & ſcribendum eſſe πλήμη, non πλῆσμα, oſtendit etiam ἡ πλημμύρα, ſeu πλημμύρα, & πλημμυρὶς, quod eſt παράγωγον τῆς πλήμης· itemque ἡ πλημοχόη, quod eſt compoſitum ex πλήμη. Nec enim dicitur πλησμύρα, nec πλησμοχόη. Scholiaſtæ tamen Apollonii placuit πλήσμη. Politus.

4. ὁποῖαι καὶ περὶ τὸν Ὠκεανὸν μάλιστα ἱστοροῦνται γίνεσθαι) Diodorus Siculus lib. 17. p. 573. οἱ δὲ καταπεπλευκότες ἀπήγγελλον, ἀμπώτεις τε, καὶ πλήμας παραδόξους γίνεσθαι κατὰ τὸν Ὠκεανόν· καὶ κατὰ μὲν τὰς ἀμπώτεις, παραδόξους νήσους τε ἐξῆφθαι, μεγάλας, καὶ πολλὰς ἐπ' ἄκρας τῆς παραθαλαττίου χώρας, κατὰ δὲ τὰς πλήμας ἅπαντας τοὺς προειρημένους τόπους κατακλύζεσθαι. Alii pro πλήμας ſcripſerunt πλημμύρας. Politus.

5. κεραμεοῦν, βεμβικῶδες, ἑδραῖον ἡσυχῇ) Eſt etiam Polluci πλημοχόη, κεραμεοῦν ἀγγεῖον, ὃ ἔχον ὀξὺ τὸ πυθμένα, οὐχὶ ἑδραῖόν τε, καὶ ςάσιμον. Genus id vaſis fictilis vocabant κοτυλίσκον. Polit.

6. πλήμη· καὶ ἐξ αὐτοῦ πλήμνη) Πλήμνη lego apud Galenum in Explicatione τῶν Ἱπποκράτους γλωσσῶν, ubi πλήμνη dicit τροχοῦ χοινικίδα. Eorum conjectura, qui perperam apud Galenum ſcriptum putant πλομὸν, ex hoc Euſtathii loco ſatis redarguitur. Politus.

7. τόρμη) Τόρμος Heſychio, ἡ πλήμνη, εἰς ἣν ὁ ἄξων. ideſt, ἐνήρμοσται, ut ſuppletum ab Euſtathio. Polit.

Forte ἀπὸ τοῦ τέρματος, a *termino*, ſeu διεξοδοτροχίῳ. Salvin.

8. καὶ ὁ ἐν τῷ ἱπποδρόμῳ δὲ δρόμος) Heſychius: τόρμη, ὁ εὐθὺς δρόμος κατὰ τεῖχον. Rectus hic curſus, Græcis ἀκαμπής, ſeu ἀκάμπτος, cui oppoſitus κάμπτος δρόμος. Sed τόρμη eſt etiam ἡ καμπή, ſeu δρόμος κάμπτος. δρόμος videlicet οὐκ εὐθὺς, καὶ ἁπλοῦς, ἀλλὰ καμπὰς ἔχων. Unde corrigendum puto, quod ſequitur in Heſychio: καὶ τροφὴ, καὶ σύμπτας. ubi pro τροφὴ legendum cenſeo καμπή. Nec valde abit Salmaſius, qui legit, ςροφή. Videtur velle Heſychius, τόρμην non curſum modò eſſe rectum ad metam; ſed etiam obliquum, & flexuoſum circa metam: curſum denique univerſum, tam ad metam, cum circa metam, τόρμην vocari. Sed potiſſimum τόρμη, appellata videtur ἡ καμπή, flexus ipſe curſûs circa metam. Unde & meta καμπτήρ, a flectendis circa ipſam equis. Immo & ipſa meta, τόρμη. Eſt enim Suidæ τόρμη, νύσσα, καμπτήρ. & Heſychio ἐκτορμεῖν, idem eſt, atque ἀπὸ τοῦ καμπτῆρος, ἢ τοῦ σύμπαντος δρόμου. Politus.

9. τὴν κατὰ Λυκόφρονα τυπωτὴν τοῦ τροχοῦ τόρμαν) Lycophron:

Ῥαιβῷ τυπωτὴν τόρμαν ἀγκύλῳ βαίνων
Λευρᾶς βαίνων γατομῶν δι' αὔλακας.

Τόρμαν λέγει αὐτὸ χάραγμα, τὸ ἀπὸ τοῦ τροχοῦ. Polit.

10. τορμάρχης) Aliis τορμάρχης, ut ἡ τόρμη, τόρμα. Polit.

Hinc νομάρχαι Straboni apud Ægyptios, quorum terra in nomos dividebatur. παγάρχης in Epiſtolâ quadam S. Baſilii, ideſt, *pagi præfectus*. Salvinus.

11. ἐκτορμεῖν λέγει, τὸ τοῦ καθήκοντος δρόμου ἐκβαίνειν) Suidas: ἐκτορμεῖν, τὸ ἐκ τοῦ καθήκοντος δρόμου ἐκβαίνειν. Polit.

madvertenda, quæ veteres notarunt apud Euripidem ad illud: *σύριγγες τροχῶν, καὶ ἐνήλατα. fiſtulæ rotarum, & clavi*: quippe quum ipſa etiam utilia ſint ſcitu, & peropportuna. Namque σύριγγες, *fiſtulæ*, ut ajunt, parvæ ſunt chœnices, & modioli rotarum; ἐνήλατα verò, clavi, qui in parvas chœnicas, ſeu foramina immittuntur; aut paxilli, rotam exire prohibentes: quæ vocari ajunt ἁμαξηδόνια, *claviculos proprios plauſtrorum*. Atque ita quidem hoc loci pars quædam axis, τὰ ἐνήλατα, *paxilli, aut clavi*. Quanquam apud eumdem Poëtam ſic etiam per homonymiam, ſive per unum, & idem nomen, ſcalarum ἐνήλατα appellentur capita ipſa graduum, quippe quæ lateribus, ac veluti femoribus inſerantur ſcalarum tum militarium, tum ceterarum id genus.

CXCIII. Atque ita quidem Homerus rotas coagmentat: quarum τὰ ἐπίσσωτρα, *canthi, ſeu circuli exteriores*, ſic appellantur διὰ τὸ ἐπιτρέχειν, *eo quia accurrunt, ſive celeriter ſimul deferuntur*, aut παρὰ τὸ σώζειν, *quod eſt ſervare, ſeu conſervare*, tanquam a præpoſitione ἐπὶ, *in, ad, ſuper*, & a verbo σῶ, quod ſignificat concitato impetu feror, aut a σώζω, *ſervo, tueor, cuſtodio, ſalvum facio*. Valent enim canthi ad ſervandum, tuendumque orbem interiorem. Hujuſce tamen ipſius currus axem dicit eſſe ferreum, illis verbis: *σιδηρέῳ ἄξονι ἀμφίς. ad ferreum axem utrinque*. quod perinde eſt, ac ſi diceret, ἀμφοτέρωθεν, *ab utrâque parte*, ut paullò ante notatum eſt. *Sella autem*, inquit, *aureis, argenteiſque loris*, quaſi ſcilicet ex illis contexta eſſet, atque concinnata, *diſtenta erat; binique erant rotundi orbes ſuperiores, temoque argenteus: ad cujus extremitatem pulchrum habebat jugum ex auro, pulchraque, ut dictum eſt, lora jugalia ex auro* Quibus ſanè verbis, ex allegoricâ Demûs explicatione, occultè denotat Poëta naturam aëris: cujus infima circa terram regio, craſſior illa quidem eſt, atque denſior, neque multum habet claritatis, atque ſplendoris, ſicuti neque æs, neque ferrum; ſed tamen aliquid habet lucidi, ac veluti aurei ex ſole, cui aurum eſt attributum. At verò ſuprema ejus regio puriſſima eſt, nulliſque ſordibus obſita, eo quia vacua eſt omnino a nubibus, atque idcirco veluti argentea, & aurea. Sic enim aurum a rubigine contrahendâ alienum eſt, atque ſplendidum. Quare etiam incorruptum, pulchrumque appellatur, pulchraque opera, quæ ex eo conficiuntur. Sciendum autem eſt, in τῷ ἀργυρέοις ἱμᾶσιν, *argenteis loris*, per parachreſin, ſive abuſionem dictum eſſe τὸ ἱμᾶσι, *loris*, ob alterius vocis inopiam. Propriè enim ex pellibus οἱ ἱμάντες, *lora*: ex quibus etiam ἱμάσθλη, *ſcutica, ſeu flagellum loreum*, & ἱμονιά, *funis loreus ad aquam hauriendam*. Idemque etiam intelligendum, cum dicit χρύσεα λέπαδνα, *aurea lora, ſeu aureas avertas*. Λέπαδνα enim propriè, lora lata, quibus equorum colla ad jugum religabantur, a verbo λέπω, quod eſt decortico, ſeu corticem detraho: unde λέπανον, ut ex ξέω, *rado, polio, ſcalpo*, ξόανον, *ſignum ſculptile, ſeu ſimulacrum*, & ex κόπτω, *tunda, ſeu pinſa*, κόπανον, *piſtillum*: pleonaſmoque

τῦ

λαμοὶ παρ' Εὐριπίδῃ ἐν τῷ, [1] σύριγγες τροχῶν, καὶ ἐνήλατα, ὡς χρήσιμα πρὸς εἴδησιν καὶ αὐτά. Φασὶ γὰρ, ὅτι σύριγγες, χοινικίδες, πλῆμναι· ἐνήλατα δὲ, τὰ [2] ταῖς χοινικίσιν ἐμβαλλόμενα, ἢ πασσαλίσκοι, κωλύοντες ἐξιέναι τὸν τροχὸν, τὰ καλούμενα, φασὶν, [3] ἁμαξηδόνια. Καὶ οὕτω μὲν ἐν τούτοις ἄξονός μέρος τι, τὰ ἐνήλατα· λέγεται δὲ παρὰ τῷ αὐτῷ Ποιητῇ οὕτω, καθ' ὁμωνυμίαν, [4] καὶ κλιμάκων ἐνήλατα τὰ τῶν βαθμίδων ἄκρα, ὡς ἐνειρόμενα τοῖς μηροῖς τῶν κλιμάκων τῶν τε πολεμικῶν, καὶ τῶν αὐταῖς ὁμοίων.

ρ ϟγ΄. Καὶ οὕτω μὲν Ὅμηρος καθήρτισε τοὺς τροχούς· ὧν τὰ ἐπίσσωτρα οὕτω λέγονται διὰ τὸ ἐπιτρέχειν, ἢ παρὰ τὸ σώζειν, ὡς ἀπὸ τῆς ἐπὶ προθέσεως, καὶ τοῦ σῶ τὸ ὁρμῶ, ἢ τοῦ σώζω. Σωστικοὶ γὰρ τῆς ἔσω περιφερείας εἰσὶν οἱ κανθοί. Τὸν μέντοι τοῦ ἅρματος τούτου ἄξονα, σιδήρεον εἶναι λέγει, εἰπών· σιδηρέῳ ἄξονι ἀμφίς, ταυτὸν δ' εἰπεῖν, ἀμφοτέρωθεν, ὡς πρὸ ὀλίγων ἐρρέθη. Δίφρος δὲ, φησὶ, χρυσέοισι, καὶ ἀργυρέοισιν ἱμᾶσιν, ὡς οἷα δι' ἐκείνων πλεκτὸς, ἐντέταται. δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσι, καὶ ῥυμὸς ἀργύρεος. ἐπ' ἄκρῳ δὲ εἶχε χρύσεον ζυγὸν καλὸν, καὶ λέπαδνα, ὡς ἐρρέθη, καλὰ χρύσεα. Αἰνίττεται δὲ ταῦτα, κατὰ τὴν ἀλληγορίαν τῆς Δημοῦς, εἰς τὴν τοῦ ἀέρος φύσιν ὁ Ποιητής· οὗ τὰ μὲν περὶ γῆν πεπάχυνται, καὶ οὐ πολὺ μὲν ἔχουσι τὸ λαμπρὸν, ὡς οὐδὲ ὁ χαλκὸς, οὐδὲ ὁ σίδηρος· ἔχουσι δ' ὅμως καί τι φαεινὸν, καὶ οἷον χρύσεον ἐξ ἡλίου, ᾧ οἰκείωται ὁ χρυσός. Τὰ δὲ ἀνωτάτω καθαρώτατά εἰσι, καὶ ἀρρύπαντα, διὰ τὸ πάντη ἀνέφελον, καὶ διὰ ταῦτα, οἷον ἀργυρᾶ, καὶ χρυσᾶ. Οὕτω γὰρ καὶ ὁ χρυσὸς ἰοῦ ἀνεπιδεκτός ἐστι, καὶ λαμπρός. διὸ καὶ ἄφθιτος, [5] καὶ καλὸς λέγεται, καὶ τὰ ἐξ αὐτοῦ ἔργα καλά. *Baſ. p. 456.*
Ἰστέον δὲ, ὅτι καὶ ἐν τῷ, ἀργυρέοις ἱμᾶσι, *Rom. p. 599.*
παράχρησιν ἔχει τὸ ἱμᾶσι, δι' ἀπορίαν ἄλλης λέξεως. Κυρίως γὰρ ἀπὸ δερμάτων οἱ ἱμάντες· ἐξ ὧν καὶ ἱμάσθλη, καὶ ἱμονιά. Τὸ δ' αὐτὸ νοητέον καὶ εἰς τὰ χρυσᾶ λέπαδνα. Λέπαδνα γὰρ κυρίως, [6] πλατεῖς ἱμάντες, οἷς ἀνεδέσμευντο οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸν ζυγόν· παρὰ τὸ λέπω τὸ λεπίζω λέπανον, ὡς [7] ξέω ξόανον, καὶ κόπτω κόπανον,

καὶ

1. σύριγγες ἵππων) lege mecum, σύριγγες τροχῶν. Sic enim Euripides in Hippolyto v. 1234.

σύριγγές τ' ἄνω
Τροχῶν ἐπήδων, ἀξόνων τ' ἐνήλατα.

Pollux: τὸ δὲ κοῖλον τοῦ τροχοῦ τὸ ἐναρμοζόμενον τῷ ἄξονι, σύριγξ. Politus.

2. ταῖς χοινικίσι) nempe τοῦ ἄξονος. Scholiaſtes Euripidis: τὰ ἐμβαλλόμενα πρὸς τῷ ἄξονι, ὥστε μὴ ἐξιέναι τὸν τροχόν. Polit.

3. ἁμαξηδόνια) Euripidis Scholiaſtæ ἁμαξηδόνια ἔχει. Polit.

4. καὶ κλιμάκων ἐνήλατα τὰ τῶν βαθμίδων ἄκρα) Euripides Phœniſſis:

Κλίμακος ἀνεῖβαινε ξεστ' ἐνήλατα βάθρα.

Ἐνήλατα ibi Scholiaſtæ τὰ ὀρθὰ ξύλα, ὅθεν πήγνυνται, καὶ ἐλαύνονται τὰ βάθρα τῆς κλίμακος. Politus.

5. καὶ καλὸς λέγεται) Hinc aurea Venus Poëtis dicitur, ideſt, pulchra. Salvin.

6. πλατεῖς ἱμάντες, οἷς ἀνεδεσμοῦντο οἱ τράχηλοι τῶν ἵππων) Heſychius: Λέπαδνα (ſic enim legendum, non λεπαδεῖα) ἱμάντες πλατεῖς, οἷς ἀναδοῦνται οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸ ζυγόν. Politus.

7. ξέω ξόανον) ξόανον propriè ſimulacrum ligneum. Servius. Ammonius. Salvinus.

Digitized by Google

¹ καὶ πλεονασμῷ τοῦ δ', λέπαδνον. ² Τινὲς δὲ λέπαδνα, τοὺς μασχαλιστῆρας φασίν.

ρϟδ'. Ἐνταῦθα δὲ σημείωσαι καὶ, ὅτι τὰ ἔκφρασιν θειοτέρου ἅρματος Ὅμηρος πεποίηται, οἷα μὴ θελήσας εἰς εὐτελὲς ἅρμα, καὶ θνητὸν αὐτὸν ἀπασχολῆσαι, καὶ ὅτι μέρη ἅρματος προέθετο διασκευαστικῶς διδάξαι, ἅ εἰσι, τὰ κύκλα, ὁ ἄξων, καὶ τὰ ἑξῆς, ἵνα καὶ τῶν τοιούτων ἐπιστήμων εἴη ὁ ἀκροατὴς, διὰ πολυμάθειαν. Οὐχ ὑπόκειται δέ τι ξύλον τῷ τῆς Ἥρας ἅρματι. θεῖον γάρ ἐστιν. ³ ὅθεν οὐδὲ ὁ Ἥφαιστος ἀπὸ ξύλων σκευάζει τὰ Ὀλύμπια δώματα. Ὑπηρετικὴ δὲ καὶ ἐνταῦθα ἡ Ἥβη. Καὶ Ἥρη μὲν περὶ τοὺς καὶ ἀλλαχοῦ κειμένους χρυσάμπυκας ἵππους· Ἥβη δὲ περὶ τὸ ἅρμα ποιεῖται. Ἔνθα ἑνὸς μὲν στίχου πρόκειται τὸ, Ἥρη· ἑτέρου δὲ τὸ, Ἥβη. ὅπερ ἔχει τι κάλλους, διὰ τὸ ἰσοφωνεῖν, παρὰ γράμμα ἕν, τὴν Ἥβην, καὶ τὴν Ἥρην. καθάπερ ἴσως καὶ τὸ, ἤτοι χρυσέη ἴτυς, διὰ τὴν ἐν αὐτῷ ⁴ ψευδοπαρήχησιν τοῦ, ἤτοι, καὶ τοῦ, ἴτυς. Ἰστέον δὲ καὶ, ὅτι τὸ, ἔντυεν ἵππους, ὅ ἐστιν, εὐτρέπιζεν, ὥπλιζεν, ὡς ἀπὸ τοῦ ⁵ ἔντεα τὰ ἁπλῶς ὅπλα τῶν ἐν ἀνθρώποις ἔργων, ἤτοι ὄργανα, οὐκ θέματός ἐστι τοῦ ἐντύω, ⁶ ἐξ οὗ τὸ ἐντύνω, κατὰ τὸ θύω θύνω. ⁷ Τὸ δὲ πρέσβα, συγκέκοπται, ὡς ἀλλαχοῦ δηλαδή. Τοῦ δὲ καμπύλα κύκλα, προϋπάρχουσιν οἱ καμπύλοι κύκλοι, ⁸ ἐξ ὧν αὐτὰ μεταπλάσθη. ὡς καὶ τοῦ τράχηλα, καὶ λύχνα, καὶ δόρπα, καὶ ταρσά, οἱ τράχηλοι, καὶ οἱ λύχνοι, καὶ οἱ δόρποι, καὶ οἱ ταρσοί. Περὶ δὲ ἄντυγος, σημείωσαι, ὡς οὐ μόνον ⁹ ἐπὶ ἅρματος ἡ λέξις, ἀλλὰ καὶ ἐπὶ ζυγοῦ κιθάρας, κατὰ τοὺς παλαιοὺς, ἢ πήχεως. καθὸ σημαινόμενον ¹⁰ ἄντυγα χορδῶν Εὐριπίδης φησὶν ἐν Ἱππολύτῳ. ἔνθα κεῖται καὶ ἀρβύλη, οὐκ ἐπὶ ὑποδήματος, ἀν τῷ,

Αὐταῖσιν ¹¹ ἀρβύλῃσιν ἁρμόσας πόδα.

αἱ

τοῦ δ', λέπαδνον, *lorum latum*. Quamquam aliqui λέπαδνα, lora ea intelligent, quæ ſunt circa alas, ſive armos equorum.

CXCIV. Verùm hic obſerva, Poëticam divini currus deſcriptionem Homerum adornaſſe, perinde quaſi nollet ſemet ipſe applicare ad vilem, ac mortalem currum; itemque propoſitum ei fuiſſe, narratione quadam artificioſâ partes currus docere, atque explicare, quæ quidem ſunt, rotæ, axis, reliquæque omnes partes: ut ſcilicet auditor iſtarum quoque rerum ſcientiam, ad multam variamque eruditionem, hauriret. Neque *verò* ligni quidquam ſubeſt in Junonis curru. Eſt enim currus divinus. Unde neque etiam Vulcanus cœleſtes domos ex lignis ædificat. Atque hic etiam Hebe in miniſteriis obeundis occupata. Sicuti enim Juno in equos, quos & alibi legimus χρυσάμπυκας, *phaleris aureis ornatos*; ſic Hebe in currum operam laboremque ſuum impendit. Ubi unius quidem verſus initio poſitum eſt τὸ Ἥρη, *Juno*; alterius verò τὸ Ἥβη, *Hebe*. Quod habet quidem neſcio quam pulchritudinem, atque elegantiam, eo quia, demptâ unâ litterâ, æquè ſonat ἡ Ἥβη, *Hebe*, atque ἡ Ἥρη, *Juno*. ſicuti etiam fortaſſe τὸ, ἤτοι χρυσέη ἴτυς, *certè aureum orbile*, propter falſam illam, & ementitam parechesin, quam ibi inter ſeſe habent τὸ ἤτοι, *certè*, & τὸ ἴτυς, *orbile*, *ſeu orbis rotarum*. Ad hæc ſciendum, illud, ἔντυεν ἵππους, *parabat equos*, hoc eſt, inſtruebat, apparabat, tamquam ab ἔντεα, *arma*, quæ generatim ſunt inſtrumenta, quibus homines ad facienda opera utuntur, ſive organa, eſſe a themate ἐντύω, *paro*, *apparo*, *inſtruo*, ex quo τὸ ἐντύνω, *paro*, *orno*, ut τὸ θύω, *cum impetu eo*, & θύνω, *ſubeo*, *ingredior*. Τὸ πρέσβα, *veneranda*, *venerabilis*, *honorabilis*, contractum eſt per ſyncopen, ut nimirum alibi. Τοῦ καμπύλα κύκλα, *curvos circulos*, *ſeu orbes rotarum*, primitivum nomen eſt οἱ καμπύλοι κύκλοι, *curvi circuli*, *ſive orbes*, ex quo facta per metaplaſmum κύκλα, *orbilea*. Sicuti etiam per metaplaſmum ſunt τὰ τράχηλα, *colla*, & λύχνα, *lychni*, *ſeu lucernæ*, & δόρπα, *cœnæ*, & ταρσά, *plantæ pedum*: quorum nomina primitive, οἱ τράχηλοι, οἱ λύχνοι, οἱ δόρποι, οἱ ταρσοί. Ceterùm de hac voce ἄντυξ, *ambitus*, *orbis*, *gyrus*, obſerva, hanc ipſam vocem non de curru modò uſurpari; ſed etiam, ſecundùm veteres, de jugo citharæ, aut cubito. quo quidem ſignificatu dicit Euripides in Hippolyto ἄντυγα χορδῶν, *orbem chordarum*. ubi legitur etiam ἀρβύλη, *hemicyclus*, longè alio ſignificatu, quàm calceamenti, in illis verbis: Αὐταῖσιν ἀρβύλῃσιν ἁρμόσας πόδα. *in ipſis hemi-*

1. καὶ πλεονασμῷ τοῦ δ', λέπαδνον) Etymologici Magni Auctor: πλεονάζει δὲ τὸ δ', ὡς [illegible], ἀπὸ λέπω λέπανον, καὶ λέπαδνον. Polit.

2. Τινὲς δὲ λέπαδνα, τοὺς μασχαλιστῆρας φασίν) Etymologici Magni Auctor: Λέπαδνα, οἱ ὑπὸ τῶν ἵππων στηθῶν ἱμάντες, οἱ μασχαλιστῆρες. Suidas: Λέπαδνα, οἱ μασχαλιστῆρες τῶν ἵππων, ἢ στηθιαῖοι λῶροι. Pollux tamen λέπαδνα facit alia, atque τοὺς μασχαλιστῆρας. Τὰ δὲ ἀπὸ τῶν ζυγῶν ἀπηρτημένα, τὰ ὑπὸ τοὺς αὐχένας τῶν ἵππων ἐλαυνόμενα, λέπαδνα, ὡς τὰ ἄκρα, λεπαδνιστῆρες. τὰ δὲ ὑπὸ τοὺς ὤμους τῶν ἵππων, μασχαλιστῆρες. Politus.

3. ὅθεν οὐδὲ ὁ Ἥφαιστος ἀπὸ ξύλων σκευάζει τὰ Ὀλύμπια δώματα) Cœlum χαλκοβατὲς δῶ, ait Homerus. idest, aeream ſublimem domum. Salvinus.

4. ψευδοπαρήχησιν τοῦ, ἤτοι, καὶ τοῦ, ἴτυς) Etœ, & Itus nullam habent aſſonantiam reverà. habent autem in vulgari pronuntiatione Græcorum. Salvin.

5. ἔντεα τὰ ἁπλῶς ὅπλα τῶν ἐν ἀνθρώποις ἔργων) Unde & apud Homerum ἔντεα δαιτὸς τὰ σκεύη. Heſychius: ἔντεα δαιτὸς, σκεύη. [illegible]. Politus.

6. ἐξ οὗ τὸ ἐντύνω) Sic ἀνύω, & ἀνύνω, *perficio*. Salvin.

7. Τὸ δὲ πρέσβα, συγκέκοπται) Sic πότνια, & πότνα apud Homerum. Salvinus.

Etymologici Magni Auctor: Πρέσβα, θεά. πρεσβυτάτη, ἐντιμοτάτη· ἀπὸ τοῦ πρέσβος, κατὰ συγκοπήν. Politus.

8. ἐξ ὧν αὐτὰ μεταπλάσθη) Etymologici Magni Auctor: τὸ δὲ κύκλα, ὃ σημαίνει τοὺς τροχούς, κατὰ μεταπλασμὸν ἐγένετο ἀπὸ τοῦ κύκλος, κύκλα, ὡς ταρσὸς ταρσά. Polit.

9. ἐπὶ ἅρματος ἡ λέξις) Polluci etiam inter partes currus, ἄντυξ. Heſychius: ἄντυξ, ἅρματος περιφέρεια. Suidas: ἄντυγες, αἱ περιφέρειαι τῶν ἁρμάτων. Etymologo ἄντυξ, ἡ ἀνωτάτω [illegible] τοῦ ἁρματείου δίφρου. Ubi pro [illegible] legendum puto περιφέρεια. Politus.

10. ἄντυγα χορδῶν Εὐριπίδης φησὶν ἐν Ἱππολύτῳ) Euripides in Hippolyto:

Μοῦσα δ' ἄϋπνος ὑπ' ἄντυγι χορδᾶν λήξει.

Ubi Scholiaſtes τὸν ζυγὸν δὲ τῆς κιθάρας ἄντυγα καλεῖ, [illegible], ὁ δὲ, ἄϋπνος, φησὶν, ὑπὸ τῶν χορδῶν [illegible] λήξει. Politus.

11. ἀρβύλῃσιν) Frobenius, ἀρβυλαισιν. ut & ego olim in margine libri mei emendaveram. Sed legendum ἀρβύλῃσιν, quomodo etiam legit apud Euripidem Etymologus. Euripides Hippolyto:

Μώνυχα δὲ χερσὶν ἡνίας ἀπ' ἄντυγος,
Αὐταῖσιν ἀρβύλῃσιν ἁρμόσας πόδα.

Ibi Scholiaſta ἀρβύλας exponit τὰς τοῦ ἅρματος περὶ τὴν ἄντυγα, ὅπου [illegible] ὁ ἡνίοχος. Hinc eſt, quod notat hic Euſtathius, τὰς ἀρβύλας ſignificare apud Euripidem τὸ περὶ τὴν ἄντυγα τοῦ ἅρματος μέρος. ubi ſcilicet ſtatio aurigæ. Sed ibi ἀρ-

mieyelis aptè collocant pedem. quæ quidem ἀρβύλαι denotant partem currus περὶ τὴν ἄντυγα, *circa orbem ſellæ curulis*: ubi, ut ajunt, ſtare ſolitus auriga. Conſtat autem, quod ad ſignificationem quidem attinet, idem eſſe dicere ἄντυγα, *ambitum*, atque ἴτυν, *orbem*, & κύκλον, *circulum*, genere virili, aut neutro, & ἀψῖδα, ſeu ἄψιν, *curvaturam*. Itemque conſtat, dictam quoque per metaphoram reperiri cœli ἄντυγα, *ambientem rotunditatem*, quemadmodum etiam ἀψῖδα, *abſidem*, *ſeu fornicem*.

αἳ δηλοῦσι τὸ περὶ τὴν ἄντυγα τοῦ ἅρματος μέρος· ἔνθα, φασίν, ἡ τοῦ ἡνιόχου στάσις ἐστί. Δῆλον δέ, ὅτι τὸ εἰς ἓν ἥκει ἐννοίας ἄντυγα, καὶ ἴτυν, καὶ κύκλον, ἀρσενικῶς, ἢ οὐδετέρως, καὶ ἀψῖδα, ἢ ἄψιν εἰπεῖν, καὶ ὅτι καὶ οὐρανοῦ ἄντυξ, ὥσπερ καὶ ἀψίς, εὕρηται τροπικώτερον.

Verùm Minerva, Jovis Ægiochi filia,
Peplum diffudit pulchrum ſuper pavimentum patris
Varium, quem ipſa fecerat, manibuſque elaboraverat;
Loricamque quum induiſſet Jovis cogentis nubes,
Armis inſtructa eſt ad pugnam lacrymoſam.

Αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
Πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει
Ποικίλον, ὅν ῥ' αὐτὴ ποιήσατο, καὶ κάμε χερσίν.
Ἡ δὲ χιτῶν' ἐνδῦσα Διὸς νεφεληγερέταο,
Τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.

CXCV. Diffudit Minerva peplum pulchrum, ac varium ſuper pavimentum patris: quem quidem peplum ipſa ποιήσατο, καὶ κάμε χερσί. *fecerat*, *& elaboraverat manibus*. hoc eſt, καμοῦσα ἐποίησε, *cum labore fecerat*. quumque Jovis loricam induiſſet, ſic ad pugnam eſt armata. Et hoc quidem loci ponunt veteres aſteriſcum, quæ eſt nota ſtellæ decuſſata, appoſitis punctis ad quaternos angulos, ad hunc modum ·※· adhibeturque ad verſus omnium optimos, atque præſtantiſſimos, quique, ſtellarum quodammodo inſtar, relucent, quippe quòd illuſtri in loco ſint commodùm collocati. Docent etiam, rectè hic, & opportunè facere Poëtam, ut hæc iſta commemoret: tametſi non ſatis commodè id præſtet in Pugnâ Mancâ, videlicet in libro θ', eo quia nullum ibi ſpecimen dat Minerva magnæ fortitudinis ſuæ. Κόλον autem Μάχην, ſive κολοβήν, *Pugnam Mancam*, *ſeu Mutilatam*, vocant librum θ', eâ ipſâ de cauſſâ, quam ibi ſumus expoſituri. Eſt hic etiam peplus, tunica muliebris, quam minimè certè induebant, ſed fibulâ ſubſtringebant: ſublatâque hac fibulâ, videtur ipſe peplus ad terram defluxiſſe. Quare & Homerus ita hic loquitur: Πέπλον ἑανόν, *peplum pulchrum*, de quo ſupra dictum eſt, κατέχευεν ἐπ' οὔδει, *diffudit ſuper pavimentum*. Ac rurſus τὸ κατέχευε, *diffudit*, pepli mollitiem oſtendit. Oritur autem hæc vox a verbo πρέπω, *decorus ſum*, unde πρέπαλος, ideſt, decorus, excellens, eximius, atque ſplendidus; & per aphæreſin πέπαλος, denique per ſyncopen πέπλος. Quamquam etiam ὁ πέπλος, *peplus*, uſurpatur aliquando de indumento virili, ut planum alicubi facit Euripides; nec non Sophocles in Trachiniis, qui tunicam Herculis, quam Deianira venenato Neſſi cruore

ρ λε΄. Ἀθηνᾶ πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει ποικίλον, ὅν ῥ' αὐτὴ ποιήσατο, καὶ κάμε χερσί. τουτέστιν, ὃν καμοῦσα ἐποίησεν. ἐνδῦσα δὲ τὸν τοῦ Διὸς χιτῶνα, ἐθωρήσσετο εἰς πόλεμον. Καὶ τιθέασιν ἐνταῦθα οἱ παλαιοὶ ἀστερίσκον, ὅς ἐστιν ἀστέρος σημεῖον χιαστόν· ἔχων ἐν ταῖς τέσσαρσι γωνίαις στιγμάς, οὕτω ·※· καὶ τίθεται ἐπὶ τῶν ἄριστα ἐχόντων ἐπῶν, καὶ ἀστεροειδῶς οἱονεὶ λαμπόντων, ὡς ἐν καλῷ τόπῳ κειμένων. Καὶ λέγουσιν, ὅτι ἐνταῦθα μέν, καλῶς ταῦτα λέγει, καὶ κατὰ καιρὸν ὁ Ποιητής· ἐν δὲ τῇ Κόλῳ Μάχῃ, ἤγουν τῇ θ' ῥαψῳδίᾳ, οὐ δεόντως. ἀριστεία γὰρ ἐκεῖ τῆς Ἀθηνᾶς μεγάλη οὐ φαίνεται. Κόλον δὲ Μάχην, ἤτοι κολοβήν, τὴν θ' ῥαψῳδίαν καλοῦσι, διὰ τὴν ἐκεῖ ῥηθησομένην αἰτίαν. Ἔστι δὲ πέπλος καὶ ἐνταῦθα [1] γυναικεῖος χιτών, ὃν οὐκ ἐνεδύοντο, ἀλλ' ἐπερονῶντο· καὶ τῆς περόνης ἀρθείσης, καταῤῥέων αὐτὸς εἰς τὸ ἔδαφος φαίνεται. Διὸ καὶ Ὅμηρος ἐνταῦθά φησι· Πέπλον ἑανόν, περὶ οὗ προείρηται, κατέχευεν ἐπ' οὔδει. Καὶ ἄλλως δὲ τὸ κατέχευε, τὴν τρυφερότητα τοῦ πέπλου δηλοῖ. [2] Γίνεται δὲ παρὰ τὸ πρέπω πρέπαλος ὁ ἐκπρεπής, καὶ λαμπρός. καὶ ἀφαιρέσει πέπαλος, καὶ συγκοπῇ πέπλος. Ὅτι δέ ποτε καὶ ἐπὶ ἀνδρείου ἱματίου ὁ πέπλος τίθεται, [3] δηλοῖ που Εὐριπίδης· καὶ Σοφοκλῆς δὲ ἐν Τραχινίαις, ὃς τὸν Ἡρακλέους χιτῶνα, [4] ὃν ἔβαψε Δηϊάνειρα τῷ ἐκ Νέσσου φαρ-

ἀρβύλας Etymologus intelligit εἶδος ὑποδήματος τετρωτὰς ἀργασμένον. Genus hoc calceamenti Scholiaſta Euripidis ad Oreſtem dicit εἶδος ὑποδήματος γυναικεῖον κοῖλον, καὶ βαθύ. Derivat autem Etymologus τὸ ἀρβύλη παρὰ τὸ ἁρμόζεσθαι τοῖς ποσίν. Unde ἁρμύλα, indeque ἀρβύλη. Politus.

1. γυναικεῖος χιτών, ὃν οὐκ ἐνεδύοντο, ἀλλ' ἐπερονῶντο) In re veſtiariâ muliebri adnumerat etiam Pollux peplum: cujus duplicem uſum agnoſcit, ὡς ἐνδύσασθαί τε, καὶ ἐπιβάλλεσθαι. Καὶ ὅτι μὲν ἐπίβλημά ἐστι, μαρτυρεῖ [illegible] τῆς Ἀθηνᾶς πέπλον. ὅτι δὲ καὶ χιτών, ὅταν εἴπῃ Ξενοφῶν· Περιπεπορπημένον τὸν πέπλον. παραφαίνει γὰρ τόπον καὶ τὰ στέρνα. Ex altero uſu, quia ſcilicet etiam induebatur, dicitur peplus ἔνδυμα γυναικεῖον. Heſychius: Πέπλον, ὁ πέπλος, ἱμάτιον, ἢ ἔνδυμα γυναικεῖον. Suidas: ἔστι δὲ ὁ πέπλος γυναικεῖον ἔνδυμα. Politus.

2. Γίνεται δὲ παρὰ τὸ πρέπω) Etymologici Magni Auctor: ὁ παρὰ τὸ πρέπω πρέπαλος, καὶ συγκοπῇ, πέπλος. Politus.

3. δηλοῖ που Εὐριπίδης) Cyclops ille Euripideus:
Ἔπινον γάλακτος ἀμφορέα, πέπλον
Κρούω, Διὸς βρονταῖσιν εἰς ἔριν κτυπῶν.
Sic & ἐπὶ ἀνδρείου ἱματίου ὁ πέπλος τίθεται apud Xenophontem. Pollux: ὁ δ' αὐτὸς Ξενοφῶν καὶ ἀνδρεῖον εἶναι φόρημα οἴεται τὸν πέπλον. ὁ γὰρ Ἀρμένιος ἔφη κατασχίσασθαι τοὺς πέπλους. [illegible], inquit Pollux, [illegible] οἱ βάρβαροι καὶ ταῖς θηλυπρεπεστέραις τῶν ἐσθήτων ἐχρῶντο. Indicarunt jam alii locum Xenophontis de Tigrane Armenii filio e libro 3. De Inſtit. Cyri. *Politus*.

4. ὃν ἔβαψε Δηϊάνειρα τῷ ἐκ Νέσσου φαρμάκῳ) Deianira illa Sophoclea in Trachiniis: Χιτῶνα τόνδ' ἔβαψα, προσβαλοῦσ', ὅσα Ζῶν κεῖνος εἶπε. Polit.

Digitized by Google

Rom. p.600. Φαρμάκῳ, καὶ [1] εὐαφῆ πέπλον λέγει, [2] καὶ καινὸν πέπλωμα, [3] καὶ ἐνδυτῆρα πέπλον, [4] καὶ θανάσιμον πέπλον. Ὁ μέντοι ῥηθεὶς ἐν τοῖς περὶ Πανδάρου πέπλος, καὶ ἡ ἐπ' αὐτῷ ἐτυμολογία, ἑτεροιοῦνται πρὸς τὰ ἐνταῦθα, ὡς ἐκεῖ δεδήλωται. Σημείωσαι δὲ, ὅτι καὶ ὁ τοῦ Διὸς χιτὼν, ὡς οἷά τι τεῦχος, ἤτοι ὅπλον, ὑπόκειται εἶναι. Διό φησιν· Ἡ δὲ, χιτῶνα ἐνδῦσα Διὸς, τεύχεσιν εἰς πόλεμον θωρήσσετο. καὶ αὐτοῖς, οὐ τομοῖς τισιν, ἀλλ' ἢ σειστοῖς, κατὰ τὸ, ἐρεμνὴν ἐπισείει αἰγίδα, καὶ δυναμένοις βλάπτειν ἐν μόνῳ τῷ σείεσθαι, ἢ δεινοῖς, καὶ σμερδνοῖς, καὶ τῇ θέᾳ, καὶ μόνῃ, βλάπτουσιν. Ὅρα δὲ καὶ, [5] ὡς κοινὰ τὰ τοιαῦτα τῷ Διῒ, καὶ τῇ Ἀθηνᾷ, μυθικῶς μὲν, διὰ τὸ φιλτάτην εἶναι αὐτὴν τῷ Διῒ. κοινὰ δὲ τὰ τῶν φίλων. ἀλληγορικῶς δὲ, διὰ τὸ τῆς φρονήσεως Ἀθηνᾶς οἰκεῖον πρὸς Δία νοῦν. Τὸ δὲ, πατρὸς ἐπ' οὔδει, πρὸς διαστολὴν ἔφη. Οὐ γὰρ ἁπλῶς εἰς ἔδαφος ἔχευεν, ἀλλ' εἰς τὸ τοῦ Διός. Ὅτι δὲ, καθάπερ [6] ὕδας καὶ ὕδος, οὕτω καὶ οὖδας οὖδος, πολλαχοῦ δηλοῦται. Οὕτω καὶ [7] δέρας δέρος. οἷον, [8] πάγχρυσον δέρος. [9] καὶ γῆρας γῆρος. ἐξ οὗ [10] τὸ γηροβοσκήσειν παρ' Εὐριπίδῃ, [11] καὶ τὸ γηροβοσκὸς παρὰ Σοφοκλεῖ, [12] ἐν συστολῇ τοῦ ο. εἰ καὶ οἱ μετ' αὐτοὺς ἐκτείνουσιν ἐν τοῖς τοιούτοις τὴν ρω συλλαβὴν, ἀπὸ γενικῆς Ἀττικῆς τοῦ γήρως.

re inſecerat, vocat εὐαφῆ πέπλον, *mollem peplum*, itemque καινὸν πέπλωμα, *novum peplum*, & ἐνδυτῆρα πέπλον, *peplum commodum ad induendum*, & θανάσιμον πέπλον, *lethalem peplum*. Peplus tamen ille, de quo diximus, cum de Pandaro, & tradita de eo etymologia, alterius ſunt modi, atque ea, quæ hic afferuntur, ut eſt ibi declaratum. Ceterùm obſerva, ut Jovis tunica ponitur eſſe veluti inſtrumentorum quoddam bellicum, ſive armatura. Quocirca ſic ait: Ἡ δὲ, χιτῶνα ἐνδῦσα Διὸς, τεύχεσιν ἐς πόλεμον θωρήσσετο. *Illa verò, quum Jovis tunicam induiſſet, armis ad pugnam armabatur:* iiſque non acutis, aptiſque ad cædendum; ſed aut armis, quæ quaſſari poſſent, atque concuti, ſecundùm illud: ἐρεμνὴν ἐπισείει αἰγίδα. *tenebricoſam incutit ægidem:* quæque vim nocendi haberent, ſi vel duntaxat concuterentur; aut armis terribilibus, horroremque incutientibus, quæque ipſo ſui conſpectu, eoque ſolo, nocumentum inferrent. Ad hæc vide, communia eſſe hæc iſta arma Jovi, & Minervæ, fabulosè quidem, propterea quòd eſt ea maximè in amoribus Jovi. Communia autem ſunt ea, quæ ſunt amicorum, ſeu eorum, qui inter ſeſe amant. allegoricè verò, propter prudentiæ, quæ Minerva eſt, familiaritatem, atque neceſſitudinem cum intelligentiâ, quam Juppiter ſignificat. Diſtinctionis porrò cauſsâ dicit illud: πατρὸς ἐπ' οὔδει. *patris ſuper pavimentum*, Non enim generatim in pavimentum, ſive in ſolum, diffudit, ſed in pavimentum Jovis. Porro autem, quemadmodum multis in locis conſtat, ut ὕδας dicitur, & ὕδος, *aqua*; ſic etiam οὖδας, οὖδος, *ſolum, ſeu pavimentum*. Et ſic δέρας, δέρος, *pellis*. ut πάγχρυσον δέρος. *tota aurea pellis*. & γῆρας, γῆρος, *ſenectus*. unde τὸ γηροβοσκήσειν, *nutriturum eſſe in ſenectute*, apud Euripidem; itemque τὸ γηροβοσκὸς, *is, qui unum aliquem nutrit in ſenectute*, apud Sophoclem, contractâ ſyllabâ per ο breve: tametſi poſteriores ſcriptores in nominibus hujuſcemodi producant ſyllabam ρω, a genitivo Attico γήρως, *ſenectutis*.

Baſ. p.457. Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετ' αἰγίδα θυσσανόεσσαν
Δεινὴν, ἣν περὶ μὲν πάντῃ φόβος [13] ἐστεφάνωτο.
Ἐν δ' ἔρις, ἐν δ' ἀλκὴ, ἐν δὲ κρυόεσσα ἰωκή.
Ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου
Δεινή τε, σμερδνή τε, Διὸς τέρας αἰγιόχοιο.
Κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην θέτο τετραφάληρον
Χρυσείην, ἑκατὸν πολίων πρυλέεσσ' ἀραρυῖαν.

Humeris igitur circumpoſuit ægidem fimbriatam
Terribilem, quam undique timor circumdederat.
Ibi contentio, ibi fortitudo, ibi atrox inſectatio.
Ibi & Gorgonium caput diri monſtri
Dirumque, horrendumque, Jovis portentum Ægiochi.
Capiti verò clavatam undique galeam impoſuit, quatuor clavis,
Auream, urbium centenarum militibus ſufficientem.

ρϟϛʹ. Τὴν αἰγίδα τῆς Ἀθηνᾶς, ἣν καὶ θυσσανόεσσαν λέγει, [14] ὅ ἐστι κροσσωτὴν (θύσανοι γὰρ, [15] οἱ διὰ τοῦ ο μικροῦ γραφόμενοι κροσ-

CXCVI. Ægidem Minervæ, quam & θυσσανόεσσαν, *fimbriatam*, vocat, hoc eſt, κροσσωτὴν, *villis prætextam* (θύσανοι namque, *i. e. fimbriæ*, ipſi ſunt κροσσοὶ, *villi extremæ oræ appoſiti*, quorum vide-

1. εὐαφῆ πέπλον λέγει) εὐυφῆ πέπλον Sophocles in Trachiniis:
ὅπως φέρῃς μοι τόνδε γ' εὐυφῆ πέπλον
δώρημ' ἐκείνῳ τἀνδρὶ τῆς ἐμῆς χερός.
Ibi εὐυφῆ πέπλον Scholiaſta exponit εὐχειρουργῆ. Obſervat autem idem Scholiaſta, non rectè Sophoclem τὸν ποδήρη χιτῶνα, πέπλον dixiſſe, ἀντὶ τοῦ λεπτουργοῦ. Politus.
εὐυφῆ πέπλον. Bene textum peplum. *Salvin.*
2. καὶ καινὸν πέπλωμα) Sophocles: καὶ φανὼν θεοῖς θυτῆρα καινῷ καινὸν ἐν πεπλώματι. Polit.
3. καὶ ἐνδυτῆρα πέπλον) Sophocles: ὅ γ' ἐκ τοῦ ἐνδυτῆρα πέπλον ὄρτινας ἔχοιεν Polit.
4. καὶ θανάσιμον πέπλον) Sophocles: τὸ σὸν φέρων δώρημα θανάσιμον πέπλον. Polit.
5. ὡς κοινὰ τὰ τοιαῦτα τῷ Διῒ, καὶ τῇ Ἀθηνᾷ) quid mirum? quando Minervam Poetæ finxerunt
Ἴσον ἔχουσαν πατρὶ μένος, καὶ ἐπίφρονα βουλήν. Polit.
6. ὕδας καὶ ὕδος) Etymologici Magni Auctor: μεταπίπτουσι τὸ κῶας εἰς τὸ κῶος, ὡς τὸ ὕδας εἰς τὸ ὕδος. Ἡσίοδος· Γαίης ὕδος φέρων. Polit.
7. δέρας δέρος) Etymologici Magni Auctor: δέρος, τὸ κώδιον. αἱ τοιαῦται ἐκθέσεις, ἀπὸ Ἰωνικῆς εἰσιν, ἢ Δωρικῆς. οἷον, δέρος, κῶος. ἀπὸ τοῦ δέρας, καὶ κῶας πεποίηνται. Idem notatum Suidæ. *Politus.*
8. πάγχρυσον δέρος) Sic & πυρφαλυφόρον δέρος Sophocles. Polit.

9. καὶ γῆρας γῆρος) Etymologici Magni Auctor: ὥσπερ ἀπὸ τοῦ γῆρας γίνεται γῆρος, καὶ ἀπὸ τοῦ δέρας δέρος, ὅπου καὶ ἀπὸ τοῦ δέρω δέρματος. Polit.
10. τὸ γηροβοσκήσειν) Pollux: Τροφίδας δὲ καὶ γηροβοσκοὺς εἴρηκε. Polit.
11. καὶ τὸ γηροβοσκὸς παρὰ Σοφοκλεῖ) Sophocles in Ajace:
Ὡς σφιν γένωνται γηροβοσκοὶ εἰσαεί.
Polit.
12. ἐν συστολῇ τοῦ ο) Sophoclis Scholiaſta: τὸ δὲ γηροβοσκὸν, χρῶνται καὶ μακρῷ, ἀπὸ τοῦ γῆρος, καὶ μικρῷ, ἀπὸ τῆς γενικῆς τοῦ γήρως. ἔστι γὰρ ἡ εὐθεῖα τὸ γῆρας. Politus.
13. ἐστεφάνωτο) Euſtathius legiſſe videtur ἐστεφάνωται. Polit.
14. ὅ ἐστι κροσσωτὴν) Heſychius: Θυσσανόεσσα, κροσσωτή, αἰθερία. θύσανος γὰρ ὁ κροσσός. Alienum eſt illud αἰθερία, quod delendum videtur, niſi pro illo reponere malis, αἰγὶς Ἀθηνᾶς. Etymologici Magni Auctor: Θυσσανόεσσα, κροσσοὺς ἔχουσα. Ægidas, ſive pelles caprinas ab Africanis mulieribus geſtari ſolitas, θυσανωτὰς vocat Herodotus in Melpomene. *Politus.*
15. οἱ διὰ τοῦ ο μικροῦ γραφόμενοι) Vitiosè igitur ſcriptum apud Heſychium: Κρωσσοὶ, τὰ ἄκρα τῶν ἱματίων τὰ ῥαμμάτια. Ubi vel ipſa litterarum ſeries clarè demonſtrabat, ſcribendum fuiſſe κροσσοὶ, διὰ τοῦ ο μικροῦ. Etymologici Magni Auctor: κροσσοὺς τὰ ἄκρα τῶν ἱματίων λέγουσι. Pollux: θύσανοι δὲ, οἱ λεγόμενοι κροσσοί. ἴδοι καὶ τὰ θυσανωτὰ παρὰ Ξενοφῶντι. Politus.

videlicet ſcriptura eſt per parvum ὀ· non ii certè quidem, qui ſcribuntur per ω magnum, qui videlicet vaſa aquaria ſignificant) ægidem, inquam, Minervæ ſic deſcribit: *Humeris igitur ægidem circumpoſuit fimbriatam, terribilem, quam undique timor in modum coronæ circumdederat*, ſive in orbem complectebatur. *Ibi contentio, ibi fortitudo, ibi acris inſectatio. Ibi Gorgonium caput diri monſtri, dirumque, atque horrendum, Jovis Ægiochi portentum*. Quæ quidem certè, aut veluti ſimulacra, impreſſa fuerunt, ut ajunt, in ægide, aut veluti affectiones, & facultates abditæ, & divinæ. Quin & per hæc fabula oſtendit, multiplices eſſe varioſque effectus prudentiæ, quæ, cum parata eſt ad contendendum, magnoque in hoſtes impetu irruit, tum metum incutit, tum εἰς φόβον, ſive φυγὴν, *in fugam*, conjicit, roburque ipſa oſtentat, celeritatemque, atque acrimoniam ad rem gerendam, nec non vim terrefaciendi habet plurimam. Adjicit quoque Poëta in modum deſcriptionis illud: Κρατὶ δ᾽ ἐπ᾽ ἀμφίφαλον κυνέην θέτο τετραφάληρον Χρυσείην, ἑκατὸν, videlicet πολλῶν, πόλεων πρυλέεσσ᾽, hoc eſt, πεζοῖς ὁπλίταις, ἀραρυῖαν. *Capitique criſtatam galeam impoſuit conos quatuor habentem, aureamque, & centenarum*, multarum videlicet, *urbium militibus*, hoc eſt, peditibus gravis armaturæ, *ſufficientem*. Ac vide, eam, quam diximus, galeam fabuloſè Poëtam multò maximam fingere: ſiquidem armatos tot urbium milites occulere, ac tegere poterat. Atque hoc etiam figurarum eſt loquendi genus per Collectionem, ſive Emphaſin. Colligendum namque eſt, cujuſmodi fuerit caput, reliquaque ad proportionem magnitudo corporis Minervæ, ſi ejuſcemodi galeam induerat.

CXCVII. Verùm nonnulli id ita intelligendum volunt, ut non urbium quidem centenarum armatis militibus par eſſet galea tegendis, quaſi ſcilicet tot fortibus, ac militaribus viris par ea eſſe poſſet, atque congruens; ſed ut centenarum urbium armatos milites ipſa in ſeſe impreſſos, atque inſculptos haberet. Quod & ipſum explicari vult per allegoriam providentiæ, quæ ſcilicet perfectæ convenit prudentiæ, maximèque omnium regiæ. Hæc enim, ut Trajanus ille apud Julianum geſtat humeris trophæa; ſic ipſa veluti in caput ſuum curas multarum civitatum recipit. Cujus profecto regiæ providentiæ inferiores etiam humileſque curæ, quæ, que, ut ita dicam, poſitæ ſunt ante pedes, quæ curæ per fimbrias denotantur, ſunt eæ quidem multæ, atque, ut appoſitè quis dixerit, multifidæ. Fiſſus enim quidam ſunt fimbriæ. Unde ἀρηθύσανοι, ſecundùm Pauſaniam, Ἄρεος θύσανοι, *Martis fimbriæ*, quaſi fiſſu avulſa fruſta, apud Æſchylum in Prometheo Soluto. Alii tamen illud, ἑκατὸν πόλεων πρυλέεσσιν ἀραρυῖαν, *urbium centenarum militibus aptam*, ſic exponunt, ut velint Poëtam dicere, ἑκατὸν πόλεων ἀριςῆας ἔχουσαν, *centenarum urbium fortes viros habentem*, aut κεκοσμημένην τοῖς τῆς Κρήτης ὁπλίταις, *ornatam gravis armaturæ*

κρωσσοί· ἐμὴν ¹ οἱ διὰ τοῦ ω μεγάλου οἱ τὰ ὑδροφόρα δηλοῦντες ἀγγεῖα) οὕτως ἐκφράζει· Ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισι βάλετο αἰγίδα θυσανόεσσαν, δεινὴν, ἣν περὶ μὲν πάντῃ φόβος ἐςεφάνωται, ἤτοι κύκλῳ περιέχει. Ἐν δ᾽ ἔρις, ἐν δ᾽ ἀλκὴ, ἐν δὲ κρυόεσσα ἰωκή. Ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου, δεινή τε, σμερδνή τε, Διὸς τέρας Αἰγιόχοιο. Ταῦτα δὲ, ἢ ὡς εἴδωλα ἐντετύπωται, φασὶ, τῇ αἰγίδι, ἢ ὡς διαθέσεις, καὶ δυνάμεις ἄρρητοι, καὶ θεῖαί τινες. Δηλοῖ δὲ διὰ τούτων ὁ μῦθος τὰ πολύτροπα τῆς φρονήσεως ἐνεργήματα, ἥτις ἐριςικὴ, τοῖς ἐχθροῖς ἐπαιγίζουσα, δέος τε ἐμποιεῖ, καὶ εἰς φόβον, ἤτοι φυγὴν, διώκει, καὶ ἀλκὴν ἐνδείκνυται, καὶ τὸ γοργὸν, καὶ ὀξὺ πρὸς ἐνέργειαν, καὶ τὸ καταπληκτικὸν ἔχει πολύ. Λέγει δὲ ἐκφραςικῶς ὁ Ποιητὴς καὶ τὸ, Κρατὶ δ᾽ ἐπ᾽ ἀμφίφαλον κυνέην θέτο τετραφάληρον Χρυσείην, ἑκατὸν, ἤτοι πολλῶν, πόλεων ² πρυλέεσσιν, ὅ ἐςι, πεζοῖς ὁπλίταις, ἀραρυῖαν. Καὶ ἄρα, ὡς μεγίςην κατὰ μῦθον πλάττει τὴν ῥηθεῖσαν κυνέην· εἴ γε τοσούτων πόλεων ὁπλίτας καλύπτειν, καὶ σκέπειν ἠδύνατο. Καὶ ἔςι καὶ τοῦτο συλλογισμὸς τὸ σχῆμα, εἴτ᾽ οὖν ἔμφασις. Συλλογιςέον γὰρ, οἵα κεφαλὴ, καὶ τὸ λοιπὸν ἀναλόγως τοῦ σώματος μέγεθος τῆς Ἀθηνᾶς, εἰ τοιαύτην περικεφαλαίαν περιέκειτο.

ρϞζ΄. Τινὲς δέ φασιν, οὐχ ὅτι ἑκατὸν πόλεων ὁπλίτας ἠδύνατο σκέπειν, ὡς τοσούτοις ἀριςεῦσιν ἁρμόσαι δυναμένη, ἀλλ᾽ ὅτι ἑκατὸν πόλεων ὁπλίτας εἶχεν ἐντετυπωμένους ἑαυτῇ. Τοῦτο δὲ καὶ ἀλληγορίαν ἔχειν ἐθέλει τῆς προνοητικῆς τῆς τελείας, καὶ μάλιςα βασιλικῆς, φρονήσεως. ἥτις, ὡς που ³ ὁ παρὰ τῷ Ἰουλιανῷ Τραϊανὸς ἐπὶ τῶν ὤμων φέρει τὰ τρόπαια, οὕτως αὐτὴ ἀναδέδεκται, ὡς εἰπεῖν εἰς κεφαλὴν, φροντίδας πολλῶν πόλεων. ἧς δὴ βασιλικῆς προνοίας καὶ τὰ κατωτέρω, καὶ ταπεινὰ, καὶ, ὡς εἰπεῖν, πρὸ ποδῶν φροντίσματα, ὧν οἱ θύσανοι σύμβολον, πολλὰ τυγχάνει, καὶ, ὡς ἄν τις καιρίως εἴποι, πολυσχιδῆ. σχίσματα γάρ τινα καὶ οἱ θύσανοι, ὅθεν ἀρηθύσανοι, κατὰ Παυσανίαν, Ἄρεος θύσανοι, οἱονεὶ ἀποσχίσματα, παρ᾽ Αἰσχύλῳ ἐν Προμηθεῖ Λυομένῳ. Τινὲς δὲ τὸ, ἑκατὸν πόλεων πρυλέεσσιν ἀραρυῖαν, οὕτως ἔφρασαν, ἑκατὸν πόλεων ἀριςῆας ἔχουσαν, ἢ κεκοσμημένην τοῖς τῆς Κρήτης ὁπλίταις. τουτέςι,

1. οἱ διὰ τοῦ ω μεγάλου οἱ τὰ ὑδροφόρα δηλοῦντες ἀγγεῖα) Heſychius: κρωσσοί, ὑδρίαι, ςάμνοι, λήκυθοι. Lege autem in Euſtathio ἀγγεῖα. Etymologici Magni Auctor: κρωσσός, ὑδρία, ἢ τὸ ἄλλο ἄγγος εἰς τὸ ἐπιχεῖν ὕδωρ, παρὰ τὸ κρὼ τὸ ἐπιχέω. Suidas: κρωσσός, ἡ ὑδρία, ἀγγεῖον, ὑδροφορικόν, ἢ κρωσσίον, ὁ ςάμνος. Politus.

2. πρυλέεσσιν, ὅ ἐςι, πεζοῖς ὁπλίταις, ἀραρυῖαν) Heſychius: Πρυλέεσσ᾽ ἀραρυῖα, πεζοῖς ἡρμοσμένη. Politus.

3. ὁ παρὰ τῷ Ἰουλιανῷ) Julianus in Cæſaribus: Εὐθὺς δὲ ὁ Τραϊανὸς εἰσέρχεται, φέρων ἐπὶ τῶν ὤμων τὰ τρόπαια, τό τε Γετικὸν, καὶ Παρθικόν. Polit.

Rom. p.601. στι, τὰ τῶν Κορυβάντων ἔργα ἔχουσαν ἐντετυπωμένα. Ὅτι δὲ ἑκατόμπολις ἡ Κρήτη, [1] καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. [2] Ὡς δὲ καὶ Κρῆτες οἱ Κορύβαντες, δῆλον καὶ αὐτό. Εὐθῆναν δέ φασί τινες τοῖς πρυλέεσι, [3] πρύλις, γινομένην ἐκ τοῦ περῶ περύω τὸ ὁδεύω, παρύσω, πέρυλις, καὶ πρύλις, ὡς δαμάσω δάμαλις. Ἴσως δὲ συντελεῖ τι πρὸς τὴν τοιαύτην κλίσιν, καὶ τόνωσιν καὶ τὸ κύριον [4] ὁ Πρύλις ὁ παρὰ Λυκόφρονι. Καὶ μὴν ἄλλοι, ἐν οἷς καὶ Ἡρωδιανὸς, πρυλὴς γράφουσιν ὀξυτόνως, καὶ κλίνουσι κανονικῶς πρυλέος, πρυλοῦς, ὡς που καὶ προείρηται. Καὶ ἔστιν ἀσφαλέστερον τοῦτο. Ἀπὸ γάρτοι τοῦ πρύλις, πρύλεες ὤφειλεν εἶναι, ὡς ὄφεες. [5] Ἀλλαμὴν εὕρηται πρυλέες, ὡς εὐσεβέες.

ρ ϟη. Τὸ δὲ τετραφάληρον, καὶ ἀμφίφαλον ἐξηγούμενοι οἱ παλαιοὶ, φασὶν, ὅτι φάλοι μὲν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι· φάλαρα δὲ, κρίκοι τινὲς τῆς περικεφαλαίας ἐν ταῖς παραγναθίσιν· ὡς εἶναι διαφορὰν ταύτην φάλων, καὶ φαλάρων. [6] Τινὲς μέντοι ταυτὰ ὑπέλαβον ἀμφότερα, ὡς εἶναι τὸ τετραφάληρον ἐξηγητικὸν τοῦ ἀμφίφαλον. Ἡ γὰρ ἐκ δεξιῶν, καὶ ἀριστερῶν ἔχουσα τοιαῦτα, καὶ αὖ πάλιν ἐν τοῖς ἔμπροσθεν, καὶ ὄπισθεν, ἀμφίφαλος μὲν, ἤγουν δίφαλός ἐστι τῇ συζυγίᾳ· τετραφάληρος δὲ, τοῖς καθ' ἕν. Ὅτι δὲ [7] φάλαρα καὶ ἵππων ἐστὶ κόσμος προμετωπίδιος, ὁμολόγηται, γινόμενος καὶ αὐτὸς [8] ἀπὸ τοῦ φάω τὸ λάμπω. [9] ὅθεν φάλιον τὸ λευκόν· ἐξ οὗ ἵππος τε φάλιος ὁ τὸ μέτωπον, φασιν, ἔχων λευκόν· [10] καὶ ἄνθρωπος φάλιος, οὗ αἱ περὶ

turæ militibus Cretæ, hoc eſt, Corybantum facta, inſculpta habentem. Namque ab urbibus quidem centum percelebratam Cretam fuiſſe, manifeſtum fit in Odyſſeâ. Corybantes autem, Cretenſes eſſe, id quoque manifeſtum. Porro autem Rectum τοῦ πρυλέεσι, *militibus armatis*, quidam eſſe ajunt πρύλις, *miles armatus*, eumque derivatum ex περῶ, περύω, quod ſignificat *iter facio*, *ambulo*, *eo*. Unde περύσω, *iter faciam*, πέρυλις, & πρύλις, *pedes*, *ſive is*, *qui iter facit pedibus*, *is*, *qui pedibus militat*, ut ex δαμάσω, *domabo*, dicitur δάμαλις, *juvenca*. Atque ad hanc iſtam declinationem, rationemque accentus fortaſſe etiam quodammodo confert nomen proprium ὁ Πρύλις, *Prylis*, apud Lycophronem. Verumtamen alii, in quibus etiam Herodianus, ſcribunt πρυλὴς, *pedes*, accentu acuto, & ſecundùm regulam declinant πρυλέος, πρυλοῦς, *peditis*, ut & ſupra alicubi dictum eſt. idque certius eſt, atque firmius. Namque ex πρύλις, *pedes*, dicendum quidem erat πρύλιες, *pedites*, ut ὄφιες, *ſerpentes*. Atqui compertum eſt, dictum eſſe πρυλέες, *pedites armatis*, ut εὐσεβέες, *pii*.

CXCVIII. Τὸ τετραφάληρον, *quaternas phaleras habentem*, & ἀμφίφαλον, *clavis undique munitam*, *atque ornatam*, veteres ſic explicant, ut, ex eorum ſententiâ, φάλοι, *clavi*, ſint ſcutula, aut ſcutulata ornamenta in fronte galeæ; φάλαρα verò, *i. e. phaleræ*, ſint annuli quidem ipſius galeæ, ubi muniuntur maxillæ: adeò ut differentia hæc ſit φάλων, *clavorum*, *ſeu ſcutulorum*, & φαλάρων, *phalerarum*. Quidam tamen idem inter ſeſe utraque eſſe ſunt ſuſpicati: adeò ut τὸ τετραφάληρον, *ſcutula quatuor habentem*, valeat ad explicandum τὸ ἀμφίφαλον, *ſcutulis undique ornatam*, *atque munitam*. Quæ enim a dextrâ, atque a ſiniſtrâ, & rurſus a fronte, atque a tergo, ſcutula habet hujuſcemodi, eſt illa quidem ἀμφίφαλος, *utrimque ſcutulis inſtructa*, videlicet δίφαλος, *ſcutula habens bina*, ſi id ad ſcutulorum paria, ſive ad bina, & bina ſcutula, referatur; at verò τετραφάληρος, *ſcutulis quatuor inſtructa*, ſi ad ſingula per ſe ſcutula. Ceterùm in confeſſo eſt, φάλαρα, *phaleras*, ornamentum etiam eſſe equorum ad eorum frontem: quum & id ornamenti ita appelletur a φάω, quod ſignificat luceo, atque ſplendeo. Unde φάλιον, ideſt, album: ex quo tum equus dictus φάλιος, *albus*, is, qui frontem, ut ajunt, habet albam, cum homo φάλιος, *al-*

4. καὶ δρηστοσύνην) Δρηστήρ αἰνὴς, vir faciendo aptus. Salvin.

5. καὶ βιότου ἀπειροσύνην) χρησμοσύνην in veteri inſcriptione apud Cl. Senatorem Bonarrotium in libro de vitreis. ideſt, egeſtatem. Salvinus.

6. Ἅιδου λέγεται παροιμιωδῶς κυνέην φορεῖν) Eſt in Græcorum proverbiis ἄϊδος κυνῆ, πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτοὺς διά τινων μηχανημάτων. Polit.

7. Ἔστι δὲ, κατὰ τοὺς παλαιοὺς, νέφος τι πυκνότατον) Vetus Scholiaſtes: Ἄϊδος κυνέην, νέφος τι, ἢ ἀορασίαν. Heſychius: Ἄϊδος κυνέη, ἀδιόρατόν τι νέφος, ὃ περιβάλλονται οἱ θεοὶ, ὅταν θέλωσιν ἀλλήλοις μὴ γινώσκεσθαι. νεφέλη ἀφανὴς, ἣν ἐνδυσάμενοι οἱ θεοὶ, ἀθεώρητοι γίνονται ἀλλήλοις. Etymologici Magni Auctor: ἄϊδος κυνέη, νέφος τι, ἢ ἀορασία. Politus.

8. ἣν) puto ἥν. Polit.

ἣν δηλαδὴ περιβαλλόμενός τις, οὐκ ἂν ὁραθείη) Inconſpicuos ibidem faciebat annulus Gygæ apud Herodotum, & annulus Angelicæ apud Arioſtum in Rolando Furente. Salvinus.

Σφάλμα μνημονικὸν illud de annulo Gygæ apud Herodotum. Eſt enim illa de Gygæ annulo fabula apud Platonem lib. 2. De Republicâ. Polit.

λύπτεται. Δηλοῖ δὲ καὶ ταῦτα τὴν τῆς φρονήσεως φύσιν, ἥτις ἐν Ὀδυσσείᾳ μὲν, ἐξέλαμψε, δίκην φωτός· εἴλυτο δὲ ἑαυτὴν, ὡς ἐν σκοτίᾳ, ἀπέκρυψε. Σημειῶσαι δὲ καὶ, ὅτι, ὥσπερ νῦν ἡ Ἀθηνᾶ ἑαυτὴν τῷ Ἄρει δοκεῖ διὰ σκοτεινοῦ νέφους ἐπικρύψαι (τοῦτο γὰρ, ὡς εἴρηται, ἦν ἡ τοῦ Ἅδου κυνῆ) οὕτω πρός τινα σαφήνειαν ὑπονοητικὴν τῆς τοιαύτης κυνέης, καὶ ἐν τοῖς ἑξῆς ὁ Ἄρης ἀφανὴς ἔσται τῷ Διομήδει, ὡς εὐθὺς μετ᾽ ὀλίγα φανήσεται. Δῆλον δὲ, ὅτι, ὥσπερ πρὸ μικροῦ ἱμάντας, καὶ λέπαδνα οὐ κυριολεκτῶν ἤπεν ἐπὶ τοῦ τῆς Ἥρας ἅρματος, οὕτως οὐδὲ ἐνταῦθα ἐπὶ καταστάσεως νεφώδους τὴν τοῦ Ἅδου κυνέην κυριολεκτεῖ ὁ Ποιητὴς, ἀλλὰ κατ᾽ ἀνάγκην μεταφορᾶς καὶ τοῦτο παθών. Ἄλλως μέντοι μυθικώτερόν ἐστι, κυριολεξίαν ἐνταῦθα ὑπονοῆσαι, ἥτις κατὰ τὸ σιωπώμενον ἐκ Πλούτωνος εἴπη τὴν Ἀθηνᾶν λαβεῖν τὴν ἐκείνου κυνέην. Τέως γε μὴν θεωρητέον, ὡς εὐλόγως ὁ Ποιητὴς οὐδέν τι ἄλλως περὶ τῆς τοιαύτης ἔφη κυνέης· ἀλλ᾽ ὀνομάσας μόνον αὐτὴν, οὐδέν τι πλέον ἐπεσημήνατο, εὖ ποιήσας. Σκοπητέον δὲ, καθ᾽ οἵαν, καὶ ὅταν παράχρησιν, Ἅδου κυνέην ἔφη ὁ Ποιητὴς τὸ τῆς κεφαλῆς ἀέριον κάλυμμα, δι᾽ οὗ κρύπτεταί τις τὸ βλέπεσθαι, ἢ ἐς τὸ πᾶν, ἢ κατὰ μόνον πρόσωπον. Ἔστι δ᾽ εὑρεῖν παρὰ τοῖς παλαιοῖς, ὡς [1] κυνέη καλεῖται καὶ τὸ κοινῶς λεγόμενον σκιάδιον. [2] ὅπερ Ἡσίοδος πῖλόν φησιν ἀσκητόν.

σκζ΄. Οὐκ ἀργῶς βροτολοιγὸν πολλαχοῦ λέγει τὸν Ἄρην ὁ Ποιητὴς [3] κατὰ μόνην ἀλληγορίαν, ἀλλὰ καὶ σωματικῶς. Ἰδοὺ γὰρ ἐνταῦθα καὶ κατὰ μῦθον κτείνας ὁ Ἄρης, καὶ θυμὸν ἐξαινύμενος, ἤγουν ἀφελόμενος, ἐξεναρί-
Rom. p. 614 ζει τινὰ πελώριον Περίφαντα, καὶ χειρουργεῖ τὸν φόνον, ἵνα πιθανὸν οὕτως εἴη ἐνταῦθα καὶ τὸ κατὰ Διομήδους αὐτὸν ἔγχει χαλκείῳ ὀρέξασθαι. Καὶ πρὸ ὀλίγου δὲ πολλοὺς ἐξενάριξεν Ἕκτωρ τε, καὶ χάλκεος Ἄρης. Ὅλως γὰρ ἐν δευτέρῳ τὰ τῶν ἀλληγοριῶν τίθεται ὁ Ποιητὴς, καὶ οὐδὲ δεῖ ἀλληγορεῖν, εἰ μὴ πρότερόν τις καταστάσει, καὶ κρατυνεῖ τὸν μῦθον εἰς πιθανότητα. Ἀρίσταρχος μέντοι μηδέν τι τῶν Ὁμήρου, ὡς καὶ προερρέθη, ἀλληγορεῖν ἀξιῶν, οὐ μόνον ὑπερβολικόν τι λέγει, ἀλλὰ καὶ σοφίας μεγάλας ἀφαιρεῖται τὸν Ποιητήν. Ὅρα δὲ καὶ ἐνταῦθα τὸ, ὠρέξατο ἔγχεϊ χαλκείῳ. ἤτοι

occulitur. Atque ex his etiam clarè apparet natura prudentiæ, quæ, ut in Odyſſeâ, lucis inſtar, effulget; ita & hoc loci ipſa ſemet veluti tenebris, & caligine occultat. Deinde, quemadmodum videtur nunc Minerva ipſa ſeſe Marti per tenebricoſam, obſcuramque nubem occultare (hæc enim, ut dictum eſt, galea erat Orci, ſeu Plutonis) ſic etiam, ut quodammodo declaretur, quid per hanc iſtam galeam intelligere oporteat, obſerva, evaneſcere poſtea Martem ex oculis Diomedis, ut paullò poſt ſtatim fit manifeſtum. Quemadmodum autem de curru Junonis paullò ante minùs propriè dixerat *ἱμάντας*, *lora*, & *λέπαδνα*, *coria latiora*; ſic etiam conſtat, ne hoc quidem loci propriè loqui Poëtam, cum Orci galeam dicit de nube ſic diſpoſitâ, atque conformatâ, quippe qui ita fecerit per neceſſitatem metaphoræ. Ceteroquin tamen magis eſt e ſenſu fabulæ, locutionem hîc propriam intelligere, quæ per reticentiam ſignificet, Minervam a Plutone galeam ejusdem ipſius Plutonis accepiſſe. Interea tamen perſpiciendum, quàm rectè, & congruenter Poëta nihil omnino de galeâ iſtâ commemoret; ſed, quum eam duntaxat nominaverit, nihil poſtea amplius, ut certè facere debebat, indicet. Deinde conſiderandum, quali quantâque parachreſi, ſeu vocis abuſione, Orci galeam vocaverit Poëta aërium capitis operimentum, quo quis tegitur, ut ne ſcilicet, ſive quo ad totum corpus, ſive quoad unam tantùm faciem, conſpiciatur. Eſt autem apud veteres invenite, *κυνέην*, *galeam*, eam quoque appellatam, quæ communiter dicitur umbella, ſeu galerus, quem quidem galetum Heſiodus vocat *πῖλον ἀσκητόν*, *pileum arte elaboratum*.

CCXXVII. Non abs re plerìſque in locis Poëta Martem vocat *βροτολοιγὸν*, *peſtem*, *& perniciem generis humani*, *ſeu homicidam*, non tantùm per allegoriam; verùm etiam ſenſu planè corporeo. Ecce enim hic tibi ſecundùm fabulam, Mars immanem neſcio quem Periphantem interficit, animamque *ἐξαινύμενος*, videlicet *ἀφελόμενος*, *auferens*, eum ſpoliat; manuque ipſe ſuâ cædem facit, ut ita veriſimile hic fiat, protentâ Martem haſtâ æreâ impetum in Diomedem feciſſe. Quin & paullò ante magnam vim hoſtium Hectorque, & Mars æreus occidiſſe referuntur. Senſibus namque allegoricis ſecundas in univerſum dat Poëta. Neque verò oportet ad allegoriam confugere, niſi quis priùs fabulam revocet ad ſimilitudinem veri, eamque probabili aliquâ ratione muniat, atque confirmet. Nam Ariſtarchus quidem, qui, ut ſupra notatum eſt, nihil prorſus rerum Homericarum allegoricè interpretandum cenſet, non modò aliquid affirmat, quod eſt ſupra omnem fidem; ſed magnam etiam partem ſapientiæ aufert Poëtæ. Vide hîc etiam illud: *ὠρέξατο ἔγχει χαλκείῳ*. *haſtam æream* por-

1. κυνέη καλεῖται καὶ τὸ κοινῶς λεγόμενον σκιάδιον) θολοσφερὴς κυνῆ Sophoclis in Oedipo Coloneo, eademque etiam Theſſalica, κρατὶ δ᾽ ἡλιοστερὴς κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει. Ubi veteres Scholiaſtæ, & Suidas ἡλιοστερὴς κυνῆ eſt σκιαστική. πλατύπιλος κυνῆ, ἤτοι περικεφαλαία, ἀπὸ [illegible], καὶ ἀφαιρουμένη τὸν ἥλιον. Quod hi pileis latiores habent in Theſſaliâ, adeo hæc ipſa κυνῆ Sophocli Θεσσαλίς. Inde etiam a galeæ ſimilitudine galerus dictus Latinis. Politus.

2. ὅπερ Ἡσίοδος πῖλόν φησιν ἀσκητόν) Heſiodus Operibus κεφαλῆφι δ᾽ ὕπερθεν Πῖλον ἔχειν ἀσκητόν. Eſt qui velit, πῖλον hic Heſiodum ἀσκητόν dixiſſe, ut a pedum πίλοις, quos paullò ante dixerat, diſtingueret, quaſi levius elaboratos. At alia mens Heſiodi, ea interpretatione Græcorum magiſtrorum. Moſchopulus: ἀ ἀσκητὸν δὲ φησὶ τὸν ἄλλον, ὃς ἐν τοῖς ποσὶν ἦν, ὡς ἂν [illegible], τοῦτον ἀσκητὸν λέγει. [illegible]. Politus.

3. κατὰ μόνην ἀλληγορίαν) lege, οὐ κατὰ μόνην ἀλληγορίαν. Polit.

Digitized by Google

porrexit. videlicet ἀνέτεινεν ἔγχος. *ſurſum extendit, ſeu protendit haſtam*, &, ἔτεινεν ἑαυτὸν τῷ ἔγχει. *ipſe ſemet extendit haſtâ*. Idque ſimiliter ſeſe habet, atque illud: ἔγχει ὀρεξάσθω. *Haſtam porrigat*. Quod quidem inferius magis perſpicuè dicit ὡρμᾶτο ἔγχεϊ χαλκείῳ. *impetum fecit haſtâ æreâ*. Deinde, quum Poëta hic dixerit ζυγὸν, ἡνία θ' ἵππων, *jugum, habenaſque equorum*; τὸ ἵππειον ζυγὸν, *equinum jugum*, quod vocaverat antea ad diſtinctionem jugorum alterius generis, reſolvit in τὸ ζυγὸν ἵππων, *jugum equorum*. Τοῦ αἴνυτο, *auferebat*, thema eſt αἴνυμι, *auſera*. quod quidem ſi generatim accipitur pro ἀφαιρῶ, *eripio, auſero, eximo, detraho*, derivari fertur ab αἴρω, *tollo, capio, ſumo*. Unde αἴρνω, αἰρνύω, ἄρνυμι, *ſumo*. ex quo illud: Τυρῶν αἰνύμενοι. *caſeos ſumentes*. in Odyſſeâ. Sin autem vox eſt cruenta, quæ cædem ſignificet, primitivum ejus ajunt eſſe τὸ κτῶ, κταίνω, *interficio*. ex quo, rejectâ litterâ τ', καίνω, *occido, perimo*. Atque inde ſimiliter αἴνω. unde αἰνύω, αἴνυμι, *auſero*. &, θυμὸν αἰνύμενος. *animam auferens*.

ἤτοι [1] ἀνέτινεν ἔγχος, καὶ ἔτεινεν ἑαυτὸν τῷ ἔγχει. Καὶ ἔστιν ὅμοιον τῷ, ἔγχει ὀρεξάσθω. Τοῦτο δὲ, παρακατιὼν, σαφέστερον λέγει, ὡρμᾶτο ἔγχεϊ χαλκείῳ. Ἐνταῦθα δὲ εἰπὼν ὁ Ποιητὴς καὶ ζυγὸν, ἡνία θ' ἵππων, τὸ ἵππειον ζυγὸν, ὃν πρὸ τούτων ἔφη πρὸς διαστολὴν ἑτεροίων ζυγῶν, διέλυσεν εἰς τὸ ζυγὸν ἵππων. Τοῦ δὲ αἴνυτο θέμα αἴνυμι, ὅπερ ἁπλῶς μὲν ληφθὲν ἀντὶ τοῦ ἀφαιρῶ, [2] λέγεται γίνεσθαι ἀπὸ τοῦ αἴρω ἄρνω αἰρνύω, ἄρνυμι. ἐξ οὗ τὸ, Τυρῶν αἰνύμενοι, ἐν Ὀδυσσείᾳ. Εἰ δὲ φονία λέξις ἐστὶ, [3] φρόνιμοι, φασιν, αὐτοῦ τὸ κτῶ κταίνω. ἀφ' οὗ, ἀπελοῦσι τοῦ τ', καίνω, ἐξ αὐτοῦ δὲ ὁμοίως αἴνω, ὅθεν αἰνύω αἴνυμι, καὶ, θυμὸν αἰνύμενος.

Poſtea verò quàm vidit hominum peſtis Mars divum Diomedem,
Certè ille quidem Periphantem immanem ibi ſivit
Jacere, ubi primum occidendo animam abſtulerat;
Ivitque rectà in Diomedem domitorem equorum.
Hi verò quum jam proximi eſſent, alter in alterum euntes,
Priùs Mars intorſit ſuper jugum, habenaſque equorum
Haſtam æream, cupiens animam eripere:
Et hanc manu prehenſam caſiis dea oculis Minerva
Summovit a curru, ut in caſſum caderet.
Secundus tum impetum fecit pugnâ ſtrenuus Diomedes
Haſtâ æreâ. Eam autem adegit Pallas Minerva
Imam in partem ſub coſtis, ubi cingebatur laminâ.
Ibi ipſum aſſecutus, vulneravit, cutemque pulchram dilaceravit,
Haſtamque rurſus extraxit. Reſonuit autem Mars ille æreus,
Quantum novem millia clamant, vel decem millia
Virorum in bello, certamen Martis committentium.

Ὡς δὲ ἴδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον,
Ἤτοι ὁ μὲν Περίφαντα πελώριον αὐτόθ' ἔασεν
Κεῖσθαι, ὅθι πρῶτον κτείνων ἐξαίνυτο θυμόν.
Αὐτὰρ ὁ βῆ ῥ' ἰθὺς Διομήδεος ἱπποδάμοιο.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Πρόσθεν Ἄρης ὠρέξατ' ὑπὲρ ζυγὸν, ἡνία θ' ἵππων
Ἔγχεϊ χαλκείῳ, μεμαὼς ἀπὸ θυμὸν ὀλέσσαι·
Καὶ τόγε χειρὶ λαβοῦσα θεὰ γλαυκῶπις Ἀθήνη,
Ὦσεν ὑπ' ἐκ δίφροιο ἐτώσιον ἀϊχθῆναι.
Δεύτερος αὖθ' ὡρμᾶτο βοὴν ἀγαθὸς Διομήδης
Ἔγχεϊ χαλκείῳ· ἐπέρεισε δὲ Παλλὰς Ἀθήνη
Νείατον ἐς κενεῶνα, ὅθι ζωννύσκετο μίτρῃ.
Τῇ ῥά μιν οὖτα τυχὼν, διὰ δὲ χρόα καλὸν ἔδαψεν·
Ἐκ δὲ δόρυ σπάσεν αὖτις. ὁ δ' ἔβραχε χάλκεος Ἄρης,
Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι
Ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος.

Baſ. p. 468.

CCXXVIII. De Diomede, quippe qui fortiſſimè ſtatim ſit dimicaturus, magnificè, ac pro tanti viri dignitate loquitur Poëta, cum dicit Διομήδεα δῖον, *divum Diomedem*. Et Martis quidem haſtam Minerva manu prehenſam a curru ſummovit, ut in caſſum caderet. At verò haſtam Diomedis imam in partem ſub coſtis exoſſem adegit, ubi Mars laminâ cingebatur. Quo loci eum aſſecutus, vulneravit, cutemque ejus pulchram dilaceravit; & rurſus haſtam extraxit. Reſonuit autem Mars ille æreus, quantum novem millia clamant, vel decem millia virorum, cum in bello certamen Martis committunt. Et videtur Diomedes in tantâ multitudine, totque hominum millibus maſculam nunc fortitudinem præ ſe tuliſſe, quum in primâ hoſtium acie κένωμά τι, *vacuitatem quamdam*, raritatemque virorum, reperiſſet. Id enim, ut ajunt, tacitè indicat ὁ νείατος κενεών, *pars illa ima ſub coſtis, quæ inanior eſt, atque ab oſſibus vacua*. Videturque ille heros veteribus rem fortiter nunc gerere inter hoſtes multò magis confertos, denſiorique teſtudine pugnantes, quàm cum mollem illam Venerem vulneravit: ut & fuſiùs Heraclitus per allegoriam explicat. Et majus hoc eſt

σκη. Τὸν Διομήδην σεμνολογῶν ὁ Ποιητὴς, ὡς εὐθὺς ἀριστεύσοντα, φησὶν Διομήδεα δῖον. Τὸ μὲν τοῦ Ἄρεος ἔγχος χειρὶ λαβοῦσα ἡ Ἀθηνᾶ, ὦσεν ὑπ' ἐκ δίφροιο ἐτώσιον ἀϊχθῆναι· τὸ δὲ τοῦ Διομήδους, ἐπέρεισε νείατον ἐς κενεῶνα, ὅθι ζωννύσκετο μίτρην ὁ Ἄρης. ἔνθα μιν οὖτα τυχὼν, διὰ δὲ χρόα καλὸν ἔδαψεν· ἐκ δὲ δόρυ σπάσεν αὖτις. [4] ὁ δ' ἔβραχε χάλκεος Ἄρης, ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι ἀνέρες, ἐν πολέμῳ ἔριδα συνάγοντες Ἄρηος. Καὶ ἔοικεν ὁ Διομήδης ἐν πλήθει τοσούτων χιλιάδων τὴν ἀῤῥενωπὸν ἀριστείαν ἄρτι ἐνδείξασθαι, κένωμά τι εὑρὼν ἐν ἄκροις, καὶ ἀραίωσιν λαοῦ. Τοῦτο γὰρ, [5] φησιν, αἰνίττεται ὁ νείατος κενεών. Καὶ δοκεῖ τοῖς παλαιοῖς ἐν πλείονι συνασπισμῷ ἀριστεῦσαι νῦν ὁ ἥρως, ἢ ὅτε τὴν θῆλυν Ἀφροδίτην ἔτρωσεν, [6] ὡς καὶ Ἡράκλειτος πλατύτερον ἀλληγορεῖ. Καὶ

1. ἀνέτινεν ἔγχος) Lege ἀνέτεινεν. Et ſic etiam Frobenius. *Polit.*

2. λέγεται) γίνεσθαι ἀπὸ τοῦ αἴρω αἴρνω αἰρνύω, αἴρνυμι. ἐξ οὗ τὸ, Τυρῶν αἰνύμενοι, ἐν Ὀδυσσείᾳ) quomodo ex αἴρνυμι, quod eſt quidem cum τῷ ῥ, τὸ αἰνύμενοι in Odyſſeâ? Supple ex Methodio: αἴρνυμι, καὶ ἀποβολῇ τοῦ ῥ, αἴνυμι. καὶ αἰνύμενοι. ἐξ οὗ τὸ, Τυρῶν αἰνύμενοι, ἐν Ὀδυσσείᾳ. Neque enim alioquin ex αἴρνυμι τὸ αἰνύμενοι. Sed Methodius derivabat ab αἴρω. unde αἴρνω, & hinc per paragogen αἴρνυμι, & αἴρνυμαι. Etymologici Magni Auctor ex Methodio: αἴνυμαι, τὸ ἀφαιρῶ τὸ λαμβάνω. καὶ αἰνύμενος, καὶ ἀπαινύμενος. παρὰ τὸ αἴρω [illegible], ὡς παρὰ [illegible]. καὶ ἀπὸ τούτου παράγωγον, αἴρνυμι, καὶ αἴρνυμαι· καὶ ἀποβολῇ τοῦ ῥ, αἴνυμαι. Euſtathio tamen alibi ſatis probatur derivatio ab αἴρω, τροπῇ τοῦ ἀμεταβόλου, ita ut inde ſit αἴνω, ex quo per paragogen αἰνύω, & αἴνυμι. Idem Euſtathius ad illud Odyſſeæ, Τυρῶν αἰνυμένους· εἰ δὲ καὶ ἀπὸ τοῦ αἴρω γίνεται αἴρνω αἴρνυμι, ὅθεν κατὰ τροπὴν ἀμεταβόλου εἰς ἀμετάβολον τὸ αἰνῦσθαι, οὐκ ἂν ἔχοι ἀντιλογίαν. Politus.

3. φρόνιμοι, φασιν, αὐτὸ τὸ κτῶ, κταίνω) Etymologici Magni Auctor: ἔστι κτῶ. καὶ σημαίνει τὸ φονεύω. καὶ ὥσπερ παρὰ τὸ βῶ, βαίνω, οὕτω καὶ παρὰ τὸ κτῶ κταίνω· καὶ ἀποβολῇ τοῦ τ', καίνω, τὸ φονεύω. ἐξ αὐτοῦ αἴνω, καὶ, κατὰ παραγωγὴν, αἰνύω, καὶ αἴνυμι παραγωγῇ εἰς μι. τὸ παθητικὸν αἴνυμαι. Ita ex verbo hoc κτείνω ſiccis τὸ ἐξαίνυτο θυμόν. Politus.

4. ὁ δ' ἔβραχε χάλκεος Ἄρης) Mars volens ſymbolicè ſignificare multitudinem bellatorum. *Salvinus*.

5. φησιν) Heraclitus in Allegoriis: ἐβλήθη δὲ ὑπὸ Διομήδους Ἄρης, [illegible] κενεῶνα. [illegible] ταῖς [illegible] παρατεθῆναι, [illegible]. Eſt autem [illegible] Politus.

6. ὡς καὶ Ἡράκλειτος πλατύτερον ἀλληγορεῖ) Alibi diximus, Heraclitum, non illum quidem Tenebricoſum, ſed alterum quem-

Καὶ ἔστι μείζων αὕτη ἀριστεία. Ἐκεῖ μὲν γὰρ οὐ παρῆν τις γενναῖος τῶν Τρώων πρόμαχος, τοῦ Αἰνείου κειμένου· ἐνταῦθα δὲ ὁ Ἕκτωρ ὁμιλεῖ ὁ τῶν Τρώων ἄριστος, καὶ οὕτως εὐδοκιμεῖ, ὡς καὶ τὸν Ἄρην δοκεῖν σὺν αὐτῷ εἶναι. Ὁ τοίνυν Διομήδης κατὰ τοῦ τοιούτου πολέμου δράσας γενναῖα, μέγα τι ποιεῖ. Διὸ καὶ αὐτὸν τὸν Ἄρην λέγεται βαλεῖν. Τὸ δὲ ἐννεάχιλοι, ἢ δεκάχιλοι, διὰ μὲν διχρόνου γραφόμενον, ἔχει τερατείαν ποιητικὴν, καὶ μεγαλοπρέπειαν. [1] ἐὰν δὲ διὰ διφθόγγου, κατά τινας, γράφεται, οὐ μόνον ἀδιανόητόν ἐστιν, ἀλλὰ καὶ πάνυ σμικροπρεπές. Τί γὰρ μέγα, ἐὰν ἐννέα χειλέων, ἢ δέκα, φωνὴν ὁ τοιοῦτος
Rom. p.615. Ἄρης ἀφίησιν, ὅπου γε ὁ θνητὸς Στέντωρ αὐδὰν εἶχεν, ὅσον ἄλλοι πεντήκοντα; πῶς δὲ καὶ τρόμος εἷλεν Ἀχαιούς τε, Τρῶάς τε δείσαντας ἐκ τῆς βοῆς, ἐὰν δεκάστομος ἦν; ἐφ' οἵῳ δὲ μεγαλείῳ δεκαστόμου βοῆς ἐπεσημάνθη τὸ, τόσσον ἔβραχ' Ἄρης, ἆτος πολέμοιο· τουτέστιν, ἀκόρεστος· [2] κραθὲν ἐκ τοῦ ἄατος, ὡς πολλαχοῦ φαίνεται. Ὥρμηται δὲ ὅμως ἡ διὰ διφθόγγου ἀλλόκοτος γραφὴ ἐκ τοῦ, οὐδ' εἴ μοι δέκα μὲν στόματ' εἶεν. καὶ ἔχοι ἂν ἴσως οὕτω τερατῶδές τι ὁ λόγος, ὡς οὕτως ἑκάστου τῶν ἰαχόντων Τρώων γεγωνὸς φθεγγομένου, καθάπερ ἂν εἰ καὶ πολλοῖς ἐχρᾶτο στόμασιν, ὧν οἷον πύλαι τὰ χείλη.

σκθ'. Ὅρα δὲ τὸ, [3] ζωνύσκετο μίτρην, διασαφητικὸν ὂν καὶ αὐτὸ τῆς πολεμικῆς ζώνης, καὶ τοῦ ἑτεροῖον αὐτὴν πρὸς τὴν μίτραν. Ἄλλως γὰρ, εἴπερ ζώνη ἡ μίτρα, πῶς ἂν ζωνύσκοιτο; Τοῦ δὲ δάπτειν, [4] ἐξ οὗ καὶ τὸ δαρ-

δά-

eſt facinus, multòque præclarius. Quum enim nemo illic quiſquam ex præſtantioribus militibus, & propugnatoribus Trojanorum, proſtrato jacenteque Æneâ, præſens adfuerit; hic e contrario congreditur Hector, fortiſſimus ille Trojanorum, tantâque cum laude ſe gerit virtutis bellicæ, ut Mars ſimul cum eo eſſe videatur. Itaque rem magnam præſtat Diomedes, cum ad hoc iſtud certamen generosè, ac fortiter aggreditur. Quare & Martem ipſum dicitur vulneraſſe. Porro autem τὸ ἐννεάχιλοι, *novies mille*, ἢ δεκάχιλοι, *vel decies mille*, ſiquidem ſcribitur cum ancipiti, portentum habet Poëticum, dictumque eſt magnificè. Sin autem, ut nonnullis videtur, ſcribitur cum diphthongo; id ſanè non modò percipi intelligentiâ non poteſt; verùm etiam abjectum id valde eſt, atque humile. Quid enim magni, atque præclari, quòd Mars iſte vocem emittat ἐννέα χειλέων, ἢ δέκα, *novem labiorum, aut decem*, quando Stentor, vir utique mortalis, tantâ eſt voce ad clamandum, quantâ alii quinquaginta? Deinde qui fieri umquam potuit, ut Achivoſque, & Trojanos tremor occuparet ab iſtâ hac voce perterrefactos, ſi vox erat ejuſmodi, ut denis ex oribus reſonaret? & quæ tanta illa vocis decem ex oribus magnitudo, ut propter eam facta ſit illa acclamatio, τόσσον ἔβραχ' Ἄρης, ἆτος πολέμοιο; *adeò reſonuit Mars, inſatiabilis bello*? hoc eſt, ἀκόρεστος, *inexplebilis, inſaturabilis*. quod quidem dictum eſt per craſin ex ἄατος, *inſatiabilis*, ut pleriſque in locis apparet. Verumtamen abſurda illa, & aliena ſcribendi ratio per diphthongum, ortum traxerat ex illo Poëtæ: οὐδ' εἴ μοι δέκα μὲν στόματ' εἶεν. *Ne ſi mihi quidem decem eſſent*. Et ſic fortaſſe neſcio quid portentoſi oratio ipſa habuiſſet, quaſi ſcilicet, unoquoque loquente clamantium illorum Trojanorum, ita ea edita fuiſſet, ut ſi multis quiſque uteretur oribus, quorum veluti fores labia.

CCXXIX. Vide autem illud, ζωνύσκετο μίτρην, *cingebatur mitrâ, ſeu laminâ*: quippe quum id etiam valeat ad explicandam zonam militarem, ſeu balteum, eamque zonam diverſam eſſe oſtendat a mitrâ. Namque alioquin ſi iſta hæc mitra zona, qui eadem cingatur? Τοῦ δάπτειν, *dilaniare, dilacerare, diſcerpere*, ex quo etiam τὸ

δαρ-

quendam, auctorem eſſe Allegoriarum Homericarum, quæ falſo nunc Heraclidis Pontici nomine circumferuntur. *Politus*.

1. ἐὰν δὲ διὰ διφθόγγου, κατά τινας, γράφεται) Auctor ſcripturæ hujus διὰ διφθόγγου, Ariſtarchus: qui & hoc ipſum, quod dicit alibi Homerus de Neptuno immaniter clamante,

Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι,

ſcribebat pariter:

Ὅσσον τ' ἐννεάχειλοι ἐπίαχον, ἢ δεκάχειλοι.

nempe ἐννέα, ἢ δέκα χείλη ἔχοντες. Sed hæc ſcriptura, tamquam abſurda, Neptunoque indecora, ibi etiam meritò improbata ab Euſtathio: οὐδὲ γὰρ πάντως μέγα ὁ τῆς Ἀριστάρχου λόγος τῷ Ποσειδῶνι προσμαρτυρεῖ. ἐχελῶν γὰρ, ὡς Στέντορα γοῦν, φασὶν αὐτὸν, ὃς αὐδήσασκε, ὅσον ἄλλοι πεντήκοντα. Politus.

2. κραθὲν ἐκ τοῦ ἄατος) Etymologici Magni Auctor: ἆτος ἀπὸ τοῦ ἀάσαι. ὁ μέθυσος, ἄου. ἐξ αὐτοῦ ὄνομα ἀάτος· καὶ μετὰ τὴν ἐπέκτασιν τοῦ α, ἄατος, καὶ κράσει, ἆτος, ὁ ἀκόρεστος, καὶ ἀπλήρωτος. Polit.

3. ζωνύσκετο μίτρην) Alium facit Euſtathius zonam militarem, qui eſt balteus, a mitrâ. Ἄλλως γὰρ, inquit, εἴπερ ζώνη ἡ μίτρα, πῶς ἂν ζωνύσκοιτο; Unde etiam qui Homero ἀμιτροχίτωνες, non ſunt ii plane Euſtathio ἄζωνοι. οὐδέπω γὰρ, inquit, μίτρα παρὰ τῷ Ποιητῇ ἁπλῶς ἡ ζώνη. Sed ἀμιτροχίτωνας ibi intelligit τοὺς μὴ ὑποζωννυμένους μίτραις τοῖς χιτῶσιν, ὅ ἐστι, τοῖς θώραξιν, ἀλλ' ἅμα τῷ θώρακι συνηρτημένην ἔχοντας καὶ τὴν μίτραν, καὶ οὐ συμβλητὴν κατὰ τοὺς πολλούς. Erat mitra hæc Homerica, ab interiori quidem parte ἐριώδης· ab exteriori verò χαλκῆ· ideoque de mitrâ Menelai, qui vulneratus fuit a Pandaro, diſertè dixit Poëta, fabros eam ærarios feciſſe. Luculenter contra hoc deſtruitur ab Euſtathio ad lib. δ' Il. ἡ δὲ μίτρα, ὅπως ποίησεν (τῆς μὲν θώρακος, καὶ τῆς ζωστῆρος) παρὰ τὸ εἴρω, πρὸς πλάτος ἐφύλαττε. ἔδει καὶ ἔρυμα χροὸς ἕρκος ἀκόντων λέγεται, ἦν μὲν, ἐριώδης οὖσα, ἵνα μὴ θλίβῃ τὸ ὑπενδυόμενον· ἔξω δὲ χαλκοῦν τινα λεπίδα, ἤγουν χαλκοῦ ἐσπίτηλον, ἔχουσα. διὸ καὶ φησὶν ἐρεῖ, ἣν χαλκῆες κάμον ἄνδρες. Quid hæc mitra χαλκοῦν τινα λεπίδα habebat, ideò ibi μίτραν Latinè reddidimus laminam æream. Aptè, ut putò, atque appoſitè ad uſum temporum Trojanorum. Inde enim & Heſychius: μίτρα, ἡ χαλκῆ λεπίς. &, μίτρην, χαλκῆν λεπίδα. Eandem quoque ibidem, faſciam diximus militarem: ſed ita tamen, ut eam a balteo diſtingueremus. Nam ut μίτρα non eſſet ἁπλῶς ἡ ζώνη, atque adeo non eſſet propriè faſcia militaris, ut diſertè fatetur Euſtathius; tamen quadamtenus, tutelæ cauſâ, cingebat, ideoque aliquem zonæ uſum qualitercumque præſtabat. Hoc ſenſu faſciam eam militarem notavimus: ut & Græcis eadem, zona a cingendo uſu appellata. Scholiaſta Homericus: Μίτρης, ζώνης. Μίτρα δὲ ἐλέγετο τὸ ἐπάνω τοῦ λαγόνος ἔλυμα ἐρεοῦν, χαλκῷ ἔξωθεν περιειλημμένον. & rurſus: μίτρη, χαλκῆ λεπίς, ἣν ἐζώννυντο περὶ τὴν κοιλίαν, χάριν πλαγίων ἀσφαλείας. Etymologici Magni Auctor α. Μίτρα. ἐπὶ δὲ ἐνταῦθα τῆς λαγόνος ἡ χαλκῆ λεπίς, ἣν ἐζώννυντο περὶ τὴν κοιλίαν, χάριν πλαγίων ἀσφαλείας. Eodem ſenſu, ut opinor, alii ἀμιτροχίτωνας illos Homericos interpretati ſunt ἀζώνους. Vetus Scholiaſtes: ἀμιτροχίτωνας, ἀζώνους. Athenæus lib. 12. de Sybaritis: καὶ γὰρ ἰδίως τινὲς αὐτοῖς ἐπεχώριαστ φοροῦσιν αἰθινοὺς χιτῶνας, τοὺς ἐζώννυντο μίτραις πολυτελέσι· καὶ ἐκαλοῦντο διὰ τοῦτο ὑπό τινων μιτροχίτωνες· ἐπεὶ Ὅμηρος τοὺς ἀζώνους ἀμιτροχίτωνας καλεῖ. Heſychius: ἀμιτροχίτωνας, ἀζώνους ἔχοντας τοὺς χιτῶνας. Etymologici Magni Auctor: ἀμιτροχίτωνες, ἄζωνοι, ἢ μίτρᾳ καὶ θώρακι μὴ χρώμενοι, ἀθωρήκτους. μίτραι γὰρ, ζῶναι χαλκαῖ περὶ τὰ αἰδοῖα. Mitra quæ vocetur ea uſu temporum poſteriorum, ſupra eſt a nobis abunde explicatum. *Politus*.

4. ἐξ οὗ καὶ τὸ δαρδάπτειν) Etymologici Magni Auctor: ἀπὸ τοῦ δάπτω κατὰ ἀναδιπλασιασμὸν δαρδάπτω· καὶ πλεονασμῷ τοῦ ρ.

δαρδάπτειν, *vorare, dilaniando vorare*, & muſcæ δαπταὶ, *voraces, ſeu mordaces*, ut alibi quoque declaratur, primitivum eſt τὸ δῶ, ex quo τὸ δαίω, *divido, epulum præbeo, comburo*, qualicumque tandem, quem quis afferat, ſignificatu. Quemadmodum enim ex βῶ dicitur βάπτω, *tingo, mergo, lavo*; ex ῥῶ, ῥάπτω, *ſuo, conſuo*; ex κνῶ, κνάπτω, *carmino, ſeu rado*, quæ ſunt alibi diſertè explicata; ſic etiam ex δῶ, δάπτω, *dilanio*. Τὸ βράχειν, *ſonare, reſonare, crepitum edere*, ecce tibi de magno etiam clamore; ſed tamen militum gravis armaturæ. Illud porrò, ἔριδα συνάγοντες Ἄρηος, *certamen committentes Martis*, tum differentiam habet a certaminibus, atque contentionibus alterius generis, tum veluti comparando auget, atque amplificat militarem, qui hîc deſcribitur, clamorem, quippe qui non talis fuerit, quales clamores alii, qui quomodocumque attolluntur; ſed qualem certè clamorem inter confligendum edant decem hominum millia. Quemadmodum autem pugna dicitur ξυνάγεσθαι, *committi, ſeu conſeri*, quæ ex multis eſt viris, unoquoque pro viribus ſuis congrediente, exempli cauſsâ, ἵνα ξυνάγωμεν Ἄρηα. *ut conſeramus prœlium*. quod idem eſt, ac ſi ea pugna dicatur συμφέρεσθαι, *in unum conſerri, collatis manibus committi*, ſecundùm illud: Συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν. *Collata enim in unum eſt virtus virorum:* ſic etiam ξυνάγεται, *committitur*, contentio bellica, ſeu certamen.

δάπτειν,[1] καὶ δαπταὶ αἱ μυῖαι, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, πρωτότυπον τὸ δῶ, ἐξ οὗ τὸ δαίω, καθ' οἷον ἄν τις ἐρεῖ σημαινόμενον. Ὡς γὰρ βῶ βάπτω, ῥῶ ῥάπτω, κνῶ κνάπτω, τὰ ἑτέρωθι σαφῶς δηλωθέντα, οὕτω καὶ δῶ δάπτω. Τὸ δὲ βράχειν, ἰδοὺ καὶ ἐπὶ μεγάλης βοῆς, ὁπλιτῶν μέντοι. Τὸ δὲ ἔριδα συνάγοντες Ἄρηος, ἔχει μὲν διαστολὴν πρὸς ἑτέρας ἔριδας, ἐπιτείνει δὲ συγκριτικῶς τὴν ἐνταῦθα πολεμικὴν ἰαχὴν, ὡς μὴ κατὰ τὰς ἄλλας οὖσαν τὰς ἁπλῶς βοωμένας, ἀλλ' ὁποίαν ἰαχήσαιεν ἂν μυριοπληθεῖς ἄνδρες, πόλεμον συῤῥηγνύντες. Ὥσπερ δὲ ξυνάγεται πόλεμος, ὁ ἐκ πολλῶν ἀνδρῶν τῶν καθ' ἕκαστα, οἷον, ἵνα ξυνάγωμεν Ἄρηα, ταυτὸν δ' εἰπεῖν συμφέρεται, κατὰ τὸ,[2] Συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν· οὕτω ξυνάγεται καὶ ἔρις ἡ κατὰ πόλεμον.

At verò tremor occupavit Achivoſque, & Trojanos
Perterrefactos. adeò reſonuit Mars inſatiabilis belli.

Τοὺς δ' ἄρ' ὑπὸ τρόμος εἷλεν Ἀχαιούς τε, Τρῶάς τε
Δείσαντας, τόσον ἔβραχ' Ἄρης ἆτος πολέμοιο.

CCXXX. Etſi in Odyſſeâ loquentis Cyclopis gravem vocem pauci ſunt, qui timeant; tamen hoc loci, clamante Marte, copiæ contremiſcunt. Sic enim narrat: *At verò tremor occupavit Achivoſque, & Trojanos perterrefactos. Adeo reſonuit Mars*, ut dictum eſt: perinde quaſi ſit ipſe inter pugnandum non bonâ modò voce; verùm etiam ſono pernicioſo, atque exitiali.

σλ'.[3] Ἐν Ὀδυσσείᾳ μὲν τοῦ Κύκλωπος βαρὺν φθόγγον ὀλίγοι τινὲς ἔδεισαν· ἐνταῦθα δὲ Ἄρεος βοήσαντος λαοὶ τρέμουσι. Φησὶ γάρ· Τοὺς δ' ἄρ' ὑπὸ τρόμος εἷλεν Ἀχαιούς τε, Τρῶάς τε δείσαντας. τόσον ἔβραχ' Ἄρης, ὡς εἴρηται,[4] οὐ βοὴν ἀγαθὸς αὐτὸς ὢν, ἀλλὰ καὶ τὸν φθόγγον οὖλος.

Qualis porrò ex nubibus atra apparet caligo
Ab æſtu, vento vehementiori incitato;
Talis Tydidæ Diomedi æreus Mars
Videbatur ſimul cum nubibus iens in cælum latè patens.

Οἵη δ' ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ
Καύματος ἐξ, ἀνέμοιο δυσαέος ὀρνυμένοιο·
Τοῖος Τυδείδῃ Διομήδεϊ χάλκεος Ἄρης
Φαίνεθ' ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν.

CCXXXI. Si, cum ab æſtu ſolis ferventior eſt dies, ad Orientem, aut ad Occidentem aër nigreſcat, ſignum eſt venti imminentis. quod & Homerus in faciendâ comparatione obiter patefacit, dum veluti per tranſennam philoſophatur, in hæc verba: *Qualis porrò ex nubibus atra apparet caligo* καύματος ἐξ, *ab æſtu*, videlicet μετὰ καῦμα, *poſt æſtum, vento vehementiori excitato; talis Diomedi Mars æreus videbatur ſimul cum nubibus in cælum latè patens ire*. hoc eſt, mutatâ formâ, Mars ille fabuloſus viſus eſt, cum ex prœlio fugeret, in nubem tranſiiſſe. Et obſerva, ut, cum de Venere planiùs certiùſque dixerit, pulchram ejus cutem denigratam fuiſſe; tamen

σλα'. Ὀπηνίκα, καυματηρᾶς οὔσης τῆς ἡμέρας, πρὸς ἀνατολὴν, ἢ δύσιν μελαίνεται ὁ ἀὴρ, ἄνεμος προσδοκᾶται. ὃ καὶ Ὅμηρος ἐκ παρέργου ἐν παραβολῇ δηλοῖ, φιλοσοφῶν, ὡς οἷον ἐκ παρόδου, καὶ λέγων, ὅτι, Οἵη δ' ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ καύματος ἐξ, ἤγουν μετὰ καῦμα, ἀνέμοιο δυσαέος ὀρνυμένοιο· τοῖος Διομήδει χάλκεος Ἄρης φαίνεθ' ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν, τουτέστιν, εἰς νέφος ἔδοξεν ἐσχηματίσθαι ὁ μυθικὸς Ἄρης, φεύγων ἐκ τοῦ πολέμου. Καὶ σημείωσαι, ὅτι ἐπὶ μὲν τῆς Ἀφροδίτης, ἀσφαλέστερον εἶπε τὸ, μελαίνετο δὲ χρόα καλόν· ἐνταῦθα δὲ ἄλλως — *Baſ. p. 469.*

* ς', δαρδάπτω τὸ κατεσθίω. τὸ δὲ δάπτω, σημαίνει καὶ τὸ ἐσθίω, καὶ καίω, καὶ τέμνω. διὸ δὴ χρόα καλὸν ἰδάψεν. ἔξυσεν, ἔκνισε. Polit.

1. καὶ δαπταὶ αἱ μυῖαι) Δαπταὶ, muſcæ, apud Lycophronem. Euſtathius alibi δαπταὶ παρὰ Λυκόφρονι, αἱ δακνηραὶ μυῖαι. Alii hanc vocem legiſſe videntur βαρυτόνως in illo verſu Lycophronis:
Δάπταις τετίγαιν αἱμοπώτρειν φόβον.

fortaſſe ut accentu ſignificationem propriam a ſignificatione communi diſcernerent. pariter atque factum eſt in σαπρά, & σάπρα. Politus.

2. Συμφερτὴ) ἀντὶ τοῦ, συμφερομένη. Scholiaſta. *Polit.*

3. Ἐν Ὀδυσσείᾳ μὲν τοῦ Κύκλωπος βαρὺν φθόγγον) Δεισάντων φθόγγον τε βαρὺν, αὐτόν τε πέλωρον. Polit.

4. οὐ βοὴν) l. οὐ βοὴν. Et ſic Frobenius. Sed præterea ego ſupplebam, οὐ μόνον βοήν. Polit.

Digitized by Google

λως τερατώδη ταύτην τῷ Ἄρει μελανίαν τὴν διὰ τοῦ νέφους προσέπλασεν. ὅθεν ἔμφασίν τινα δίδωσι τοῦ νέφος τι νοεῖν καὶ τὴν τοῦ Ἄιδου κυνῆν, ὡς καὶ προεγέγραπται· ἤγε καὶ ὁ Ἄρης νῦν ἀφανὴς γίνεται, νεφωθεὶς οἷον, καὶ ζοφωθεὶς, οἷά τις ἐκ νεφέων ἐρεβεννὴ ἀὴρ φαίνεται. Εἴη δὲ ἂν αὕτη νέφωσις ἐκ παχείας κόνεως ὕψου ἀρθείσης ἐν τῇ συντόνῳ κινήσει τῶν μαχομένων, ὅτε ἡ μάχη ἐκλίνετο, γενομένης τροπῆς. Ὅρα δὲ καὶ σχῆμα παραβολῆς καινότερον. Οὐ γὰρ ἐκ παραβολικοῦ ἄρχεται ἐπιῤῥήματος, ἀλλ' ἐξ ἀντωνυμίας ἀναφορικῆς. Φησὶ γὰρ οἵα ἐρεβεννὴ ἀὴρ, τοῖος ἐφαίνετο Ἄρης. Ὅρα δὲ καὶ [1] τὸ ἀὴρ θηλυκῶς καὶ νῦν λεχθὲν, καὶ ἐκτεῖνον τὴν ἄρχουσαν. Ἡ δὲ ἐξ πρόθεσις, οὐ μόνον ἐνταῦθα εἴληπται ἀντὶ τῆς μετὰ προθέσεως, ἀλλὰ καὶ ἀλλαχοῦ. οἷον, [2] Πιόμενα ἐκ βοτάνης, ἤτοι μετὰ τὴν βοτάνην. καὶ, Ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποί, ἤτοι μετὰ τὰς νύκτας. Διπλάζεται δὲ τὸ ἀμετάβολον ἐν τῷ ἐρεβεννὴ, ἀναγκαίως εἰς μέτρου χρείαν. πάσχει δ' αὐτὸ πολὲ καὶ ἡ φαεννὴ,
Rom. p. 616. καὶ ἡ κλεεννὴ, ἅπερ εἰσὶν ἡ φαεινὴ, καὶ ἡ κλεινή.

Καρπαλίμως δ' ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον·
Πὰρ δὲ Διῒ Κρονίωνι καθέζετο, θυμὸν ἀχεύων·
Δεῖξεν δ' ἄμβροτον αἷμα καταῤῥέον ἐξ ὠτειλῆς,
Καί ῥ' ὀλοφυρόμενος, ἔπεα πτερόεντα προσηύδα.

σλβʹ. Διασαφῶν ἐνταῦθα τὴν τοῦ Ὀλύμπου λέξιν, φησίν· ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον. Διδάσκων κἀνταῦθα ὁ Ποιητὴς παραποίησιν ἐπῶν, φησὶ περὶ Ἄρεος· Πὰρ δὲ Διῒ Κρονίωνι καθέζετο, θυμὸν ἀχεύων. ὃν δὴ στίχον ἔφη ἐν τῇ ἄλφα ῥαψῳδίᾳ περὶ Αἰγαίωνος, θεὶς ἐκεῖ, ἀντὶ τοῦ θυμὸν ἀχεύων, τὸ, κύδεϊ γαίων. Καὶ ἐνταῦθα, ὡς καὶ ἐπὶ Ἀφροδίτης, ἄμβροτον αἷμα καταῤῥέειν ἐξ ὠτειλῆς λέγει τοῦ Ἄρεος, ἐπαναπαυσάμενος ἤδη τῇ λέξει τοῦ αἵματος μᾶλλον, ἤπερ τῇ τοῦ ἰχῶρος, περὶ οὗ προείρηται. Δεῖξαι γάρ φησιν ἄμβροτον αἷμα καταῤῥέον ἐξ ὠτειλῆς.

Ζεῦ πάτερ, οὐ νεμεσίζῃ, ὁρῶν τάδε καρτερὰ ἔργα;
Αἰεί τοι ῥίγιστα θεοὶ τετληότες εἰμὲν
Ἀλλήλων ἰότητι, χάριν δ' ἄνδρεσσι φέροντες.

σλγʹ. Ὥσπερ προκαλῶ προκαλίζω, καναχῶ καναχίζω, στοναχῶ στοναχίζω, μηρυκῶ μηρυκίζω, μοχθῶ [3] μοχθίζω παρὰ Θεοκρίτῳ, οὕτω πολλαχοῦ καὶ νεμεσῶ νεμεσίζω. Εὕρηται δὲ καὶ τὸ ἠρεμίζω, καὶ αἰτίζω· ὥσπερ καὶ πολεμίζω. Ἡρόδοτος δὲ καὶ ἀτρεμίζειν φησίν. Ἰστέον δὲ, ὅτι ὁ ἐκτραγῳδῶν πρός τινα ὑπερέχοντα πάθος οἰκεῖον, ὅπερ ἔπαθε παρά τινος

tamen aliter hîc Marti portentoſam hanc nigredinem, ipſam videlicet, quæ eſt in nube, accommodat, atque affingit. Unde tacitè quodammodò indicat, nubem etiam quamdam, ut ſupra ſcriptum eſt, galeam Orci eſſe intelligendam: quandoquidem & ipſe nunc Mars ex oculis dilabitur, nube veluti obductus, & caligine circumfuſus: qualis nimirum caligo atra, atque tenebricoſa ex nubibus apparet. Hæc autem nubis coactio facilè fuerit a denſo pulvere altiùs ſubducto in vehementiori illo, & concitatiori pugnantium motu, cum inclinata eſt acies, atque in fugam converſa. Vide præterea figuram illam paullò inſolentiorem comparationis. Non enim initium ducit ab adverbio comparativo; ſed a pronomine relativo in hunc modum: οἵα ἐρεβεννὴ ἀὴρ, τοῖος ἐφαίνετο Ἄρης. *Qualis tenebricoſa caligo, talis videbatur Mars*. Ad hæc vide, muliebri etiam nunc genere dictum eſſe τὸ ἀὴρ, *caligo*, producique primam hujus vocis. Præpoſitio ἐξ, *ex*, *a*, *ab*, non hic tantùm accepta eſt loco præpoſitionis μετὰ, *poſt*; verùm etiam alibi. ut, Πιόμενα ἐκ βοτάνης. *Bibitura a gramine, ſeu a paſta*. videlicet μετὰ τὴν βοτάνην, *poſt pabulum, ſeu poſt paſtum*. &, ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποί. *a noctibus autem venti graves, ac difficiles*. videlicet μετὰ τὰς νύκτας. *poſt noctes*. Geminatur autem littera illa immutabilis in τῷ ἐρεβεννὴ, *atra, tenebricoſa*; idque neceſſariò ad uſum metri. Fitque id etiam in φαεννὴ, & κλεεννὴ. hoc eſt, φαεινὴ, *ſplendida*, & κλεινὴ, *inclyta*.

Statim autem venit deorum in ſedem, excelſum Olympum,
Et apud Jovem Saturnium conſedit, animo mœrens;
Oſtenditque immortalem ſanguinem ex vulnere defluentem:
Et lugens, verba hæc volucria protulit.

CCXXXII. Explicat hoc loci vocem ipſam Olympi, illis verbis: ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον. *venit Deorum in ſedem, excelſum Olympum*. Docet hîc etiam Poëta, qui verſus ex verſibus inveniantur, atque immutentur, dum ita loquitur de Marte: Πὰρ δὲ Διῒ Κρονίωνι καθέζετο, θυμὸν ἀχεύων. *Et apud Jovem Saturnium conſedit, animo mœrens*. quem ſcilicet verſum in libro α' de Ægæone attulerat: ubi pro θυμὸν ἀχεύων, *animo mœrens*, poſuit τὸ, κύδεϊ γαίων. *honore lætus*. Denique, quemadmodum dixerat de Venere, ita hîc etiam dicit de Marte, immortalem ex ejus vulnere ſanguinem defluxiſſe: ita ut in voce illâ τοῦ αἵματος, *ſanguinis*, magis jam conquieſcat, quàm in alterâ τοῦ ἰχῶρος, *liquoris*, de quo ſupra dictum fuit. Ait enim de Marte, eum oſtendiſſe ἄμβροτον αἷμα καταῤῥέον ἐξ ὠτειλῆς, *immortalem ſanguinem ex vulnere defluentem*.

Juppiter pater, non indignaris, quum violenta hæc facinora videas?
Semper ſanè horrenda mala dii perpeſſi ſumus
Mutuo conſilio, quum hominibus gratificaremur.

CCXXXIII. Sicuti προκαλῶ, *provoco, laceſſo, incito*, dicitur προκαλίζω· καναχῶ, *reſono*, καναχίζω· στοναχῶ, *ſuſpiro*, στοναχίζω· μηρυκῶ, *rumino*, μηρυκίζω· μοχθῶ, *laboro*, μοχθίζω apud Theocritum; ſic etiam paſſim νεμεσῶ, *indignor, ſuccenſeo, meritò indignor*, νεμεσίζω. Itemque repertum eſt τὸ ἠρεμίζω, *quieſcere facio, ſedo*, & αἰτίζω, *peto, vel mendico*: ſicuti etiam πολεμίζω, *belligero*. Quin & Herodotus dicit ἀτρεμίζειν, *quieſcere, quietum manere, tranquillo animo conſiſtere*. Sciendum autem eſt, ſiquis uni alicui præſtantiori, & potentiori viro Tragicè exponat, atque ampli-

1. τὸ ἀὴρ θηλυκῶς καὶ νῦν λεχθὲν) Sic Pindarus Olymp. Ode prima: ἐρήμας δι' αἰθέρος. Salvinus.
Quid Pindarus? Sic etiam Homerus, *Politus*.
2. Πιόμενα ἐκ βοτάνης) μᾶλλον Πιόμενα ἐκ βοτάνης, ἀντὶ τοῦ, μετὰ τὴν βοτάνην, καὶ νομήν. Scholiaſta. *Polit.*

Apud Plinium, *ex vino, ex aceto* ſumere. ideſt, cum vino, cum aceto. *Salvinus*.
3. μοχθίζω παρὰ Θεοκρίτῳ) Quid apud Theocritum? etiam apud Homerum. *Politus*.

amplificet ſuam ipſius calamitatem, quam ipſe quidem ab uno aliquo ex neceſſariis, & familiaribus ſuis acceperit, eum poſſe dicere: *Non indignaris, quum videas dura hæc, & violenta facinora? Semper ſanè horrenda, & graviſſima mala*, τετλειότες εἰμὲν, videlicet ἐσμὲν, *perpeſſi ſumus*, ἀλλήλων ἰότητι, *mutuâ voluntate*, hoc eſt, βουλῇ, *conſilio*, *quum hominibus gratificaremur*. Quorum ſanè verborum initium, vocis unius immutatione, ductum eſt per parœdiam; atque expreſſum ex verbis paullò ante allatis, ubi ſic ait: Ζεῦ πάτερ, οὐ νεμεσίζῃ Ἄρει τάδε καρτερὰ ἔργα; *Juppiter pater, non ob dura hæc, & fortia facinora ſuccenſeas Marti?* Et obſerva, ut ne hoc quidem loci in bonam partem ſumitur τὰ καρτερὰ ἔργα, *dura, & fortia facinora*; ſed pro eo, ac ſi diceret βιαστικὰ, *violenta*. quomodo etiam telum dicitur καρτερὸν, *forte*, *ſeu violentum*. Non enim Mars prorſus collaudat, aut probat, quæ ipſe perpeſſus fuerat mala propter Minervam. Et ſic λόγος κρατερός, *fortia, & dura verba*, ideſt, minacia, quæque violentiam denotant.

τινος τῶν συνήθων, εἴποι ἂν· οὐ νεμεσίζῃ, ὁρῶν τάδε καρτερὰ ἔργα; Αἰεί τοι ῥίγιστα τετληότες εἰμὲν, ἤγουν ἐσμὲν, ἀλλήλων ἰότητι, τουτέστι, βουλῇ, χάριν ἄνδρεσσι φέροντες. Παρῴδηται δὲ ἡ ἀρχὴ τῶν ῥηθέντων κατὰ μίαν λέξιν ἐκ τῶν πρὸ ὀλίγου ῥηθέντων, ἔνθα ἔφη· Ζεῦ πάτερ, οὐ νεμεσίζῃ Ἄρει τάδε καρτερὰ ἔργα; Καὶ σημείωσαι, ὅτι καὶ ἐνταῦθα τὸ, καρτερὰ ἔργα, οὐκ ἐπὶ ἐπαίνου κεῖται, ἀλλ' ἀντὶ τοῦ βιαστικά, καθ' ὃ καὶ βέλος λέγεται καρτερόν. Πάντως γὰρ οὐκ ἐπαινεῖ ὁ Ἄρης, ἃ κακῶς ἔπαθε, διὰ τὴν Ἀθηνᾶν. Οὕτω δὲ καὶ [1] λόγος κρατερὸς ὁ ἀπειλητικὸς, καὶ βίαν δηλῶν.

Tibi omnes pugnamus. Tu enim genuiſti dementem filiam
Pernicioſam, cuique ſemper injuſta facta ſunt curæ.
Alii enim omnes, quotquot dii ſunt in Olympo,
Tibique obediunt, & ſubjecti ſumus unuſquiſque.
Hanc verò neque verbo coerces, neque facto;
Sed mitigas, quoniam ipſe peſtiferam filiam generaſti.
Quæ nunc Tydei filium inſolentem Diomedem
Ad furendum induxit in immortales deos.

Σοὶ πάντες μαχόμεσθα. σὺ γὰρ τέκες ἄφρονα κούρην
Οὐλομένην, ᾗ τ' αἰὲν ἀήσυλα ἔργα μέμηλεν.
Ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
Σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεσθα ἕκαστος.
Ταύτην δ' οὔτ' ἔπεϊ προτιβάλλεαι, οὔτε τι ἔργῳ,
Ἀλλ' ἀνίεις, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀΐδηλον,
Ἣ νῦν Τυδέος υἱὸν ὑπέρθυμον Διομήδεα
Μαργαίνειν ἀνέηκεν ἐπ' ἀθανάτοισι θεοῖσι.

CCXXXIV. Τὸ, Σοὶ πάντες μαχόμεθα, *tibi omnes pugnamus*, videlicet διὰ σὲ, *propter te*, ſimiliter dictum eſt, atque illud: σοὶ ζῶ. *tibi vivo*. videlicet διὰ σὲ, *propter te*. Atque hîc perſpice, videri, ſenſum planè obſcurum, non certè facilem intellectu, ineſſe in verbis illis Martis ad Jovem: *Tibi pugnamus. Tu enim dementem filiam procreaſti*. Non enim auctor is pugnæ, qui dementem filiam generavit; neque in eum ſanè culpa eſt generatim derivanda. Ideoque, ſermonis ſui corrigendi cauſſâ, ſubjicit: *Alii namque omnes, quotquot certè dii ſunt in Olympo, tibique obediunt, & ſubjecti ſumus ſinguli. Hanc verò neque verbo coerces, neque facto*. hoc eſt, *neque ſermone, neque facto contriſtas; ſed ſubmittis*, videlicet *incitas, atque impellis, quoniam ipſe eam procreaſti, &c.* Itaque rectè ſeſe habet, atque probè hæc Martis oratio. Verè enim pater reprehendendus, qui, dementi filio ſuſcepto, dementiam ejus, atque ſtoliditatem non cohibet; ſed & eum inſuper inſtigat, atque impellit. Quod autem oportet ſcire, accuſatio hæc, quam diximus, & querela adversùs Jovem, per quem ſignificatur etiam aliquando intelligentia, veluti per ambages tacitè oſtendit, in ſceleratis factis, & crimínoſis, quæ nemo certè quiſquam in brutis animantibus repererit, incuſandam eſſe vim intelligendi, quæ ſeſe altè præcipitem devolvat, laboretque alicubi improbitate, nec ſemper dijudicet, quid factu opus ſit. Vide verò illud, δεδμήμεθα ἕκαστος, *ſubjecti ſumus ſinguli*, acutè ſoleterque dictum, veluti ad illa alia verba corrigenda: σοί τ' ἐπιπείθονται. *tibique obediunt*. Nam ſi, ut dixerat, σοὶ πείθονται, *tibi obediunt*, ſimili etiam figurâ dixiſſet δέδμηνται, *ſubjecti ſunt*, non utique rectè locutus fuiſſet, quippe qui ab obedientiâ, & clientelâ, qua ceteri adſtringerentur, ipſe ſemet ſubtrahere videretur. Conſtat autem, aliud eſſe πείθεσθαι, *obedire*, aliud δεδμῆσθαι, *ſubjectum eſſe*. Neque enim omnis, qui imperanti obtemperat, illi etiam neceſſariò eſt ſubjectus, neque omnis, qui uni ali-

σλδ'. Τὸ, Σοὶ πάντες μαχόμεθα, ἤγουν διὰ σὲ, ὅμοιον τῷ, Σοὶ ζῶ. ἤγουν διὰ σέ. Ἐνταῦθα δὲ ὅρα, ὡς ἀδιανόητα δοκεῖ πρὸς τὸν Δία λέγειν ὁ Ἄρης ἐν τῷ, Σοὶ μαχόμεθα. σὺ γὰρ ἔτεκες ἄφρονα κούρην. Οὐ γὰρ αἴτιος μάχης ὁ ἄφρονα παῖδα γεννήσας, οὐδὲ αἰτιατέος ἁπλῶς. Διὸ καὶ τὸν λόγον ἐπιδιορθούμενος, ἐπάγει· Ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ, σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεθα ἕκαστος. Ταύτην δὲ οὔτ' ἔπεϊ προτιβάλλεαι, οὔτε τι ἔργῳ. ὅ ἐστιν, οὔτε λόγῳ, οὔτε ἔργῳ λυπεῖς· ἀλλ' ἀνίεις, ἤγουν ἀναπείθεις, ἐπεὶ αὐτὸς ἐγείναο. καὶ ἑξῆς. Καὶ Baſ. p. 470.
οὕτως γίνεται ὀρθὸς, καὶ ἀσυκοφάντητος ὁ τοῦ Ἄρεος λόγος. Τῷ ὄντι γὰρ αἰτιατέος πατὴρ, ὃς, γεννήσας ἄφρονα παῖδα, οὐκ ἐπέχει τὴν ἀφροσύνης αὐτοῦ, ἀλλὰ καὶ προσερεθίζει. Ἰστέον δὲ, ὡς ἡ ῥηθεῖσα κατὰ τοῦ Διὸς αἰτίασις, ὃς ἐστι ποτὲ καὶ νοῦς, αἴνιγμά ἐστι τοῦ ἐν ταῖς [2] ἐσφαμάρτοις πράξεσιν, ἃς οὐκ ἂν ἐν ζώοις ἀλόγοις εὕροι τις, τὸν νοῦν αἴτιον εἶναι βαθέα κυβιστῶντα, καί που πονηρευόμενον, καὶ οὐ διευκρινοῦντα τὸ δέον ἀεί. Ὅρα δὲ τὸ, δεδμήμεθα ἕκαστος, σύνεσιν ἔχον ἐπιδιορθωτικὴν τοῦ, σοί τ' ἐπιπείθονται. Εἰ γὰρ, καθὰ τὸ, σοὶ πεί- Rom. p. 617.
θονται, ἐσχημάτισε καὶ τὸ δέδμηνται, οὐ καλῶς ἐλάλει, ὡς δοκῶν ὑπεξάγειν ἑαυτὸν τοῦ πείθεσθαι, καὶ δεδμῆσθαι, κατὰ τοὺς λοιπούς. Δῆλον δὲ, ὅτι διαφορά ἐστι τοῦ πείθεσθαι, καὶ δεδμῆσθαι. Οὔτε γὰρ πᾶς ὁ πειθόμενος ἄρχοντι, ἐξ ἀνάγκης καὶ δεδμημένος ἐστὶν ἐκείνῳ, οὔτε

1. λόγος κρατερός) Hom. Iliad. α. Ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν. Salvinus.

2. ἐσφαμάρτοις) novum verbum pro ἁμαρτωλαῖς. Salvin.

ἤτε πῶς ὁ δεδμημένος ἐστὶ, ἤδη καὶ πείθεται. Πολλοὶ γὰρ ἀπειθεῖν τοῖς ἄρχουσι βούλονται. Ὅτι δὲ καὶ εὐοδώτερον εἰς μέτρον τὸ, ὅσσοι θεοί εἰσι, καὶ τὸ, πείθονται, καὶ τὸ δεδμήμεσθα, ἤπερ τὸ ἐσμὲν, καὶ πειθόμεθα, καὶ δεδμήμεθα, οὐδ' αὐτὸ ἄδηλόν ἐστι.

σλέ. [1] Τὸ δὲ, ὅσοι θεοὶ ἐν Ὀλύμπῳ, πρὸς διαστολὴν εἶπε τῶν ὑποταρταρίων, οἳ, διὰ τὸ μὴ πείθεσθαι Διῒ, καὶ δεδμῆσθαι, κάτω ἐῤῥίφησαν. Τὸ δὲ προτιβάλλεαι, ὅ ἐστι, προσβάλλει, μάχιμος λέξις, Ἄρεϊ φίλη, ἀφ' ἧς ἡ κατὰ πόλεμον προσβολή· ἴσον ὂν τῷ ἐπιπλήττεις. Τῷ δὲ προτιβάλλεαι παθητικῶς ῥηθέντι, ὅμοιον καὶ τὸ, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν. Ἐν τούτοις δὲ οὐ μόνον ἄφρονα κούρην, ἀλλὰ καὶ οὐλομένην, καὶ ἧ ἀήσυλα ἔργα μέμηλε, καὶ ἀΐδηλον, καὶ μαργαίνειν πείθουσαν, καὶ τοιαῦτά τινα, τὴν Ἀθηνᾶν ὁ ἄφρων Ἄρης ἀποκαλεῖ. Καὶ τί γὰρ ἀλλ', ἢ κανών τις ἐστὶ διεστραμμένος, ἅπας ἄφρων, πρὸς ἑαυτὸν μετάγειν, καὶ στρεβλοῦν ἐθέλων καὶ τὰ ὀρθὰ, καὶ μηδὲν αὐτοῦ ἀπεοικέναι κρίνων καὶ τοὺς εὖ ἔχοντας λόγου, καὶ φρονήσεως; Καὶ τοιαῦτα μὲν, ὁ ἀλόγιστος Ἄρης. ὁ δὲ Ζεὺς, ὃς εἰς νοῦν λαμβάνεται, τὰ μὲν πρῶτα ἐξουδενοῖ αὐτὸν, φησί· μή μοι, ἀλλοπρόσαλλε, παρεζόμενος μινύριζε, καὶ τὰ ἑξῆς, ὅσα πρέπει [2] παρῳδιεῖναι εἰς ἀλοῖον θυμόν. Ἐπάγει γὰρ, παραποιῶν στίχον προπεποιημένον· Ἔχθιστος δέ μοι ἐσσὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν. Αἰεὶ γάρ τοι ἔρις φίλη, πόλεμοί τε, μάχαι τε. Μητρός τοι μένος ἐστὶν ἀάσχετον. καὶ ἑξῆς, ὡς ῥηθήσεται. Εἶτα ἐφιστᾷ καὶ αὐτῷ τὸν παρὰ θεοῖς ἰατρὸν Παιήονα, καὶ ἰᾶται τὸ τραῦμα, διότι, φησὶν, ἐξ ἐμοῦ γένος ἐσσί. Τῷ ὄντι γὰρ [3] προσδεῖται καὶ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς τοῦ θυμικοῦ, διά τι συγγενὲς, ὁ νοῦς, καὶ ἡ φρόνησις, καθὰ καὶ δορυφόρων οἱ βασιλεῖς. Διὸ καὶ ἄγχουσι μὲν αὐτὸ, καὶ ἐπιπλήττουσι, καὶ ὑπήκοον ποιοῦσιν· οὐ μέντοι καὶ τέλεον ἐξαφανίζουσιν.

σλϛ'. Ἀήσυλα δὲ ἔργα, ἢ τὰ βλαπτικὰ, παρὰ τὸ ἆσαι, ἤτοι βλάψαι, πλεονασμῷ τοῦ η, ὡς καὶ ἐν τῷ ὑπέρφαιος, ὑπερήφανος, καὶ ἐν ἄλλοις· ἢ [4] τὰ ἀηδῆ, παρὰ τὸ α στερητικὸν, καὶ τὸ ἦσαι τὰ εὐφραίνειν. Ποιητικὴ δὲ ἡ λέξις, καὶ πεζῷ λόγῳ οὐκ εὔχρηστος. Ἰστέον δὲ καὶ, ὡς περὶ ἀπειθοῦς τινος ἐροῦμεν ἂν πρὸς ἐπιεικῆ ἄρχοντα τὸ, Ἄλλοι μὲν πάντες σοί τ' ἐπιπείθονται, καὶ τὰ ἑξῆς. καὶ ὅτι ἐν τῷ, αὐτὸς ἐγείνατο παῖδ' ἀΐδηλον, ...

alicui eſt ſubjectus, continuò etiam illi obtemperat. Multi enim imperium eorum detrectant, quibus ſunt ſubjecti. Neque verò pariter incompertum eſt, multò commodius, aptiuſque eſſe ad metrum τὸ, ὅσσοι θεοί εἰσι, *quotquot dii ſunt*, itemque τὸ πείθονται, *obediunt*, & τὸ δεδμήμεσθα, *ſubjecti ſumus*, quàm τὸ ἐσμὲν, *ſumus*, & πειθόμεθα, *obedimus*, & δεδμήμεθα, *ſubjecti ſumus*.

CCXXXV. Illud porro, ὅσοι θεοὶ ἐν Ὀλύμπῳ, *quotquot dii in Olympo*, dixit ad differentiam Tartareorum, qui, propterea quòd minimè obtemperarent Jovi, neque ſubjecti ei eſſe vellent, dejecti ſunt, atque detruſi ad inſera. Τὸ προτιβάλλεαι, hoc eſt, προσβάλλει, *adoriris*, *aggrederis*, *impreſſionem facis*, *oppugnas*, vox eſt bellica, in deliciis Marti, ex qua ἡ κατὰ πόλεμον προσβολὴ, *militaris aggreſſio*, *impreſſio*, *oppugnatio*: & æque id valet, atque τὸ ἐπιπλήττειν, *caſtigas*, *increpas*, *reprehendis*. Similiter autem, atque paſſivâ voce dicitur τὸ προτιβάλλεαι, *aggrederis*, dictum eſt etiam illud: σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι. *Tu verò in mente repoſita tuâ*. Hic porro non modò dementem filiam demens ille, & ſtolidus Mars Minervam appellat; verùm etiam pernicioſam, & cui injuſta, & iniqua facta ſunt curæ, & noxiam atque peſtiferam, inducentemque ad furorem, præter alia probra hujus generis. Quid enim aliud eſt inſanus quiſque, & demens, niſi regula quædam diſtorta, qui ea etiam, quæ recta ſunt, velit ipſe ad ſemet reducere, atque diſtorquere, nihilque judicet eſſe diſſimile ſui, vel eos, qui bonæ mentis, prudentiæque ſunt compotes? Atque hæc quidem Mars ille imprudens, & inconſideratus. Verùm Juppiter, qui pro intelligentiâ accipitur, a primo eum contemnit, atque adſpernatur, illis verbis: *Ne mihi, varie, atque inconſtans, cum his querimoniis, & lamentationibus aſſideas* præter reliqua verba, quæ per parœdiam aptari decet in veſanum motum animi excandeſcentis. Verſu namque immutato, quem antea fecerat, ſubjicit: *Inimiciſſimus enim mihi es deorum, qui Olympum habent. Semper namque tibi grata contentio, bellaque, & pugnæ. Matris tibi ingenium eſt intolerabile, &c* ut dicetur. Deinde etiam medicum ipſum deorum Pæeonem præſto ei eſſe jubet, vulnerique ejus medetur, eâ cauſâ allatâ, quòd Mars ſua eſt ſoboles. Verè enim, ut reges ſatellitibus, ſic mens, atque prudentia, propter cognationem quamdam, & neceſſitudinem, parte quoque animi indigent experte rationis, quæ vim habet iraſcendi: idemque, quamvis eam conſtringant, atque caſtigent, eamque ſubeſſet faciant; tamen non omnino eam extinguunt, aut tollunt.

CCXXXVI. Ἀήσυλα ἔργα, *iniqua facta*, aut noxia, a verbo ἆσαι, videlicet βλάψαι, *nocere*, *lædere*, *nocumentum inferre*, pleonaſmo τοῦ η, ſicuti etiam in τῷ ὑπέρφανος, ὑπερήφανος, *ſuperbus*, *arrogans*, *elatus*, aliiſque in vocibus; aut facta moleſta, ingrata, odioſa, ab α particulâ privationis, & a verbo ἦσαι, quod eſt delectare, exhilarare, lætitiâ afficere. Poëtica autem ea vox eſt, neque ſolutæ percommoda orationi. Ad hæc ſciendum, ſiquis audiens dicto minimè eſſe velit, de eo nos ad æquum bonumque regem, ſeu magiſtratum, jure uſurpaturos illa verba: *Alii quidem omnes tibique obediunt*, &c. Illis item verbis: αὐτὸς ἐγείνατο παῖδ' ἀΐδηλον· *ipſe generaſti filiam peſtiferam*, quæ eſt paraphraſis aliorum illorum ver-

1. Τὸ δὲ, ὅσοι θεοὶ ἐν Ὀλύμπῳ, πρὸς διαστολὴν εἶπε τῶν ὑποταρταρίων] Dii ſuperi. Dii inferi. Salvinus.
2. παρῳδιεῖναι] l. παρῳδηθῆναι. Politus.

3. προσδεῖται καὶ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς τοῦ θυμικοῦ] Ita dicitur ab Ariſtotele miniſtra eſſe rationis. Salvinus.
4. τὰ ἀηδῆ] τὰ μὴ τερπνὰ. Polit.

Digitized by Google

verborum: *σὺ γὰρ ἔτεκες ἄφρονα κούρην· tu enim genuiſti dementem puellam*: ſubdocet Homerus, ſimiliter atque alii Poëtæ, ex uno tantùm Jove ortam eſſe Minervam, & non, ſicuti Mars, ex Jove, & Junone. Τὸ ἀνιέναι, videlicet ἀναπεῖθειν, *inducere, addacere, impellere*, vox uſitata Homero, multiſque in locis adhibita. Quare etiam illud paullò poſt: Μαργαίνειν ἀνέηκεν, *ad furendum induxit*, Minerva nimirum Diomedem: idem eſt, ac ſi diceret, impulit, excitavit, ſtimulavit. Τὸ μαργαίνειν, hoc eſt, furere, atque inſanire, ejuſque primitivum nomen, μάργος, *inſanus, ſtolidus, vecors*, voce barytonâ, aut μαργὸς, voce oxytonâ, ſecundùm Tyrannionem, aut fit, ſecundùm veteres, ex μὴ, *ne, non*, particulâ negativâ, & ex ἔργον, *opus, res, factum*; aut certè ἐκ τοῦ μὴ ἀρήγειν, *a non auxiliando*. Neque enim hominis inſanientis ullum ἔργον, *factum*, bonum eſt, ſeu laudabile, neque ille ſanè ἀρήγεται, *adjuvatur*, quippe qui difficilem ſeſe præbeat, & contumacem. Quod autem obſervatum tibi volo, etſi pronomen ἄλλος, *alius*, neceſſariâ de cauſſâ, ſecundùm Grammaticos, non habet vocativum; tamen ecce tibi in compoſitione τοῦ ἀλλοπρόσαλλε, *varie, atque inconſtans*, habet id, quo deficitur, cum eſt nomen ſimplex. Præterea verò, quamvis nomen ejus neutrum, pro analogiæ ratione, deberet eſſe ἄλλο, *aliud*, cum τῷ ο· tamen defectum habet ejus litteræ, ſicuti etiam τὸ τοιοῦτο, *tale*, & τοσοῦτο, *tantum*. Verùm eam litteram reſumit, ut loquar cum Herodiano, in τῷ ἀλλοπρόσαλλον, *aliud, atque aliud, nunc uni parti adhærens, nunc alteri*: atque ita etiam in ἔξαλλον, *ab aliis diverſum, inuſitatum, peregrinum*; itemque in τῷ ἐπάλλον, *aliud poſt aliud*.

Venerem quidem a primo cominus vulneravit in manu ad carpum.
Deinde verò in memet irruit, par deo,
At me ſubduxerunt veloces pedes. Profectò diu
Ibi dolores paſſus fuiſſem inter horribiles acervos cadaverum.
Si modo vixiſſem, debilitatus æris ictibus fuiſſem.

CCXXXVII. Quidquid prodigioſarum rerum jam antea fuſiùs narraverat Poëta, ſub Martis perſonâ breviſſimè complectitur, ac veluti per capita colligit, in his verbis: *Venerem quidem a primo in manu ad carpum vulneravit. Deinde verò in memet irruit, par deo*. Diomedes nimirum. Τὸ φυγεῖν, *fugere*, effert per periphraſin, illis verbis: Ἀλλά μ' ὑπήνεικαν, videlicet ὑπήνεγκαν, ὑπεξήγαγον, ταχέες πόδες. *Sed me ſubtraxerunt, ſive ſubduxerunt, veloces pedes*. Sunt autem verba hæc Martis, qui & inſuper dicit, ſeſe, niſi confeſtim fugiſſet, dolores ibi perpeſſurum fuiſſe ἐν αἰνῇσιν, hoc eſt, δειναῖς, aut, ἀγριαῖς νεκάδεσσιν, *inter graves, ſive horribiles acervos cadaverum*. ἤ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσιν. *ſi modò vivus, debilitatus fractuſque æris ictibus fuiſſem*. videlicet, ſi vixiſſem, fractus, & penè confectus fuiſſem plagis, quas ferro accepiſſem. Etſi enim apud eos, qui majorem curam, ac diligentiam adhibent, ſcribitur τὸ ἤ κεν cum η· tamen ita explicatur, quaſi ſit τὸ εἰ, *ſi, an*, particula dubitativa. ut: ἦ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν. *an & mea haſta furat in manibus*. qualia etiam ſunt alia, de quibus ſupra dictum eſt. Por-

δῆλον, [1] ὁ παράφρασίς ἐστι τοῦ, Σὺ γὰρ ἔτεκες ἄφρονα κούρην· ὑποδηλοῖ ὁ Ὅμηρος, ὁμοίως τοῖς ἄλλοις Ποιηταῖς, ὡς ἐκ μόνου Διὸς ἐγένετο ἡ Ἀθηνᾶ, καὶ οὐχ, [2] ὥσπερ ὁ Ἄρης, ἐξ αὐτοῦ, καὶ Ἥρας. Τὸ δὲ ἀνιέναι, ἤτοι ἀναπεῖθειν, λέξις Ὁμήρῳ συνήθης, πολλαχοῦ κειμένη. Διὸ καὶ μετ' ὀλίγα τὸ, Μαργαίνειν ἀνέηκεν, ἡ Ἀθηνᾶ δηλαδὴ τὸν Διομήδην, ἴσον ἐστὶ τῷ, ἀνέπεισε, διήγειρεν, ἐρέθισε. [3] Τὸ δὲ μαργαίνειν, ὅ ἐστι μαίνεσθαι, καὶ ὁ πρωτότυπος αὐτοῦ, μάργος βαρυτόνως, ἢ μαργὸς ὀξυτόνως, κατὰ Τυραννίωνα, ἢ ἐκ τοῦ μὴ ἀρνητικοῦ, καὶ τοῦ ἔργον γίνεται, κατὰ τοὺς παλαιοὺς, ἢ ἐκ τοῦ μὴ ἀρήγειν. Οὔτε γὰρ ἔργον τι σπουδαῖον τῷ μαργαίνοντι, οὔτε ἀρήγεται, ὡς ἀποδυσπετῶν. Σημείωσαι δὲ, ὡς, εἰ καὶ [4] ἡ ἄλλος ἀντωνυμία οὐκ ἔχει κλητικὴν ἀναγκαίῳ λόγῳ, κατὰ τοὺς Τεχνικούς· ἀλλ' ἰδοὺ ἐν τῇ συνθέσει τῷ ἀλλοπρόσαλλε ἔχειν, ὅπερ ἐνέλειψε τῇ ἁπλότητι. Ἔτι δὲ, εἰ καὶ τὸ οὐδέτερον αὐτοῦ ὀφεῖλον εἶναι ἄλλο, μετὰ τοῦ ο ἀναλόγως, ὅμως πέπονθεν αὐτῇ ἔνδειαν, ὡς καὶ τὸ τοιοῦτο, καὶ τοσοῦτο. ἀλλ' ἐπαναλαμβάνει αὐτὸ, καθ' Ἡρωδιανὸν εἰπεῖν, ἐν τῷ ἀλλοπρόσαλλον. Οὕτω δὲ καὶ ἐν τῷ, ἔξαλλον, [5] καὶ ἐπάλλον.

Κύπριδα μὲν πρῶτον σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ.
Αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο, δαίμονι ἶσος.
